5) Hauniensis. „Est liber egregius, bibliothecae regiae 415, ab O. D. Blochio cum exemplari Reiskiano collatus. Praeter Aeschineam orationem, extrema parte defectam, insunt alia quaedam". Dindorf. in edit. Aesch. Continet Timarcheam usque ad vv. *τῷ μὲν φυγόντι* §. 174. Sign. o.

Quocum plane consentit

6) Lockeranus „i. e. codex doctissimi viri J. Locker Londinensis, qui orationem contra Timarchum et Olynthiacas duas habet et est bonae frugis plenus." Taylor. Sign. r.

7) Paris. bibl. imper. 3004, olim Colbertinus 3510 (? Montf. bibl. bibl. p. 981. B.). Ii Augeri, fol., membranaceus, seculi XVI. Insunt orationes Aeschinis adv. Ctesiph. cum argumento et Demosthenis de corona. Sign. n.

8) Mosquensis, qui in bibliotheca sanctissimae synodi asservatur, in Matthaei catalogo (p. 163) numero CCLIV designatus. Est chartaceus maximae formae seculi XV foliorum 140, atque praeter orationem contra Ctesiphontem alias quasdam Demosthenis Aeschinisque orationes continet. cf. Car. Hofmann Hessus in ed. Aeschinis or. in Ctesiph. et Demosth. pro corona p. 163. Sign. z.

9) Vaticanus 64, membranaceus, foliis 289. Insunt, ut index testatur: *Ἰσοκράτους Ἑλένης ἐγκώμιον, Ἀρριανοῦ διατριβαὶ, Ἰωάννου τοῦ χαρτοφύλακος ἐπιστολαὶ, Συνεσίου* et *Λύσιδος ἐπιστολαὶ, Συνεσίου τὸ ἐπίλοιπον πᾶν, Λιβανίου εἰς Καισάριον μάγιστρον, Αἰσχίνου λόγοι καὶ ἐπιστολαὶ, Ἰσοκράτους ἐπιστολαὶ, Γρηγορίου τοῦ θεολόγου λόγος κατὰ Ἰουλιανοῦ, Διονυσίου Ἁλικαρνασσέως περὶ συνθέσεως ὀνομάτων, Φιλοστράτου βίοι σοφιστῶν, Καλλιστράτου ἔκφρασις εἰς διάφορα ἀγάλματα, Ἀριστείδου λόγοι.* Fol. 147—208 Aeschinis orationes cum scholiis marginalibus et epistolae continentur. Incipiunt: *Αἰσχίνου ῥήτορος βίος, Ἀπολλωνίου εἰς Αἰσχίνην ἐξήγησις, ὑπόθεσις εἰς τὸν κατὰ Τιμάρχου, ἑτέρα ὑπόθεσις εἰς τὸν κατὰ*

Τιμάρχου λόγον, ὑπόθεσις τοῦ τῆς παραπρεσβείας, ὑπόθεσις τοῦ κατὰ Κτησιφῶντος. Exaratus est anno 1270 p. Chr., ut indicatur in ultimo folio, Thessalonices: „*ἐτελειώθη ἡ βίβλος αὕτη χειρὶ γραφεῖσα ἑκατογχείρου ἐν ἔτει ΣΨΟ η'*" (= 6778 i. e. 1270 p. Chr.) et „*εἰσὶ τὰ βιβλία προσκεκτημένα ταῦτα ἐν Τεσσαλονίκῃ* (sic)". Sign. Vat.

10) Laurentianus ex bibl. Medicea Laurentiana Plutei 57. codex 45., chartaceus in 4. minore, seculi XV., foliis 312. Insunt Lysiae oratt. 28, Luciani dialogi aliquot, Cebetis tabula, Herodiani histt. libri 8; inde a fol. 173 Aeschinis orationes tres praemissis Anonymi Apolloniique vitis; sequuntur argumm. in tres orationes: argumentum primae duplex est (ut apud Bekk.), argumentum secundae idem quod apud Bekk.; argumentum tertiae desinit in vv. *καὶ ἐπιλόγων* (sic) *μᾶλλον ἐοικὸς* (p. 352 Rsk.), cetera in scholiis habet. Timarchea incipit fol. 175 b; de f. leg. p. 196; Ctesiph. fol. 216 b. Plurimis marginalibus scholiis eiusdem scriptoris manu exaratis undequaque circumclusae sunt. Inde a fol. 310—312 leguntur Aeschinis epistolae 1. 2. 3. 6. 8 et 7 et Chionis epistola incipiens vv. *δυοῖν ἡμέραις*. Vide Montf. p. 351. Bandini Cat. p. 423—425. Sign. Laur.

11) Florentinus ex bibl. Medicea Laurentiana Plut. 60 cod. 4 chartaceus in 4 mai., seculi XV, optimae notae, in cuius primo folio adnotatum legitur: conventus S. Marci de Florentia ordinis Praed. in bancho 3 cod. graec. Constat foliis 77. Insunt p. 1 sqq. Aeschinis Ctesiphontea, p. 36 eiusdem de f. leg., p. 60 eiusdem epistolae duodecim; sequuntur aliorum epistolae. Bandin. p. 588 sq. et minus recte Montf. p. 360 d. Sign. Flor.

B. SECUNDI GENERIS.

12) Marcianus (50) „chartaceus, forma maxima, orationes et epistolas habet, scholiis destitutus." Bekker. Sign. d.

13) Coislinianus 249, olim 221 (Montf. bibl. bibl. T. II p. 1061 c. et bibl. coisl. p. 302 sq.), Pp. Augeri, membranaceus, decimi, ut putant, seculi (at vd. supra), in quo inde a fol. 77 Aeschinis in Tim. oratio cum exiguis scholiis legitur; fol. 98 sqq. Aeschinis de f. leg. cum parvis scholiis; fol. 116 — 142 Aesch. adv. Ctesiph. praemisso argumento; fol. 142—148 Aeschinis epistolae 12 eo ordine, quo apud Bekkerum habentur. Ibidem est appendix ad vitam Aeschinis. Sign. F.

14) Meadianus sive codex Ricardi Mead, Med. D. Archiatri, fol., bombycinus, scriptus manu eleganti sed recentiori cum scholiis marginalibus. Insunt Aesch. f. leg. cum argum. in Ctesiph., epp. 12 et deinde manu aliquantum diversa oratio in Tim. praemisso Libanii argumento ad Dem. de f. leg. (p. 333 R.), Pythagorae aurea carmina et Hieroclis comm. ad illa carmina. „Utraque pars eodem seculo exarata videtur. Prior pars constat decem quaternionibus, posterior novem, qui de integro numerantur." Taylor. ap. Reisk. T. III p. 771. Sign. q.

Cod. Gothanus 572 tantum in Timarchea huc referendus infra describetur.

Paris. bibl. imper. 2947 tantum in Timarchea et parte orat. de falsa leg. huc referendus infra describetur.

15) Barberinus 139, forma quadrata, nitidissime scriptus, in membranis, quem Heysius (v. Voemelii notit. codd. Demosth. VI, p. 33) satis antiquum esse testatur (sec. XIII vel XIV, ut mihi videtur). Continet Anonymi et Apollonii vitas Aeschinis, argumenta, tres orationes fol. 133. Sign. Barb.

16) Abbat., fol., chartaceus, ex Abbatia Florentina in biblioth. Medic. Laurentianam translatus (fascic. 6 post Plut. 44), fol. 202. Egregie scriptus continet Aeschinis or. Tim. sine argumento et Isocratis orationes. Videtur sec. XIV scriptus esse. Sign. Abb.

17) Laurentianus bibliothecae Med. Laurent. Plut. 58 cod. 6 vel 5, fol., chartaceus, sec. XV. foliis 107. Magna est inter p. 26 et 65 confusio propter quaterniones praepostere compactos. Insunt Phalaridis epistolae; inde a fol. 27. Aeschinis epistolae duodecim; inde a fol. 33 b Aeschinis de f. leg. praemisso argumento; a fol. 54 Timarchea, quae desinit in vv. *τοὺς παρανομοῦντας ἐξετάζειν*. Integer huius orationis quaternio ante Aeschinis epistolas perperam insertus. Inde a fol. 76 Ctesiphontea cum duplici argumento, quorum alterum est appendix ad vitam Aeschinis, quae in h et F invenitur. Adspersa sunt scholia nonnulla latina non satis magni momenti. Nullum autem neque epistolis neque orationibus auctoris nomen appositum. Bandin. p. 443 sqq. et minus accurate Montf. p. 352 e. Sign. Laur. I.

C. TERTII GENERIS.

18) Marcianus (append. class. 8 cod. 4), „membranaceus, forma quadrata, foliis 209: insunt Demosthenis adversus Philippum et pro Ctesiphonte, Aeschinis de f. leg. et adv. Ctesiph. orationes.“ Bekker. Sign. e.

19) Paris. bibl. imper. 2947, olim 2775, reg. 2 Tayloris, T Augeri, fol., chartaceus, seculi XV. Insunt argum. Demosthenis de f. leg. ex Libanio, Aeschinis orationes tres et appendix in eius vitam. Sign. h.

20) Paris. bibl. imper. 2998, olim 264 et 2766, Cc Augeri, olim Federici Morellii, postea Baluzzianus, fol., bombycinus, seculi XIV aut XIII, foliis minoribus 389 maculatus et paulisper a vermibus erosus. Insunt praeter alia Aeschinis Ctesiphontea et de f. leg. Vide Voemelii Prolegg. Critica in Dem. contionn. p. 205. Scholia passim adiecta sunt. Sign. k.

21) Paris. bibl. imper. 3002, Gg. Augeri, qui fuit Heralti Boistalleri (Boistallerianus), fol., chartaceus, seculi XV extr. (Mellot) aut XVI (Aug.). Insunt inter alia Aeschinis orationes tres et duodecim epistolae. Sign. l.

22) Harleyanus, in quo Timarchea deest. „Asservatur in biblio-

theca illustrissimi viri Edu. nuper comitis Oxoniensis cett. Eleganter quidem scriptus, antiquus et bonae indolis. — Liber ille quondam ad ecclesiam Ripponensem in agro Eboracensi spectabat." Taylor. Sign. s.

D. QUARTI GENERIS.

23) Paris. bibl. imper. 2996, olim 3273, reg. 3 Tayloris, Aa Augeri, δ Morellii, bombycinus, Fonteblandensis, ut videtur, seculi XIII. Insunt Dem. de f. leg. initio manca cum brevibus scholiis marginalibus et Aeschinis or. de f. leg. cum scholiis. Inest appendix vitae Aeschinis. Vid. Voemel. prolegg. crit. ad Dem. p. 181. Sign. i.

24) Helmstadiensis (postea Gottingensis, nunc Guelferbytanus) „membranaceus, seculo XV medio exaratus nitidissimis plerisque una manu quasi uno die linearum ductibus pulcherrimis et lectu expeditissimis a Georgio Chrysococca, ut ipse testatur in calce codicis hoc pari iamborum politicorum:

Γεώργιος γέγραφεν ὁ χρυσοκόκκης
Αὐρίσπᾳ τήνδε βίβλον τῷ Ἰωάννῃ."

Reisk. T. III p. 773. Insunt vita Aeschinis et argumenta trium eius orationum continuo scripta, tum orationes ipsae vulgari ordine, tum epistolae Aeschinis, denique epistolae Isocratis et Socraticorum atque Dionysii Halicarnassensis vita Lysiae. Sign. p.

25) Vindobonensis (Vienn. apud Bremium), sec. XIV—XV, quo Aeschinis f. leg. continetur. De eo Bremius collationem a Copidario nactus haec monet T. 1 p. 258: "manus librarii est graeca (non itala). Iota subscriptum nusquam adest, compendia sunt plurima, sed constantia, non arbitraria. Abundat quidem calami lapsibus, sed multae etiam insunt bonae lectiones". „Haud dubie idem est qui cod. 196 apud Montf. bibl. bibl. p. 560 e et Danielem de Nessel Catal. P. IV p. 110, cod. 105 autem apud J Fr. Reimannum habetur: his testibus chartaceus est, in 4to, foliis 45, mediocriter antiquus et bonae notae." Frankius. Sign. v.

26) Urbinas (116), membranaceus, forma maxima, foliis 93. "hunc quoque notae peioris librum nonnisi ad unam adversus Ctesiph. orationem adque epistolas adhibui. scholia desunt." Bekker. Sign. c.

27) Gothanus 572 a. M. Ios. Buergeri Archidiaconi heredibus bibl. ducali dono datus. Continentur pp. 2—4 *Γοργίου ἐγκώμιον Ἑλένης*, pp. 4—41 or. adv. Ctesiph., pp. 41—64 or. adv. Tim. usque ad vv. *ὁ δὲ κατηγορῶν ἐκρίνετο* (§. 175). Scholia nonnulla adspersa sunt. Ad Ctesiphonteam plurimae correctiones adiciuntur et ab eadem manu et ab altera recentiore. Vide Frank. in Jahn. Ann. 34 p. 268. Sign. t.

Variae lectiones tamquam ex manuscriptis ignotis oris libri Ed. Bernardi (in bibl. Bodl. Oxon.) adscriptae magnam partem sunt coniecturae Iosephi Scaligeri (vid. Reisk. praef. ad scholia in Aeschinem T. III p. 715 sqq.). Sign. Bern.

Item inveniuntur emendationes in libro I. Mori Episcopi quondam Eliensis in regia Cantabrigiensi. Sign. Mor.

Askewiani libri lectiones sunt notulae quaedam Aldinae, cuius possessor Antonius Askewius erat, ab ignoto homine adspersae. Sign. Askew.

Variantes lectiones ex Aldina Hamburgensium (a 1513. cf. catal. real. RB. Vol. VIIII p. 1) per Redslobium descriptas Frankius (in lectt. Aeschin. l. l.) publici iuris fecit. Manu vetere ex codice aliquo nobis adhuc incognito margini appictae sunt, locis admodum paucis vitia quaedam Aldinae leviora corriguntur. Sign. Ald. II.

EDITIONES QUIBUS USI SUMUS:

Aldi a. 1513:	Ald.	Dindorfii a. 1824:	Di.
Stephani a. 1575:	Steph.	Baiteri-Sauppii a. 1840:*	BS. (edd. Turicc.)
Hieronymi Wolfii a. 1572:	Wolf.	Frankii a. 1846:	Fr. Tim.
Taylori a. 1748:	Taylor.	Frankii a. 1851:	Fr. 1 ed.
Reiskii a. 1771:	Rsk.	Benseleri a. 1855:	Bens.
Bekkeri a. 1824:	Bk.	Frankii a. 1859:	Fr.
Bremii a. 1823:	Br.		

*) quacum consentit Parisiensis Didoti a. 1858.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ.

REISK. T. III. p. 10.

Αἰσχίνης υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ γραμματικοῦ[1] *καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν,*[2] *ταύτην δὲ ἐκ σκοτεινῶν τόπων ὡρμημένην ἐκφοβοῦσαν παῖδας καὶ γυναῖκας*[3] *Ἔμπουσαν ὀνομασθῆναι, ἐπεὶ νυκτερινὸν φάντασμα ἡ Ἔμπουσα· γενόμενον δὲ μειράκιον ὑποκριθῆναι τραγῳδίαν, ὥστε τριταγωνιστεῖν,*[4] *ὄντα δὲ λαμπρόφωνον γραμματεῦσαι Ἀριστοφῶντι καὶ μετὰ τοῦτον*[5] *Εὐβούλῳ, καὶ ἀναγινώσκοντα*[6] *ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν ὄντα εὐφυᾶ.*[7] *μετὰ δὲ τὴν Φιλίππου τελευτὴν δόξαντα πολεμεῖν τῷ δήμῳ καὶ διαπέμπεσθαι τῷ*[8] *Ἀντιπάτρῳ κατὰ τῆς πόλεως διὰ τοῦτό τε*[9] *εἰληφέναι ἐν Θήβαις*[10] *κτήματα, εὐθύνοντα Κτησιφῶντα,*[11] *ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφα-* 11
νούμενον,[12] *μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων. ἀτιμωθέντα δὲ*[13] *ἀπᾶραι εἰς τὴν Ἀσίαν, καὶ ἐλθεῖν εἰς Ἔφεσον οἰηθέντα κατάξειν αὐτὸν εἰς Ἀθήνας Ἀλέξανδρον·*[14] *πυθόμενον*[15] *δὲ τετελευτηκέναι τὸν βασιλέα καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων, καταφυγεῖν εἰς Ῥόδον. ἔνθα δεομένων*[16] *Ῥοδίων τὴν τέχνην αὐτοὺς*[17] *διδάξαι τὴν ῥητορικήν, ἀρνήσα-*

1) γραμματιστοῦ p (Br. Bk. Di. BS. Fr.), γραμματέως d. cf. Steph. Thes. ed. Dind. s. v. γραμματικός. 2) ἀναγιγνώσκειν Laur. Barb. 3) ἐκ σκοτεινῶν — καὶ γυναῖκας] ἐκ σκοτεινοῖς τόποις ὡρμημένην ἐκφοβοῦσαν παῖδας καὶ γυναῖκας Vat., σκοτεινῶν ἐκ τόπων ὁρμωμένην καὶ φοβοῦσαν παῖδας καὶ γυναῖκας p, ἐκ σκοτεινῶν τόπων τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ὁρμωμένην cett. 4) τριταγωνιστὴν γενέσθαι τραγῳδιῶν (τραγωδικῶν p) p Vat. 5) μετὰ τοῦτον] μετ' αὐτὸν d. 6) διαγινώσκοντα b. 7) εὐφυᾶ abdm Vat. Laur. Barb. et p teste Rsk., εὐφυῆ cett. 8) τῷ om. Laur. 9) γε abp. 10) ἐν Θήβαις om. p Vat. 11) Κτησιφ. δὲ p. 12) στεφανούμενον coni. Saupp. coll. Aeschin. 3, 44, στεφανωθέντα coni. Reisk. (Br. Fr.), στεφάνω Rsk. Bk. Di. BS. cum libris. 13) ἀτιμ. δὲ] καὶ ἀτιμ. p. 14) ἀλέξανδρ. abdp Vat. Laur. Barb., τὸν ἀλέξανδρ. cett. 15) πυθόμενος Barb., πειθόμενος p Vat. 16) δεομένων αὐτοῦ vulgo, αὐτοῦ om codd. 17)

σθαι εἰπόντα μηδ'[18] εἰδέναι. δίκας γοῦν κελευόντων εἰπεῖν οὐδὲ τοῦτο ἐθελῆσαι,[19] συμβαλόντα,[20] ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς κομιδῇ γ' ἂν[21] ἐπὶ γῆς ἀλλοτρίας διαφθαρείη.[22] τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης[23] δὲ ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ[24] τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέ-
12 λοπα αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος[25] τοῦ χοροδιδασκάλου (ἐνθένδ'[26] οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων), καὶ μετὰ Σωκράτους καὶ Σιμύλου τῶν κακῶν ὑποκριτῶν ἁλᾶσθαι κατ' ἀγρούς·[27] εἶη ἂν οὖν[28] ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ τῶν δήμων[29] Αἰσχίνης[30] Κοθωκίδης.[31]

ΑΠΟΛΛΩΝΙΟΥ ΕΙΣ ΑΙΣΧΙΝΗΝ ΕΞΗΓΗΣΙΣ.[1]

Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, τῶν δήμων[2] Κοθωκίδης,[3] υἱὸς δὲ Ἀτρομήτου, ὃν φασι πρότερον Τρόμητα[4] καλούμενον ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος[5] Ἀτρόμητον[6] προσαγορευθῆναι,[7] γεγονέναι δὲ τὸ
13 κατ' ἀρχὰς δοῦλον καὶ πέδας[8] ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ, εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ Αἰσχίνης[9] Γλαυκοθέας ἢ, ὡς ἔνιοι, Γλαυκίδος,[10] ἣν φασι τὴν πρώτην ἡλικίαν ἑταιρηκέναι[11] καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου[12] ἡρῴῳ,[13] ἔπειτα ὕστερον ἀναστᾶσαν

Ῥοδίων τὴν τέχνην αὐτοὺς Fr. BS., ῥοδίων τὴν τέχνην αὐτοῖς abdmp Vat. Laur. Barb., αὐτοῦ Ῥοδίων τὴν τέχνην Rsk. Br. Bk. Di. 18) μηδὲ Vat., μὴ δ' αὐτὸν Laur. Barb., μηδ' αὐτὸν cett. 19) ἐθελῆσαι abm Vat. Laur. Barb. et p teste Rsk., θελῆσαι cum cett. Bk. 20) συμβάντα Vat., εἰπόντα p. 21) γ' ἂν] γὰρ Barb. 22) διαφθαρείη de coni. Dind. (scholia in Aesch. et Isocr. p. 5.), μέλλει διαφθαρῆναι coni. Rsk., διαφθαρῆναι libri. 23) δημοσθένους m. 24) τραγῳδιοποιοῦ vulg. ante Br. 25) σουννίωνος p. 26) ἔνθεν p. 27) κατ' ἀγροὺς] καταγνοὺς d. 28) οὖν om. p (vid. Dind. l. c.). 29) τῶν δήμων ab Vat. Laur., τὸν δῆμον cum cett. Rok. Br. Bk. Di. 30) ὁ αἰσχίνης bp. 31) κοθωκίδης p teste Rsk.

1) εἰς — ἐξήγ.] περὶ αἰσχίνου ῥήτορος p. 2) τῶν δήμων ab Vat., τῷ δήμῳ Laur., τὸν δῆμον cett. 3) καθωνίδης d. 4) πρ. Τρόμ.] τρόμητα πρότερον Laur. 5) τοῦ τρόμητος Laur. 6) ἀτρόμητος Laur. ἀτρόμητα p Vat. 7) προσ...ρευθῆναι Vat. 8) πέδας Saupp., παῖδας libri. cf. Dem. 18, 129. 9) ὁ αἰσχίνης ab Vat. et codd. Rsk., αἰσχίν. Bk. Di. 10) γλαυκίδης Laur. Barb. 11) ἠταιρικέναι b Vat. 12) καμίτου Laur. 13) ἡρῴῳ[

ἀπὸ τῆς ἐργασίας ταύτης[14] ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δ' ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους[15] τοῦ τὰς ἀλαβαστοθήκας[16] καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει[17] γράμματα διδάσκοντι, ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε[18] ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ· ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ[19] ἔργον· ἔπειτα ἀποστὰς τούτου τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν,[20] καὶ ἐν Κολλυτῷ[21] ποτε Οἰνόμαον ὑποκρινόμενος κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ ἐπὶ 14
τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους.[22] ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν,[23] ἄλλα τε πολλὰ μαρτύριά ἐστι[24] καὶ δὴ πάντων ἐκεῖνο[25] ἐναργέστατον· ἑλομένου[26] γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή,[27] ἀλλ' ἀπελάσασα αὐτὸν[28] ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῷ Ἀθηναίων[29] Ὑπερείδῃ[30] λέγειν προσέταξε. φασὶ μέντοι[31] τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε[32] καὶ Σωκράτους,[33] ψευδόμενοι. ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ[34] τέχνας λέγεται 15
ῥητορικὰς γεγραφέναι. λέγεται δὲ ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ παραπρεσβείας[35] φησίν, ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους τοῦ[36] Ἐτεοβουταδῶν, ὅθεν ἡ[37] τῆς

τεμένει p et schol. Vat. 14) *ταύτης* om. Laur. 15) *φιλοχάρου* Laur. 16) *ἀλαβαστοθήκας* abdm Vat. Laur. Barb., *ἀλαβαστροθήκας* cett. 17) *ὑπηρετεῖ* Laur. Barb. *ὑπερετεῖ* Vat. 18) *ὑπογραμματεῦσαι* dBarb. 19) *τοῦτο τὸ*] *τὸ τοιοῦτον* p. 20) *τραγῳδιῶν* om. Barb. 21) *κολλυτῷ* BS. Fr., *κολυττῷ* libri. 22) *κολακείαν — πολιτευσαμένους*] *πολιτείαν ἐναντίως πολιτεύσασθαι τοῖς περὶ δημοσθένην, ἐναντίως καὶ αὐτοῖς πολιτευσαμένοις τοῖς φιλίππου πράγμασι καὶ ἀλεξάνδρου* p. 23) *αἰσχίνης* post *βασιλεῦσιν* add. p (Br.). 24) *ἐστι* post *ἐκεῖνο* pon. p. 25) *ἐκείνων* m. 26) *ἑλομένοις* Laur. 27) *ἀθηναίων — βουλὴ* in lac. om Vat. 28) *ἱεροῦ — αὐτὸν*] *ἱεροῦ περὶ τῆς γενομένης ἐκείσε ταραχῆς ἀπελάσασα αὐτὸν ἡ βουλὴ* p. 29) *τῷ ἀθηναίων* dm Vat. Laur. Barb., *τῷ ἀθηναίῳ* ab, *τῶν ἀθηναίων* cett. 30) *Ὑπερείδῃ* BS. Fr., *ὑπερίδῃ* libri. 31) *μὲν* Laur. 32) *τε* om Vat. 33) *Πλάτωνος — Σωκράτους*] *σωκράτους καὶ πλάτωνος* p. 34) *καὶ* om. Laur. 35) *περὶ πρεσβείας* p. 36) *τοῦ*

Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, νέος[38] δ' ὢν ἤθλει,[39] καὶ χρόνῳ ὕστερον[40] τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα, καὶ στρατευόμενος ἐν Ἀσίᾳ[41] ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας συγκατήγαγε τὸν δῆμον· βιῶσαι[42] δ' ἀναμαρτήτως, εἶναι δ' αὐτὸν ἐτῶν ἐνενήκοντα τεσσάρων. φησὶ δὲ καὶ[43] τοὺς πρὸς μητρὸς αὐτῷ[44] προσήκοντας ἐλευθέρους εἶναι. τῶν δὲ ἀδελφῶν[45] αὐτοῦ[46] Φιλοχάρη[47] μὲν ἐν γυμνασίοις διατρίβειν καὶ μετ' Ἰφικράτους[48] ἐστρατεῦσθαι καὶ συνεχῶς στρατηγεῖν,
16 Ἀφόβητον δὲ τὸν νεώτατον[49] αὐτῶν[50] ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς[51] τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ αὐτοῦ[52] φησιν, ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν· οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα[53] νόμου· ἐστρατεύσατο δὲ πρώτην[54] στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ' Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς[55] Φλιοῦντα[56] πομπήν, κινδύνου δὲ[57] γενομένου[58] περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις[59] μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δ'[60] Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οε'.[61] τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος[62] ἐστί, τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον

abdmp Vat. Laur. Barb., τῶν vulgg. 37) καὶ ἡ p. 38) ὃς d Barb., ὡς Vat. 39) ἤθλει H. Wolfius coll. Aesch. 2, 147 (edd. inde a Bk.), κἄλλει libri. νέος δ' ὢν ἤθλει om p. 40) δ' ὕστερον p, qui paullo infra vv. ἐν τ. πολέμῳ om. 41) ἐν Ἀσίᾳ Sauppius. cf. Aesch. l. c. καὶ εὐνοίας καὶ abd Vat. Barb., δὲ εὐνοίας καὶ p, qui teste Rsk. στρατευσάμενος dat. εὐνοίας καὶ cett. 42) βιῶσαι abdmp Vat. Laur. Barb., βιῶναι cett. 43) καὶ om Laur. 44) αὐτῷ tacitescripsit Bk., αὐτῷ libri. 45) τῶν δὲ ἀδελφῶν de coni. Bekk.: BS. Fr., τὸν δὲ ἀδελφὸν libri. 46) αὐτοῦ Bk., αὐτοῦ cett. 47) φιλοχάρην corr. m, φιλοχάριν Laur. 48) ἐφικράτους Vat. 49) νεώτερον p. 50) αὐτῶν cum edd. Turicc.: Fr., αὐτῶν abdm Vat. Barb., αὐτῶι Laur., αὐτοῦ Bk. Di., αὐτοῦ vulgg. (Rsk. Br.). 51) ἀξίως καὶ καλῶς p. 52) αὐτοῦ Vat. Laur. ἑαυτοῦ cett. 53) πρόσταγμα abdmp Vat. Laur. Barb., προσταγὴν cett. 54) τὴν πρώτην m. 55) εἰς om. d. 56) φιτοῦντα p Vat. 57) κινδύνου δὲ] καὶ κινδύνου p. 58) γινομένου Laur. 59) ταμύναις ab Vat. Laur. Barb., ταμύγαις p teste Rsk., ταμύνοις cett. 60) ἐτελ. δὲ] καὶ ἐτελεύτησεν p. 61) ἑβδομήκοντα καὶ πέντε Barb. 62) καὶ νόθος abdm Vat. Laur. Barb.

γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται· τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει ὁ[63] κατὰ Τιμάρχου· ἐν γὰρ τῷ μετ' αὐτόν, τῷ περὶ τῆς παραπρεσβείας,[64] μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

[ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ.][1]

[Ὅτι ἠδυνήθη νικῆσαι τὴν κατηγορίαν, Εὐβούλου συναγωνισαμένου[2] κατὰ τοῦ Δημοσθένους ἐν τῷ ποιῆσαι τοὺς δικαστὰς ἀναστῆναι[3] ἔτι[4] τοῦ Δημοσθένους λέγοντος, ὡς[5] ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς. συνέβη δὲ αὐτῷ ἐκπεσεῖν τῆς πατρίδος ὕστερον διὰ τὸ κατηγορῆσαι τοῦ ψηφίσματος τοῦ Κτησιφῶντος τοῦ ὑπὲρ τοῦ Δημοσθένους ὡς παρανόμου, καὶ ὁρίσαντος τὸ πρόστιμον ἐὰν μὴ δείξῃ αὐτὸ παράνομον καὶ ἡττηθέντος καὶ διὰ τὸ μὴ δύνασθαι καταβαλεῖν[6] τὴν καταδίκην, ἣν αὐτὸς ὥρισε, φυγῇ χρησαμένου[7], ὡς καὶ[8] τοῦτο ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ[9] στεφάνου. φυγὼν δὲ τὴν πατρίδα καὶ θελήσας ἀνελθεῖν πρὸς Ἀλέξανδρον, μαθὼν περὶ τῆς αὐτοῦ τελευτῆς καὶ τῆς ταραχῆς[10] τῶν τούτου διαδόχων εἰς Ῥόδον ἔπλευσε καὶ Ῥοδιακὸν διδασκαλεῖον συνέστησε, παιδεύων τε[11] τοὺς νέους[12] καὶ τοῖς τελειοτέροις ἀνδράσιν[13] ἀναγινώσκων τὸν[14] λόγον τὸν κατὰ Κτησιφῶντος[15], ὃν εἶπε κατὰ τοῦ Δημοσθένους· καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν[16] ἐπὶ τούτῳ καὶ ἐρωτώμενος,[17] πῶς οὖν ἐπὶ τοιούτῳ λόγῳ[18] ἥττησαι; ἀπεκρίνατο, θαυμάζετε πῶς ἥττημαι, καθὸ οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. θηρίον γὰρ αὐτὸν ἐκάλει διὰ τὸ δεινὸν τῶν τρόπων καὶ ἀνελεῆμον. λέγεται δὲ ὅτι καὶ τὰς λεγομένας μελέτας καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος ἐκεῖσε[19]

63) ὁ om. b. 64) παρὰ τῆς πρεσβείας m, πρεσβείας Laur.

1) Hoc argumentum, cui praescripsit Dindorf. lemma ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ, habent F Laur. 1 et Ald. ante or. Ctesiph., i Bern. in initio sec. or. 2) συνηγωνισμένην i, συνηγωνισαμένου vulgo. 3) ἀναστῆσαι Bern. 4) ἔτι F Laur. 1, εἰ i, om. vulg. 5) ὡς om. Bern. 6) καταβάλλειν Bern. 7) χρησαμένων F, χρησαμένῳ Laur. 1. 8) ᾗ (sic) i. 9) τοῦ om. Bern. 10) μαθὼν — ταραχῆς] μετὰ τὴν τούτου τελευτὴν καὶ τὴν ταραχὴν i Bern. 11) παιδεύων τε] παιδεύει τε F, καὶ παιδεύει μὲν οὕτω i Bern., παιδεύων γε οὕτω Laur. 1. 12) τοὺς ν.] τοῖς νέοις i. 13) ἀνδράσιν add. F Laur. 1. 14) δὲ τὸν vulg. 15) τὸν κ. Κτ. om. i Bern. 16) αὐτοῖς Bern. 17) παρ' αὐτῶν add. codd. post ἐρωτώμενος praeter Laur. 1. 18) τοιούτῳ λόγῳ] τούτου λόγου i Bern. 19) ἐκεῖ Bk. cf. Lobeck. Phryn. p. 44. ἐκεῖ-

εὗρεν ἐν τῷ σχολάζειν. ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριός ὁ Φαληρεύς φησι[20], Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος· ὡς δὲ Καικίλιος[21] καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος ἱστοροῦσιν[22], οὐκ ἤκουσε τούτων[23] τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ[24] γὰρ ὡς ὅτι[25] οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν οὔτε τὸ[26] ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά[27] πώς ἐστιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερῶς[28] ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη, ἔχουσα δέ τι καὶ[29] εὐφυὲς καὶ εὐάγωγον καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφανοῦς.]

σε post εὗρεν pon. vulg. 20) φησι om. i Bern. 21) κεκίλιος i Laur. 1. 22) ἱστοροῦσιν om. i Bern. 23) τούτων om. i Bern. 24) φησὶ i Bern. 25) ὅτι om. i Bern. 26) οὔτε τὸ add. Rsk. Pro eo καὶ habet Fi Laur. 1. 27) κεχρηνυῖα Laur. 1. 28) εὐχερὴς Bern. 29) καὶ om. F Laur. 1.

1.

ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

ΥΠΟΘΕΣΙΣ.[1]

Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον τὸν[2] *Ὀλυνθιακὸν πό-* 17
λεμον ὕστερον δόξαν αὐτοῖς εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον,[3] *καὶ συμμαχίαν αὐτῷ*[4] *καὶ τοῖς ἐγγόνοις ψηφισάμενοι ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις τοὺς ἀποληψομένους παρ' αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας γράφονται*[5] *παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ καὶ Τίμαρχος Ἀριζήλου*[6] *Σφήττιος,*[7] *διάσημος ὢν ἐν τῇ πολιτείᾳ*[8] *καὶ δημηγορῶν καὶ πλέον ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα*[9] *βουλεύων, τὸν ἐκφέροντα ὅπλα πρὸς Φίλιππον θανάτῳ ζημιοῦσθαι. ἀποτεθείσης*[10] *οὖν τῆς γραφῆς,* 18
πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ ἐξεῖναι γὰρ[11] *αὐτῷ*[12] *δημηγορεῖν ἑταιρηκότι.*[13] *ἔνιοι*[14] *μὲν οὖν φασιν, ὡς ἀπήγξατο*[15] *ὁ Τίμαρχος τὴν κρίσιν οὐχ ὑπομείνας· οἱ δὲ, ὅτι ἁλοὺς ἠτιμώθη, ὡς Δημοσθένης*[16] *ἐν τῷ περὶ τῆς*[17] *παραπρεσβείας. οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης τοὺς πόρνους τὸ λοιπὸν*[18] *ἐκάλουν Τιμάρχους. τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ συστήσας*[19] *ἑαυτὸν μέτριον,*[20] *ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ* 19
τὸν Τίμαρχον διαβαλὼν καὶ περὶ τῆς πολιτείας εἰπὼν μεταβαίνει ἐπὶ κεφάλαια[21] *οὐ τῆς ὑποθέσεως*[22] *ἴδια, ἀλλὰ κοινὰ κατὰ*[23] *πάντων τῶν ἑταιρήσεως*[24] *κρινομένων. ἔστι δὲ τάδε· εἰ καλῶς καὶ ἀκριβῶς*[25]

1) *ΚΑΤΑ Τ. Τ.*] *ὑπόθεσις εἰς τὸν κατὰ τιμάρχου* Vat. Laur. Barb., *ὑπόθεσις εἰς τὸν κατὰ τιμάρχου λόγον* cett. 2) *τὸν* om. abdlm Vat. Laur. Barb. 3) *αὐτὸν* p. 4) *αὐτοῖς* l. 5) *γράφονται* de coni. Bekk.: BS.Fr., *γράφουσι* libri. 6) *ὁ ἀριζ.* Bern. 7) *φήττιος* Vat. Laur. 8) *πόλει* m. 9) *ψηφίσματα* Laur. 10) *προτεθείσης* Rsk. Br. 11) *γὰρ* om. abdlm Vat. Laur. Barb. 12) *αὐτὸν* l. 13) *ἠταιρικότι* Vat. 14) *ἐνίοτε* Laur. 15) *ὑπήγξατο* Laur. 16) *καὶ δημοσθένης φησὶν* p. 17) *περὶ τῆς* om. pr. Laur. *περὶ* suppl. sec. man. 18) *τὸ λοιπὸν* om. l. 19) *συστήσας* Bern. H. Wolf. Bk. Di. BS. Fr., *διαστήσας* l Laur., *διασυστήσας* cett. libri. 20) *ὡς μέτριον* Bern., *μέτριον* om. l. 21) *τὰ κεφάλαια* d. 22) *τῆς ὑ.*] *τῇ ὑποθέσει* d Barb. 23) *καὶ κατὰ* l. 24) *ἑταιρήσεων* l, *ἐπιρρήσεως* Vat. 25) *ἀκρι-*

τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς[26] τῶν παίδων εὐκοσμίας καὶ μειρακίων καὶ τῶν ἄλλων ἡλικιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι[27] μὴ[28] δημηγορεῖν, καὶ ἐξῆς, εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκώς,[29] ἐν ᾧ, εἰ ἔνοχος τῇ γραφῇ ἑταιρήσας·[30] εἰ[31] παρὰ Μισγόλα ἡταίρησε μισθοῦ περὶ τὰ τοιαῦτα ὄντι δεινῷ· εἰ παρὰ Ἀντικλεῖ· εἰ[32] ἐν τῷ[33] κυβευτηρίῳ διατρίβων καὶ κυβεύων[34] ἀνελήφθη ὑπὸ Πιτταλάκου,[35] δημοσίου δούλου τῆς πόλεως, καὶ παρ' αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ Τιμομάχου[36] ταμίᾳ διέτριψε χρόνον[37] ἑταιρῶν.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.[1]

Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. ἦν δὲ ὁ Τίμαρχος τῶν[2] ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν[3] τὸν Αἰσχίνην σεσυκοφαντηκώς.[4] νόμοι δέ εἰσι περὶ[5] τῶν ῥητόρων κείμενοι, οὕστινας χρὴ εἴργεσθαι[6] τοῦ[7] λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας· εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι,[9] ὥστε δοκιμάζεσθαι, εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε,[10] περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς[11] κατηγορίας διὰ ταύτην[12] ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.[13]

---

27 1. *Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ ἄνδρες Ἀθηναῖοι,*[1] *οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε*[2] *νομίζω, μέτριον ἐμαυτὸν πρὸς*[3] *ἕκαστα τούτων παρεσχηκώς, ὁρῶν*[4] *δὲ τὴν πόλιν*[5] *μεγάλα βλαπτομένην ὑπὸ Τιμάρχου του-*

βεῖς dp. 26) τῆς om. Laur. 27) ἡταιρικόσι b Vat. 28) μὴ om. p Vat. Barb. 29) ἡταιρικὼς b Vat. 30) ἑταιρήσας ab (BS. Fr.), τίμαρχος ἑταιρήσας dl Vat. Laur. Barb. (Bk. Di.). τίμαρχος ante τῇ γραφῇ add. cett. 31) εἰ] ἐν ᾧ εἰ dlm Vat. Laur. Barb. 32) εἰ add. cum Baitero Fr. 33) ἐν τῷ om. l. 34) διατρ. κ. κυβ.] κυβεύων καὶ διατρίβων m. 35) πυτταλάκου d. τοῦ add. p. 36) τιμάρχου l. 37) χρόνων Laur.

1) ΕΤ. ΥΠΟΘ.] ἑτέρα ὑπόθεσις εἰς τὸν κατὰ τιμάρχου a et b (non addito v. λόγον, ut equidem observavi), ἑτέρα ὑπόθεσις εἰς τὸν κατὰ τιμάρχου λόγον Vat. Laur. Barb., ἑτέρα ὑπόθ. εἰς τὸν αὐτὸν λόγον p. ΑΑΑΩΣ vulg. 2) τῶν om. Laur. 3) αὐτὸς Barb. 4) σεσυκοφαντικὼς Vat. Barb. 5) ἐπὶ b. 6) εἰργάσθαι Barb. εἰργάσθαι Laur. 7) τοῦ add. b. Barb. 8) οἱ Vat. Laur., οἳ Barb. 9) ἀπαγγεῖλαι Laur. 10) ἐδήδοκε Vat., κατεδήδωκε Barb. 11) τῆς om. Laur. 12) τοῦτο p. 13) γεγράφθαι Bern.

§. 1. 1) ὦ ἀθηναῖοι ablmopt Vat. Laur., ὦ ἄνδρες ἀθηναῖοι cett. (Rsk. Br. Bk. Di. Bens.), etiam F. 2) ἐγὼ Laur. 1. 3) παρ' b. 4) ὁρῶ pr. Laur. 5) τὴν πόλιν abdlmp

τουὶ[6] δημηγοροῦντος παρὰ τοὺς νόμους καὶ αὐτὸς ἰδίᾳ συκο-
2 φαντούμενος (ὃν δὲ τρόπον, ἐπιδείξω προϊόντος[7] τοῦ λόγου)
ἕν τι τῶν αἰσχίστων ἡγησάμην εἶναι μὴ βοηθῆσαι τῇ τε[1] πό-
λει πάσῃ καὶ τοῖς[2] νόμοις[3] καὶ ὑμῖν καὶ ἐμαυτῷ· εἰδὼς δ' αὐ-
τὸν ἔνοχον ὄνθ' οἷς ὀλίγῳ πρότερον ἠκούσατ' ἀναγιγνώ-
σκοντος[4] τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν 28
ταυτηνί.[5] καὶ ὡς ἔοικεν, ὦ Ἀθηναῖοι,[6] οἱ[7] εἰωθότες λόγοι
λέγεσθαι ἐπὶ[8] τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς· αἱ γὰρ
3 ἴδιαι ἔχθραι πολλὰ πάνυ[9] τῶν κοινῶν ἐπανορθοῦσι.[10] τοῦ μὲν
οὖν[1] ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τι-
μάρχῳ οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς οὔτ' ἐγώ, ἀλλ' αὐτὸς οὗτος
αὑτῷ.[2] οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι
μὴ δημηγορεῖν, ἐπίταγμα, ὥς γε δὴ ἐγὼ[3] κρίνω, οὐ χαλεπὸν 29
ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν αὐτῷ,[4] εἰ
ἐσωφρόνει, μὴ συκοφαντεῖν. περὶ μὲν οὖν[5] τούτων μετρίως
ἐλπίζω μοι προειρῆσθαι.

4 2. Οὐκ ἀγνοῶ δέ,[1] ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν[2] φα-
νεῖσθε καὶ ἑτέρων ἤδη[3] πρότερον ἀκηκοότες· ἀλλά μοι δοκεῖ
καιρὸς[4] εἶναι καὶ ἐμὲ νῦν πρὸς[5] ὑμᾶς ταὐτῷ λόγῳ τούτῳ[6]
χρήσασθαι.[7] ὁμολογοῦνται[8] γὰρ[9] τρεῖς εἶναι πολιτεῖαι παρὰ
πᾶσιν[10] ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία·
διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις

Vat. Laur. et Laur. 1, *τήν τε πόλιν* cett. 6) *τούτου* g. om. t. 7) *ἐπιδείξω προϊόντος* ablmpr Vat. Laur., *προσιόντος ἐπιδείξω* q, *προϊόντος ἐπιδείξω* cett. (Rsk. Br. Bk. Di.), ut § 42. cf. §. 82. 2, 5.

§. 2. 1) *τε* om. l. 2) *τοῖς* om. mor. 3) *καὶ — νόμοις*] *καὶ τοῖς νόμοις καὶ ὑμῖν* F. 4) *ἀναγιγνώσκοντος* t, *ἀναγινώσκοντος* cett. cf. Voemel. prolegg. ad Dem. §. 115. 5) *ταύτην* F Abb. Laur. 1. 6) *ὦ ἄνδρες Ἀθ.* ablmop Vat. Laur., *ὦ ἄνδρες Ἀθ.* cett. 7) *οἱ* om. Vat. 8) *ἐν* ablmopr Vat. Laur. et, ut testatur Taylor, h cf. Greg. Cor. VII, 1482. Hermog. III, 435. Frank. specimen novae edit. Aesch. Fuldae 1838 p. 22 et Jahn, Jahrb. 34, 248. *ἐπὶ* receperunt Fr. Bens. 9) *πάνυ* ante *πολλὰ* pon. l. 10) *ἐπανορθοῦσι* dFg Barb. Abb. Laur. 1. Stob. XLIII, 57. Hermog. p. 433. Greg. Corinth. l. c. (Fr. Bens.), *ἐπανορθοῦνται* cett. cf. Fr. l. c.

§. 3. 1) *οὖν* om. l Laur. 2) *αὐτῷ* abt Laur., *αὑτῷ* Fopq Vat., *ἑαυτῷ* cett. 3) *αὐτὸν ἐγώ* Laur. 1. 4) *αὐτὸν* bdmor Laur. Barb. Laur. 1 et pr. a. 5) *οὖν* om. mo.

§. 4. 1) *δὲ* ablmop Vat. Laur., *δὲ ὦ ἄνδρ. Ἀθηναῖοι* cett. 2) *ὅτι ἃ — λέγειν* abhlmopqr Vat. et sec. Laur. (pr. *ὅτι* om.) Bern. Hermog. l. c., *ἃ — λέγειν, ὅτι* cett. (vulg. ante Br.). 3) *ἤδη* om. dFg Barb. Abb Laur. 1. 4) *καιρὸν* g. 5) *καὶ* gAbb. 6) *τούτῳ* ante *λόγῳ* pon. Laur. (vulg. ante Bk.). 7) *χρῆσθαι* dF Abb. Laur. 1, (vulg. ante *οὖν* Br.). 8) *ὁμολογεῖται* h, *ὁμολογεῖται* q. 9) *γὰρ* om. Stob. XLIII, 62. 10) *παρὰ πᾶσιν*] *ἐν ἅπασιν*

τῶν ἐφεστηκότων,[11] αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νό-
30 μοις τοῖς κειμένοις.[12] εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν[1] 5
τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι
σώζουσι,[2] τὰ δὲ τῶν τυράννων[3] καὶ ὀλιγαρχικῶν[4] ἀπιστία
καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δή[5] τοῖς μὲν ὀλι-
γαρχικοῖς καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς
31 ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν[6] δὲ τοῖς τὴν
ἴσην καὶ ἔννομον[7] πολιτείαν ἔχουσι τοὺς[8] παρὰ τοὺς νόμους
32 ἢ[9] λέγοντας ἢ βεβιωκότας·[10] ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν
εὐνομῆσθε καὶ μὴ καταλύησθ' ὑπὸ τῶν παρανομούντων.[11]
προσήκειν δ' ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' 6
ἡμᾶς[1] σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους
τῇ πολιτείᾳ[2] θησόμεθα,[3] ἐπειδὰν δὲ νομοθετήσωμεν,[4] τοῖς
νόμοις τοῖς κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους κο-
λάζειν,[5] εἰ δεῖ τὰ τῆς πόλεως καλῶς[6] ἔχειν. 3. σκέψασθε
γὰρ, ὦ Ἀθηναῖοι, ὅσην πρόνοιαν περὶ σωφροσύνης[7] ἐποιή-
σαθ' ὁ[8] Σόλων ἐκεῖνος, ὁ παλαιὸς νομοθέτης, καὶ ὁ Δράκων
καὶ οἱ κατὰ τοὺς χρόνους[9] ἐκείνους νομοθέται. πρῶτον μὲν 7
γὰρ ἐνομοθέτησαν[1] περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν
33 ἡμετέρων, καὶ διαρρήδην ἀπέδειξαν ἃ[2] χρὴ τὸν παῖδα τὸν

προ

Stob. 11) ἐφεστηκότων F, προεστηκότων Barb., προεφεστηκότων g Abb. 12) τοῖς — κειμένοις] τοῖς κειμ. νόμοις l.

§. 5. 1) τὰ μὲν] τοὺς μὲν Laur., τὰ μὲν om. hq. 2) αὔξουσι l et γρ. hq. 3) τυραννίδων coni. Auger., de quo vid. Schaefer. ad Dem. p. 50, 15. 4) ὀλιγαρχικῶν BS. Bens. probante nunc etiam Fr., ὀλιγαρχιῶν abhlpq Vat. Laur., ὀλιγαρχικῶς o, τῶν ὀλιγαρχιῶν cett. libri (Rsk. Br.), quam lectionem defenderunt Fr. specimen n. ed. p. 24, Car. Scheibius in Jahni Annall. XII, 35. p 122; τῶν ὀλιγαρχικῶν coni. Taylor. cum Markl., probatum Bremio receptum a Dind., [τῶν] ὀλιγαρχικῶν Bk. 5) δὲ Barb. 6) ἡμῖν vulg., quam iam Steph. corr. 7) ἔννομον abhlmop Vat. Laur., τὴν ἔννομον cett., [τὴν] ἔννομον Br. 8) τὸ τοὺς Rsk. de coni. 9) τι dFg Barb. Abb. Laur. 1. (vulg. ante Rsk.), ἤτοι Ald. H. 10) βεβιωκότας κολάζετε l, βεβιωκ. κολαζόντων Abb., βεβ. κολάζειν cett. βεβιωκ. προσήκει κολάζειν Wolf. et Tayl., κολάζειν delendum esse primus vidit Tayl. (BS.). cf. §. 6 et Car. Scheibium in Jahni Ann. XII, 35 p. 123. 11) παρανομούντων ablop Vat. Laur. (Bens.), παρανομούντων καὶ (καὶ om. t), ἀσελγῶς βιούντων cett. cf. Scheib. l. c. et de forma partic. βιούντων Cobet. N. LL. p. 576 sq.

§. 6. 1) ὑμᾶς Fqt Barb. Abb. 2) πόλει lmopr Laur. Bern. et teste Tayloro h (Br. Bk. Di.). 3) θησόμεθα t Abb. et de coni. Bremii et Bekkeri BS. Fr. Bens., θησοίμεθα cett. 4) ἐνομοθετήσαμεν Bern. prob. Taylor. 5) κολάζεσθαι dF Barb. Abb. Laur. 1. 6) καλῶς abhlmopq Vat. Laur. Bern., καλῶς καὶ εὖ cett. (καὶ εὖ habet F in textu sec. manu). 7) σωφροσύνην t. 8) ὁ om. dgr Barb. Laur. 1 (Rsk. Br. Bk. Di.), ὁ σόλων om. q. comma ante ἐκεῖνος ponunt Rsk. Br. 9) καιροὺς dFgh Barb. Laur. 1.

§. 7. 1) ἐνομοθέτησαν post γὰρ pon. ablmop Vat. Laur., post ἡμετέρων cett. 2) ὡς p. 3) καὶ ὡς] πῶς p.

ἐλεύθερον ἐπιτηδεύειν καὶ ὡς[3] *δεῖ αὐτὸν τραφῆναι,*[4] *ἔπειτα δεύτερον περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον*[5] *περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο,*[6] *καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν*[7] *φύλακας.*
4. *βούλομαι δὴ κἀγὼ νυνὶ πρὸς*[1] *ὑμᾶς τὸν αὐτὸν τρόπον*
8 *χρήσασθαι τῷ λόγῳ, ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης. πρῶτον μὲν γὰρ διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους, οἳ κεῖνται περὶ*[2] *τῆς εὐκοσμίας τῶν παίδων τῶν ἡμετέρων,*[3] *ἔπειτα δεύτερον τοὺς*[4] *περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων ἡλικιῶν·*[5] *οὕτω γὰρ ἄν μοι μάλισθ' ὑπολαμβάνω τοὺς λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι, ὦ 'Αθηναῖοι, προ-*
διεξελθεῖν[6] *πρῶτον πρὸς*[7] *ὑμᾶς, ὡς*[8] *ἔχουσιν οἱ νόμοι περὶ* 34
τῆς πόλεως, πάλιν δὲ μετὰ τοῦτ' ἀντεξετάσαι τοὺς τρόπους τοὺς[9] *Τιμάρχου· εὑρήσετε γὰρ αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.*

5. *Ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις,*
9 *οἷς ἐξ ἀνάγκης*[1] *παρακατατιθέμεθα*[2] *τοὺς ἡμετέρους αὐτῶν παῖδας, οἷς ἐστιν*[3] *ὁ μὲν*[4] *βίος ἀπὸ τοῦ σωφρονεῖν, ἡ δ' ἀπορία ἐκ τῶν ἐναντίων, ὅμως*[5] *ἀπιστῶν*[6] *φαίνεται, καὶ διαρρήδην ἀποδείκνυσι*[7] *πρῶτον μὲν*[8] *ἣν ὥραν*[9] *προσ-*
ήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων[10] *παίδων εἰσιέναι καὶ ὀπηνίκ'*[11] *ἀπιέναι,*[12]
10 *καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν*[1] *ἀπαγορεύει*[2] *μὴ πρότερον, πρὶν* 35
ἂν ἥλιος[3] *ἀνίσχῃ,*[4] *κλῄειν δὲ προστάττει*[5] *πρὸ ἡλίου δεδυκό-*

4) *δεῖ αὐτὸν τραφῆναι*] *δὴ τραφῆναι αὐτὸν* b. 5) *μόνον* ablmp Vat. Laur., *μόνον δὲ* cett. 6) *παρεκατέθεντο* Laur. 7) *ἐποίησαν* dFgh Barb. Abb. Laur. 1 et *γρ.* q.

§. 8. 1) *ἐγὼ νυνὶ πρὸς* om. h, inter lineas habet q, *νυνὶ* om. dFg Barb. Abb. Laur. 1. Ald. 2) *περὶ* om. t. 3) *ἡμετέρων* r Laur. 1 (Br. Fr.), *ὑμετέρων* cett. cf. Fr. specim. p. 26. 4) *τὰ* l. 5) Quae vv. libri habent post *ἡλικιῶν*· „*οὐ μόνον περὶ τῶν ἰδιωτῶν ἀλλὰ καὶ περὶ τῶν ῥητόρων*" a Bk. uncis inclusa cum edd. Turicc. Fr. delevi, defendit Benseler. ad h. l. 6) *διεξελθεῖν* dFgh Ald. 7) *πρὸς* om t. 8) *πῶς* o et rc. m (Di.) om. pr. m. 9) *τοῦ* Fgh Barb. Abb. Laur. 1 (Ald.), *τοὺς τοῦ* Bern.

§. 9. 1) *ἐξανάγκης* Ald. 2) *προκατατιθέμεθα* l. 3) *ἐστιν* om. t. 4) *μὲν* om. h. 5) *ὅμως* om. Barb. 6) *ἀπιστεῖν* Laur. 1. 7) *ἀποδεικνύων* l. 8) *μὲν ἄν* o. 9) *ἣν ὥραν*] *ὀπηνίκα* Cobet. Var. Lectt. p. 314. N. LL. p. 452. 10) *πόσων* om. t. 11) *ὀπηνίκα* hlmopqr Vat. Laur. (Br. Bk. Di.), *πηνίκα* cett. 12) *ἀναχωρεῖν* sec. Laur.

§. 10. 1) *μὲν γὰρ* hq. 2) *ἀπαγορεύειν* Laur. 1, *ἀπαγορεύειν ἀπαγορεύει* l. 3) *ἥλιος* p Vat., *ὁ ἥλιος* cett. cf. 12. 3, 132. 4) *ἀνίσχει* Laur. 1.

τος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας οὕστινας δεῖ εἶναι καὶ ἄστινας[6] ἡλικίας ἔχοντας, καὶ ἀρχὴ[7] ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη,[8] καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν[9] τῶν ἐγκυκλίων.[10] κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ εἰς ὑμᾶς[1] ἀνα- 11
λίσκειν ὑπὲρ τετταράκοντ' ἔτη γεγονότα τοῦτο πράττειν, ἵν'
36 ἤδη ἐν τῇ σωφρονεστάτῃ[2] αὐτοῦ[3] ἡλικίᾳ ὤν, οὕτως[4] ἐντυγχάνῃ τοῖς ὑμετέροις[5] παισίν.

6. Ἀναγνώσεται οὖν[6] ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεύς,[7] ἵν' εἰδῆτε, ὅτι ὁ[8] νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδ' ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τἀνθρώπου εὐθὺς[9] πονηρὰν ἀρχὴν[10] λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων[11] παίδων παραπλησίους[12] ἡγήσατο πολίτας[13] ἔσεσθαι Τιμάρχῳ τουτῳί. λέγ' αὐτοῖς[14] τοὺς νόμους τούτους.

NOMOI.[15]

37 [Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα μὴ πρότερον[1] ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. καὶ
38 μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν[2] τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν 12
παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ᾖ[3] ἀδελφὸς[4] ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ,[5] θανάτῳ ζημιούσθω. καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις[6] μὴ ἐάτωσαν συγκαθιέναι[7] μηδένα
39 τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ[8] ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ[9] τοῦ γυμνασίου, ἔνοχος ἔστω[10] ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς

5) προστάττειν lp Vat. 6) τινας t. 7) ἀρχὴ lmopr Vat. et pr. a. (Bk. Di.), ἡ ἀρχὴ Laur., ἀρχὴν cett. 8) ἐπιμεληθησομένη l, ut 3, 27 aekl. 9) χορῶν καὶ l. 10) „imo κυκλίων ut 3, 232". Frank. cf. Eur. I. T. 414 Herm.

§. 11. 1) ἑαυτοῦ εἰς ὑμᾶς] ἑαυτοῦ εἰς ἡμᾶς Fr Barb. Abb. Laur. 1, ἑαυτοῦ ablmp Vat. cf. 3, 19. 2) σώφρονι pr. F. 3) αὐτοῦ Vat. Laur. Barb. Ald., αὐτὸς mo. 4) οὕτος edd. ante Taylor. 5) ἡμετέροις d Laur. Laur. 1. 6) δὲ bhlopqr Vat. Laur. (Bk. Di.), γοῦν g Abb., om. t. cf. §. 34. 7) ὁ γραμματεὺς delebat Hamaker. Mnem. VII. p. 458. 8) ὁ om. Abb. 9) εὐθὺς om. p Vat., ante ἀρχὴν pon. t. 10) τὴν ἀρχὴν F Barb. Abb. Laur 1. 11) τετραμμένων r. 12) παραπλήσιον abhlmopqr Vat. Laur. (Di.). 13) πολίτῃ ahlmq, πόλιτην b, πολίτην opr Laur. (Di.). 14) αὐτοῖς lmop Vat. Laur. (Bk. Di.), δ' αὐτοῖς cett. cf. §§. 15, 7. 20, 7. 15) νόμος F, qui leges ipsas cum cod. t, qui habet in mg., et Abb. omittit.

§. 12. 1) πρὸ hq. 2) τὴν om. lt Laur. 3) ᾖ ᾖ coni. Bk. in Add. 4) ἀδελφοῦ abh Laur. Barb. Laur. 1. Ald., ἀδελφῆς p. 5) εἰσῇει d Laur. 1, εἰσὶ Vat. Laur. Barb. 6) τῆς Ἑρμαίου l. 7) συγκατιέναι h. 8) δὲ μὴ hq. 9) ἐξείργει r. 10) ἔστιν

νόμῳ. οἱ δὲ χορηγοὶ[11] οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα[12] ἔτη.]

13 7. Μετὰ ταῦτα τοίνυν,[1] ὦ ᾽Αθηναῖοι, νομοθετεῖ[2] περὶ ἀδικημάτων μεγάλων μέν, γιγνομένων δ᾽ οἶμαι ἐν τῇ πόλει· ἐκ γὰρ τοῦ πράττεσθαί τιν᾽[3] ὧν οὐ προσῆκεν, ἐκ τούτου[4] τοὺς[5] νόμους ἔθηκαν[6] οἱ παλαιοί. διαρρήδην οὖν[7] λέγει ὁ νόμος, ἐάν τιν᾽ ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ᾽ αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὰς[8] ἑταιρήσεως[9] εἶναι, κατὰ δὲ[10] τοῦ μισθώ- 40
σαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δ᾽ ὅτι, φησίν, ἐμισθώσατο.[11] καὶ ἴσα τὰ[12] ἐπιτίμι᾽ ἑκατέρῳ πεποίηκε, καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι τρέφειν τὸν πατέρα μηδ᾽ οἴκησιν παρέχειν, ὃς ἂν ἐκμισθωθῇ[13] ἑταιρεῖν· ἀποθανόντα δ᾽ αὐτὸν[14] θαπτέτω καὶ τἆλλα[15] ποιείτω[16]
14 τὰ νομιζόμενα.[17] σκέψασθε δή,[1] ὡς καλῶς, ὦ ᾽Αθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιίας, ὥσπερ ἐκεῖνος[2] τοῦ παιδὸς[3] τὴν παρρησίαν, τελευτήσαντα δ᾽ αὐτόν, ἡνίχ᾽ ὁ μὲν εὐεργετούμενος οὐκέτ᾽[4] αἰσθάνεται ὢν[5] εὖ πάσχει, τιμᾶται δ᾽ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα ποιεῖν τὰ νομιζόμενα. 8. καὶ τίν᾽[6] ἕτερον νόμον ἔθηκε φύλακα τῶν ὑμετέρων[7] παίδων; τὸν τῆς προαγωγείας,[8] τὰ μέγιστ᾽ ἐπιτίμι᾽ ἐπιγράψας, ἐάν τις ἐλεύθερον παῖδ᾽ ἢ γυναῖκα προ- 41
αγωγεύῃ.[9] καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως, ὃς ἑνὶ κεφα-
15 λαίῳ ἅπαντα[1] τὰ τοιαῦτα συλλαβὼν ἔχει· ἐν ᾧ διαρρήδην

Laur., ἔσται hlq. 11) χοροὶ hq. 12) τεσσεράκοντα t.

§. 13. 1) τοίννυν om. p. 2) νομοθετεῖ om. d. 3) τινος b. 4) τούτων l. 5) τοὺς om. p Vat. Laur. 6) ἔθεντο dFg Abb. Laur. 1. 7) οὖν p Vat., γοῦν cett., δ᾽ οὖν coni. Bk. 8) γραφὰς abhlpq Vat. Laur., γραφὴν cum cett. Rsk. Br. Bk. Di. cf. §§. 15, 5. 20, 5. 9) ἑταιρήσεως om. dFgt Barb. Abb. Laur. 1. 10) δὲ om. Laur. 1. 11) ὅτι φησὶν ἐμ. abp Vat. Laur., ὅτι ἐμ. φησὶν mo, ὅτι φησὶν ὅτι ἐμ. l, φησὶν ὅτι ἐμ. cett. 12) τὰ om. pr. Laur. 13) ἐκμισθώσῃ lmr Laur. et γρ. h. (Rsk.), ἐκμισθώσει Ald. H. 14) ἀποθανόντα δὲ αὐτὸν ab Vat. (BS. Fr. Bens.), ἀποθανόντι δὲ αὐτῷ Laur., ἀποθανόντι δὲ αὐτῷ lmor (αὐτοῖ Ald. H.), ἀποθανόντα δὲ cum cett. Rsk. Br. Bk. Di. 15) ἄλλα Fgh Barb., τἄλλα Di., qui sic ubi que. 16) ποιήσας hq. 17) Post νομιζόμενα add. Abb. et pr. F voc. νόμος.

§. 14. 1) δὲ hlq (Bk. Di.). 2) ἐκεῖνο Laur. 3) ἐκείνου dFh Barb. Abb. Laur. 1 et qui vulg. in mg. habet q. 4) οὐκ abF (BS. Fr. Bens.), οὐκ ἔτι Rsk. Br. 5) ὢν g. 6) καί τινα F (vulg. ante Taylorum). 7) ὑμετέρων abpr Vat. Laur. Laur. 1, ἡμετ. cum cett. BS. 8) προαγωγίας hloq Laur., 9) προαγωγεύῃ abp Vat. Laur., προαγωγεύει mo, προαγάγῃ l, προαγωγεύσῃ cett. (vulg. ante Bk.).

§. 15. 1) ἅπαντα abFlmo Vat. Laur.,

γέγραπται, ἐάν τις ὑβρίζῃ[2] *εἰς παῖδα (ὑβρίζει*[3] *δὲ δή που*[4] *ὁ μισθούμενος) ἢ ἄνδρ' ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τίν' ἢ τῶν*[5] *δούλων, ἢ ἐὰν*[6] *παράνομόν τι*[7] *ποιῇ εἰς*[8] *τούτων τινά, γραφὰς ὕβρεως εἶναι*[9] *πεποίηκε*[10] *καὶ τίμημ' ἐπέθηκεν, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι.*[11]

Λέγε τὸν νόμον.

ΝΟΜΟΣ.[12]

[*Ἐάν*[1] *τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ,*[2] *γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος. οὗ* 16
42 *ἂν τὸ δικαστήριον καταψηφίσηται,*[3] *παραδοθεὶς*[4] *τοῖς*[5] *ἕνδεκα τεθνάτω*[6] *αὐθημερόν. ἐὰν δὲ εἰς*[7] *ἀργύριον καταψηφισθῇ,*[8] *ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις μετὰ*[9] *τὴν δίκην, ἐὰν μὴ παραχρῆμα*[10] *δύνηται ἀποτίνειν·*[11] *ἕως δὲ τοῦ*[12] *ἀποτῖσαι εἱρχθήτω.*[13] *ἔνοχοι δὲ ἔστωσαν ταῖσδε*[14] *ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.*]

43 *Ἴσως ἄν οὖν*[1] *τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή* 17
ποτ' ἐν τῷ[2] *νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων.* 9. *τοῦτο δ' ἐὰν σκοπῆτε,*[3] *ὦ*[4] *Ἀθηναῖοι,*[4] *εὑρήσετε,*[5] *ὅτι*[6] *πάντων ἄριστ' ἔχει· οὐ γὰρ περὶ*[7] *τῶν οἰκετῶν ἐσπούδασεν*[8] *ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ὑμᾶς*[9] *ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως προσέγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν.*[10] *ὅλως δ' ἐν τῇ*[11] *δημοκρατίᾳ τὸν εἰς ὁτι-*

πάντα cett. 2) *ὑβρίσῃ* hlq et pr. r. 3) *ὑβρίζῃ* Foq Barb. Abb. 4) *που* om. t. 5) *τῶν* om. l. 6) *ἢ ἐὰν*] *καὶ* dFhpq Barb. Abb. Laur. 1. (F in erasis). 7) *τινὰ* h. 8) *εἶ* Abb. 9) *εἶναι* ante *ὕβρεως* pon. Laur. 1. 10) *πεποίηκε* Laur. Barb. (Rsk. Br. BS. Bens.), *πεποίηκεν* cett., cf. §. 20. 11) *ἀποτίσαι* F Laur. Barb. 12) et hanc legem et cett. om. d et t, qui eam habet in mg.

§. 16. 1) *εἰ* pVat., *ἂν* abglmor Abb. (Fr.). 2) *ὑβρίσει* p Vat. 3) *οὗ — καταψηφίσηται* Vat., quod de coni. Taylor iscripserant Fr. Bens., *ᾧ ἂν τὸ δικαστήριον καταψηφισθῇ* plerique codd. (Ald. Steph. Rsk. Bk. Di. BS.), *ὃ ἂν τ. δ. καταψηφισθῇ* p, *ᾧ ἂν τὸ δ. καταψηφισθῇ καὶ* g, *ᾧ ἂν τὸ δ. καταψηφίσθαι* q, *ᾧ ἂν τὸ δ. καταψηφίσηται* h. 4) *παραδοθεὶς δὲ* t et auctore Wolfio Taylor. 5) *τοῖς* om. o. 6) *τεθνήτω* q, *τεθνεννάτω* Vat. 7) *εἰς τὸ* q. 8) *ἀποψηφισθῇ* l et rc. q, *καταψηφι . . . .* Vat., *κα . . .* Barb. Laur. 1. 9) *μετὰ* om. Barb. Laur. 1. 10) *μὴ παραχρῆμα*] *τὸ χρῆμα* Vat., *τὸ παραχρ.* Ald. H., om. in lacuna Barb. Laur. 1 (non F, qui totam legem om.). 11) *ἀποτείνειν* Barb. 12) *τοῦ* om. go. 13) *εἱρχθήτω* t, *εἱρχθήτω* cum cett. Bk. Di. 14) *ταῖσδε* om. t.

§. 17. 1) *οὖν* ante *ἄν* pon. hl (Bk. Di.). 2) *ἐν τῷ*] *τῷ* vulg. ante Bk. 3) *σκοπεῖτε* pq. 4) *ἄνδρες Ἀθην.* dFghq Barb. Abb. (Rsk. Br. Bk. Di.). 5) *ω ἄνδρες Ἀθ.* post *εὑρήσετε* pon. vulg. 6) *ὅτι* p, *ὅτι τουτων* l, *τοῦτο ὅτι* Laur., *ὅτι τοῦτο* cett. libri. *τοῦτο* uncis incl. Rsk. 7) *περὶ* abopr Vat., *παρὰ* Laur., *ὑπὲρ* cum cett. Rsk. Br. Bk. Di. 8) *ἐσπούδακεν* aghlq Abb. (Rsk. Br. BS.). 9) *ἡμᾶς* dlop (Rsk. Br. Bk. Di.). 10) *ἐνυβρίζειν* ghp Abb. 11) *τῇ* om. dFglr

οὖν[12] ὑβριστὴν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο[13] συμ-
18 πολιτεύεσθαι. κἀκεῖνο δέ μοι[1] συνδιαμνημονεύσατε, ὦ Ἀθη-
ναῖοι,[2] ὅτι ἐνταῦθ'[3] ὁ νομοθέτης οὕτω διαλέγεται αὐτῷ τῷ
σώματι τοῦ παιδός, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρί,[4] ἀδελ-
φῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν
δ'[5] ἐγγραφῇ[6] εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ τοὺς νόμους 44
γνῷ καὶ[7] εἰδῇ τοὺς τῆς πόλεως καὶ ἤδη[8] δύνηται διαλογίζε-
σθαι τὰ καλὰ καὶ τὰ[9] μή, οὐκέθ'[10] ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη
19 αὐτῷ, ὦ Τίμαρχε.[11] καὶ πῶς λέγει; ἄν[1] τις Ἀθηναίων, φησίν,
ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέ' ἀρχόντων γενέσθαι, ὅτι
οἶμαι στεφανηφόρος ἡ ἀρχή, μηδ' ἱερωσύνην ἱεράσασθαι,[2]
ὡς[3] οὐδὲ καθαρῷ τῷ σώματι,[4] μηδὲ[5] συνδικησάτω,[6] φησί, τῷ 45
δημοσίῳ· μηδ' ἀρξάτω[7] ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔν-
δημον μήθ' ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν·
20 μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευσάτω,[1] μηδὲ τοὺς πρεσβευ- 46
σαντας κρινέτω, μηδὲ συκοφαντείτω μισθωθείς,[2] μηδὲ γνώ-
μην εἰπάτω μηδέποτε μήτ' ἐν τῇ βουλῇ μήτ' ἐν τῷ δήμῳ,[3]
μηδ' ἂν δεινότατος[4] ᾖ[5] λέγειν.[6] ἐὰν δέ[7] τις παρὰ ταῦτα πράτ-
τῃ, γραφὰς ἑταιρήσεως πεποίηκε καὶ τὰ μέγιστ' ἐπιτίμι' ἐπέ-
θηκεν.[8]

10. *Λέγ' αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν' εἰδῆτε, οἷων*

Abb. 12) *ὁντινοῦν* cum pr. r BS. 13) *εἶναι ἡγήσατο* ablmp Vat.Laur., *ἡγήσ. εἶναι* cett.

§. 18. 1) *μοι* om. o. 2) *ἄνδρ. ἀθ.* dFghqr Barb. Abb. (Rsk. Br. Bk. Di., ut ubique). 3) *ἐνταῦθα*, ut vulg. ante Bk., o. 4) *πατρὸς* abl. 5) *δ'* om. l. 6) *ἐγγραφῇ τις* dFgqt Barb. Abb. (Br.), *ἐγγραφῆς* Ald. 7) *γνῷ καὶ* om. dFghpq Barb. Abb., uncis inclus. Br. Bk. cf. Rehdantz. ad Dem. 10, 7. 8) *τοὺς τῆς πόλεως καὶ ἤδη* om. t. 9) *ἃ* Fg Barb. 10) *ἀλλ' ἔτι* hq. 11) *ὦ Τίμαρχε* Vat., *τῷ Τιμάρχῳ* p (Bens.), *Τιμαρχῳ* cett., deleverunt BS. Fr., *Τιμάρχῳ* uncis inclus. Rsk. Bk. Di., *Τίμαρχε* Br. et Fr. in Tim.

§. 19. 1) *ἐὰν* F Barb. Abb. (Di.) 2) *ἱερώσασθαι* mo Vat. Laur. 3) *ὡς* mr Vat. Laur. (Rsk.), Bakius in Mnem. VIII p. 106 et deleto verbo *διαλέγεται*, quod libri addunt post *καθαρῷ*, C. Scheibius in Jahni Annall. 35 p. 132 sq. 68 p. 158. „Mihi Aeschines *ὡς οὐ καθαρεύοντι τῷ σώματι*, ut 2, 88, scripsisse videtur". Frank., *ὅς* cett. 4) *στόματι* Wolf. probant. Tayloro et Jurin. coll. 2, 23 et 88. 5) *μὴ* g. 6) *συνδικησάτω* Rsk. Br. Bk. Bens., *συνδικήσῃ* abmopqr et pr. h (Di.), *συνδικάσῃς* corr. h, *συνδικάσῃ* Vat. Laur., *συνδικασάτω* g, *συνδικῆσάτω* (*ᾶτω* in erasis) F, *συνδιοικησάτω* Abb., *συνδικῆσαι* BS. Fr. 7) *ἀρξάτω φησὶν* dFghq Barb. Abb.

§. 20. 1) *πρεσβευσάτω οὗτος* dFghq Barb. Abb. 2) *συκοφαντείτω μισθωθεὶς* cum codd. praeter ablmopr Vat. Laur. (qui *ὁ μισθωθεὶς συκοφαντείτω* exhibent) Rsk. Br. Bk. Di. Bens., *μισθωθεὶς συκοφαντείτω* BS. Fr., *συκοφ. κἀν μισθ.* Ald. H. 3) *μήτε ἐν τῷ δήμῳ* ante *μήτε ἐν τῇ βουλῇ* pon. dFghq Abb. Barb. (Rsk. Br. Bk. Di.). 4) *δεινότατον* Vat. Laur. 5) *ὂν* Vat. Laur. 6) *λέγειν ἀθηναίων* dFgh Barb. Abb. 7) *δὲ* om. h. 8) *ἐπέθηκε* Barb.

νόμων ἡμῖν κειμένων,[9] ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον[10] οἷον[11] ὑμεῖς ἐπίστασθε.[12]

ΝΟΜΟΣ.[13]

47 [Ἐάν[1] τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν[2] ἐννέα ἀρ- 21
χόντων γενέσθαι μηδ' ἱερωσύνην[3] ἱεράσασθαι[4] μηδὲ συνδικῆσαι[5] τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον μήτε ὑπερόριον,[6] μήτε[7] κληρωτὴν μήτε[7] χειροτονητήν,[8] μηδ' ἐπὶ κηρυκείαν[9] ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω, μηδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῆς ἀγορᾶς περιρραντηρίων[10] πορευέσθω. ἐὰν δέ τις ταῦτα ποιῇ, καταγνωσθέντος[11] αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.[12]]

48 Τοῦτον μέντοι[1] τὸν[2] νόμον ἔθηκε περὶ τῶν μειρακίων 22
τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματ' ἐξαμαρτανόντων· οὓς δ' ὀλίγῳ πρότερον ὑμῖν[3] ἀνέγνω,[4] περὶ τῶν παίδων· οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων ἐσκέψατο,[5] τίνα[6] χρὴ τρόπον συλλεγομένους ἡμᾶς[7] εἰς τὴν ἐκκλησίαν[8] βουλεύεσθαι[9] περὶ τῶν σπουδαιοτάτων[10] πραγμάτων. καὶ πόθεν ἄρχεται; νόμοι,[11] φησί, περὶ εὐκοσμίας. ἀπὸ σωφροσύνης πρῶτον[12] ἤρξατο, ὡς, ὅπου

9) *νόμων ἡμῖν κειμένων* ablp Vat. (Bk. Di. BS. Fr. Bens.), *νόμων ὑμῖν κειμ.* mo Laur., *ὑμῖν κειμ. νόμ.* r (Rsk. Br.), *ἡμῖν κειμέν. νόμ.* cett. 10) *τὸν τρόπον* F in mg. ponit, inter lineas habet rc. t. 11) *ὃν* Abb. 12) *ἴσ'* — *ἐπίστασθε* om. d. 13) *νόμος* F pr Vat. Laur., om. cett. Legem ipsam om. F Abb.

§. 21. 1) *ἐάν* abdprtVat. Laur. Barb. 2) *ἐξέστω αὐτῷ τῶν*] *ἐξ* abhlmopr Vat. Laur., *ἐξεῖναι αὐτῷ τῶν* q, *ἀρχόντων* om. q. 3) *ἱερωσύνην* om. abghlmopqr Vat. Laur. (BS. Fr. Bens.). cf. §. 19. 4) *ἱερώσασθαι* bhmo pqr Vat. Laur. 5) *συνδικάσαι* corr. h et corr. Vat., *συνδικώσαι* Ald. H. 6) *ὑπερώριον* q. 7) *μηδὲ* — *μηδὲ* abdghlmpq Vat. Laur. Barb. 8) *μήτε χειροτ.* om. t, *χειροτον.* om. Barb. 9) *ἐπικηρυκείαν* or. 10) *τῆς ἀγορᾶς περιρραντηρίων* Bens. coll. Aristid. 1, 507 ed. Dind., *ἐντὸς τῆς ἀγορᾶς περιβαντηρίων* hq, *τῆς ἀγορᾶς τῶν περιρραντηρίων* cum ablp Di. BS. Fr., *τῆς ἀγορᾶς περὶ τῶν ῥαντηρίων* cett., *τῶν τῆς ἀγορᾶς περιρραντηρίων* emend. Wolf. et Brodaeus, Steph. Tayl. Rsk. Br. Bk. 11) *καταγνωρισθέντος* q. 12) *ἐντὸς* — *ξημιούσθω* om. t. (habet in mg.).

§. 22. 1) *μέντοι* abglmpr Vat. Laur., *μὲν* cett. 2) *τοι* mg. o. 3) *ὑμῖν* om. p. 4) *ἀνέγνω* abFp Laur., *ἀνεγραπῶ* (?) Vat., *ἀνέγνων* cum cett. Rsk. Br. Bk. Di. 5) *ἐσκέψατο πρώτῃ φωνῇ* Bern., quod in scholia retulit Rsk. 6) *ὅντινα* p. 7) *ὑμᾶς* ho (Rsk. Bk. Di), om. t. cf. §. 33. 8) *τὰς ἐκκλησίας* dFgqt Barb. Abb. 9) *βουλεύεται* Laur. 10) *σπουδαιοτάτων* dFgq Vat. Laur. Abb. (Br. Bk. Di. BS. Fr.), om. t, *σπουδαιοτέρων* cett. cf. §. 33. 11) *νόμος* hlq. 12) *πρότερον* m. 13) *εἶναι* hq.

πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν πόλιν οἰκησομένην.
23 11. καὶ πῶς[1] κελεύει τοὺς[2] προέδρους χρηματίζειν; ἐπειδὰν
τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ[3] τὰς πατρίους εὐχὰς
εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους περὶ ἱερῶν[4]
τῶν πατρίων καὶ ὁσίων[5] καὶ κήρυξι[6] καὶ πρεσβείαις,[6] καὶ
μετὰ ταῦτ' ἐπερωτᾷ ὁ κῆρυξ[7] "τίς ἀγορεύειν βούλεται τῶν 49
ὑπὲρ πεντήκοντ' ἔτη γεγονότων;" ἐπειδὰν δ' οὗτοι πάντες
εἴπωσι, τότ' ἤδη[8] κελεύει λέγειν[9] τῶν ἄλλων Ἀθηναίων[10] τὸν
24 βουλόμενον, οἷς ἔξεστιν.[11] σκέψασθε δή,[1] ὡς[2] καλῶς,[3] ὦ Ἀθη- 50
ναῖοι.[4] οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης, ὅτι οἱ πρεσβύτεροι
τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχε- 51
ται ἐπιλείπειν, διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων.[5] βουλόμε-
νος δὴ[6] συνεθίσαι τοὺς[7] ἄριστα φρονοῦντας, τούτους ἐπά-
ναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ ὀνόματι[8] αὐτῶν
ἕν' ἕκαστον ἀπορεῖ[9] προσειπεῖν, τὴν ἐπωνυμίαν[10] τῆς ὅλης
ἡλικίας ὑποβαλὼν[11] παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δη-
μηγορεῖν. ἅμα δὲ τοὺς[12] νεωτέρους[13] διδάσκει αἰσχύνεσθαι
τοὺς πρεσβυτέρους καὶ[14] πάνθ' ὑστέρους[15] πράττειν καὶ τιμᾶν
τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα[16] διαγενώμεθα.[17]
25 12. καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὅ 52
Περικλῆς καὶ ὁ[1] Θεμιστοκλῆς καὶ ὁ[2] Ἀριστείδης, ὥστε,[3] ὃ

§. 23. 1) πῶς Abb., quod coni. Fr. coll. §. 19. πῶς δὴ Bk. πῶς δὲ cett. 2) τοὺς om. Ft Barb. Abb. 3) κῆρυξ Bekk., κήρυξ vulg. 4) τ ν ἱερῶν dF (de quo falsa tradit Bk.) gq. ἱερῶν om. t. 5) καὶ ὁσίων h. l. pon. Bens. coll. Poll. VIII, 95, post πρεσβείαις codd. — καὶ ὁσίοις h, καὶ ὁσίαις p. 6) κηρύκων — πρέσβεων mo vulg. cf. Dem. XIX, 185. 7) ὁ κήρυξ ante ἐπερωτᾷ pon. l. 8) τότ' ἤδη] τότε δὴ Laur., τότε ἤδη vulg. ante Bk. 9) λέγων q. 10) ἀθηναίων ἁπάντων dFhq Barb. Abb. 11) οἷς ἔξεστιν] οἷος ἔτι ἐστὶ Abb.

§. 24. 1) δὲ p (Bk. Di.). 2) ὡς ante οὐκ ἠγνόει habet Stob. CXV, 25, 3) καλῶς in lac. om. Vat. 4) ὦ ἀθηναῖοι abg Vat. Laur. Stob. (ed. Gaisf.), ἀθηναῖοι o, ut in Stob. habent AB, ὦ ἄνδρες ἀθ. cett. 5) διὰ — πραγμάτων Bekkero aptius post ἀκμάζουσιν collocari videntur, suspecta erant G. Hermanno. Comma ante διὰ pos. Bens. 6) δὲ t. 7) τὰ l. 8) ὀνόμασιν hq, ὀνομαστὶ Rsk. Br. 9) ἠπόρει Rsk. Br. 10) τὴν ἐπωνυμίαν bglmopr Vat. Laur. et pr. a F (Di. BS. Fr. Bens.), τὴν ὁμωνυμίαν l, τὴν κοινὴν ἐπωνυμίαν cett. κοινὴν uncis inclus. Bk, τῇ κοινῇ ἐπωνυμίᾳ coni. Hamaker. Mnemos. VII, p. 24. 11) ὑποβαλὼν coni. Rsk., ἀπολαβὼν gmor, ὑπολαβὼν cett. περιλαβὼν Emperius et Hamaker. coll. 3, 14. 12) δὲ τοὺς abgmop Vat. Laur., τοὺς l, δὲ καὶ τοὺς cett. 13) νεωτέρους abglopr Vat. Laur., νέους cett. 14) καὶ om. t. 15) πάνθ' ὑστέρους in mg. pon. F. 16) ἄρα dFhpqr (Bk. Di. Fr. BS. Bens.), ἐὰν ἄρα om. Vat., ἄρα δὴ cett. 17) διαγιγνώμεθα dFpqr Barb. (Bk. Di.), διαγινώμ. Abb., διαγενόμεθα Vat. εἰς ὃ — διαγενώμεθα Bakius in Mnem. VIII. p. 106 delebat.

§. 25. 1) ὁ om. abglmop Vat. Laur. (BS. Fr. Bens.). 2) ὁ om. p. 3) vv. ὁ τὴν ἀνόμοιον ἐπωνυμίαν ἔχων (sic abglmr Laur., ἐπωνυμίαν om. ἔχων ἔχη in mg. habet Vat., ὁ τὸν ἀνόμοιον βίον ἔχων p, ὁ τὴν ἀνό-

νυνὶ πάντες ἐν ἔθει[4] πράττομεν, τὸ τὴν χεῖρ' ἔξω ἔχοντες[5] λέγειν, τότε τοῦτο θρασύ τι[6] ἐδόκει εἶναι καὶ εὐλαβοῦντ' αὐτὸ πράττειν. μέγα δὲ πάνυ τούτου[7] σημεῖον ἔρχω ὑμῖν οἶμαι[8] ἐπιδείξειν· εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατ' εἰς Σαλαμῖνα καὶ τεθέασθε[9] τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ'[10] ἄν, ὅτι ἐν τῇ ἀγορᾷ τῇ[11] Σαλαμινίων ἀνάκειται[12] ὁ[13] Σόλων
53 ἐντὸς τὴν χεῖρ' ἔχων. τοῦτ' ἔστιν, ὦ[14] Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο[15] τῷ δήμῳ τῶν Ἀθηναίων. σκέψασθε δέ,[1] ὦ Ἀθη- 26
ναῖοι,[2] ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι ὧν ὀλίγῳ[3] πρότερον ἐν τῷ λόγῳ[4] ἐπεμνήσθην.[5] ἐκεῖνοι μέν γ'[6] ἠσχύνοντ' ἔξω τὴν χεῖρ' ἔχοντες λέγειν, οὗτοσὶ δ'[7] οὐ πάλαι[8], ἀλλὰ πρώην ποτὲ ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμ' ὑπὸ μέθης[9] καὶ βδελυρίας, ὥστε τούς[10] γ' εὖ φρο-
54 νοῦντας ἐγκαλύψασθαι, αἰσχυνθέντας[11] ὑπὲρ τῆς πόλεως, εἰ τοιούτοις συμβούλοις χρώμεθα. 13. ἃ συνιδὼν ὁ νομοθέτης 27
διαρρήδην ἀπέδειξεν, οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος, εἴ τις μὴ προγόνων ἐστὶ τῶν[1] ἐστρατηγηκότων,[2] οὐδέ γ' εἰ τέχνην τιν' ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ, ἀλλὰ τούτους[3] καὶ μάλιστ'[4] ἀσπάζεται,[5] καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ,[6] τίς

μοιον ἔχων ἐπωνυμίαν cett.) *Τιμάρχῳ* (καὶ *βίον Τιμάρχῳ* h) *τουτῳὶ* (sic cum dFhlm Barb. Abb.: Bk. Di. Fr., *τούτῳ* cett.) *ὁ δίκαιος ἐπικαλούμενος*, quae add. codd. ante *ὥστε*, delevi. cf. praefat. *ὁ δίκαιος ἐπικαλ.* etiam Scheibius in Jahni Ann. 68 p. 155 et Hamaker. in Mnemos. VII. p. 451 pro interpolatis habent. 4) *ἤθει* p. 5) *ἔχοντος* q. 6) *θρασύ τι* ante *τοῦτο* pon. p, om. Vat. 7) *πάνυ τούτου* om. in lac. Vat., *τούτου πάνυ* dFgqr Barb. Abb. 8) *οἶμαι* ante *ὑμῖν* pon. dFhq Barb. Abb. 9) *τεθεωρήκατε* dFhq Barb. Abb., *εἰς Σαλαμῖνα καὶ τεθέασθε* om t. 10) *μαρτυρήσετ'* Abb. 11) *τῶν* h. 12) *ἀνά ἀνάγκειται* o, *κατάκειται* Laur. 13) *ὁ* om. Vat. 14) *ἄνδρες ἀθην.* dFghq Barb., *ἀθην. ἄνδρες* Abb. 15) *διελέγεται* o.

§. 26. 1) *δὲ* abglmoprt Vat. Laur., *δὴ* cett. 2) *ὦ ἀθην.* ablmo Vat. Laur., *ὦ ἄνδρ. ἀθ.* cett. 3) *ὀλίγῳ*] *ἐγὼ* h, *ἐγὼ ὀλίγῳ* dFqt Barb. Abb. 4) *ἐν τῷ λόγῳ* om. t. 5) *ἐν τῷ λόγῳ ἐπεμνήσθην*] *ἐγὼ ἐμνήσθην ἐν τ. λόγῳ* g, *ἐγὼ ἐμνήσθην* Abb., *ἐν τῷ λόγ. ἐμνήσθην* h, *ἐν τῷ λόγῳ ὑπεμνήσθην* q, *ἐμνήσθην* dF Barb. 6) *μέν γ'* q, om. p, *γε* om. Vat. Laur., *μὲν γὰρ* Wolf. Tayl. 7) *οὗτοσὶ δὲ* dF Barb. Abb., *τίμαρχος δὲ οὗτοσὶ* opr Laur. et plerique Bkeri, *τίμαρχος δὲ οὗτοσὶ δὲ* q, *τίμαρχος δὲ οὑτωσὶ δὲ* Vat. 8) *πρώην* l. 9) *τῆς μέθης* h. 10) *ὥστε τούς*] *ὡς τούτους* Laur. 11) *αἰσχυνθέντες* l.

§. 27. 1) *τῶν* abglmop Vat. Laur., om. cett. 2) *ἐστρατηγηκότων* de coni. Baiteri: BS. Fr. Bens., *ἐστρατηγηκ. υἱὸς* cett. 3) *τούτους* dFhpq Barb. Abb. (Bk. Di. BS.), *καὶ τούτους* cett. 4) *τὸ μάλιστα* Ald. H. 5) *ἐπικουρῶν — ἀσπάζεται* om l. 6) *ἐρωτᾷ* pr. d.

28 ἀγορεύειν βούλεται. τίνας δ' οὐκ ᾤετο δεῖν[1] λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ[2] τοῦτο δηλοῖ;[3] δοκιμασία, φησί,[4] ῥητόρων· ἐάν[5] τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν· τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὡς ἐγώ[6] φημι. διὰ τί;[7] ὅτι, εἴ τις, οὗς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησίν, ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον
29 ἀπεῖπε μὴ λέγειν; ἢ[1] τὰς στρατείας,[2] φησί,[3] μὴ[4] ἐστρατευμένος,[5] ὅσαι[6] ἂν αὐτῷ προσταχθῶσιν,[7] ἢ[8] τὴν ἀσπίδ' ἀποβεβληκώς,[9] δίκαια λέγων. τί[10] δή[11] ποτε; ἄνθρωπε, τῇ πόλει, ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι[12] ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ[13] ἐπα- 55
μῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον τίσι διαλέγεται; ἢ πεπορνευμένος,[14] φησίν, ἢ[15] ἡταιρηκώς· τὸν γὰρ τὸ σῶμα τὸ[16] ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα καὶ τὰ κοινὰ τὰ[17] τῆς πό-
30 λεως ῥᾳδίως ἡγήσατ' ἀποδώσεσθαι.[18] τέταρτον τίσι διαλέγεται; ἢ[1] τὰ[2] πατρῷα, φησί, κατεδηδοκὼς[3] ἢ ὧν ἂν κληρονόμος γένηται· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθεῖναι,[4] καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρόν, δημοσίᾳ δὲ χρηστόν, οὐδ' ᾤετο δεῖν[5] τὸν ῥήτορ' ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον,
31 ἀλλ' οὐ[6] τοῦ[7] βίου. καὶ[1] παρὰ μὲν ἀνδρὸς καλοῦ κἀγαθοῦ, 56
κἂν[2] πάνυ κακῶς[3] καὶ[4] ἁπλῶς ῥηθῇ,[5] χρήσιμα τὰ λεγόμεν' ἡγήσατ' εἶναι τοῖς ἀκούουσι· παρὰ δ' ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ[6] ἑαυτοῦ σώματι, αἰσχρῶς

§. 28. 1) δεῖν om. l Ald. Steph., δεῖ Laur. 2) ποῖ t. 3) δοκεῖ l. 4) γάρ φησι Laur. 5) ἐὰν aboprt Vat. Laur. Abb., ἄν cett. 6) ἐγὼ abglmp Vat. Laur., ἔγωγε cett. 7) διὰ τί om. hq.

§. 29. 1) εἰ F Laur. ὁ Abb. 2) στρατιὰς Barb. 3) φημὶ Laur. 4) μὴ om. Laur. 5) στρατευόμενος dFhq Barb. Abb. 6) αἳ dF Barb. Abb. 7) προσαχθῶσι q. 8) εἰ h. 9) προβεβληκὼς l. 10) διὰ τί dFhq Barb. Abb. 11) ἡ F. 12) τίθεται Laur., τίθεσθαι Abb. 13) ᾖ Laur. 14) εἰ πεπορν. abdghlmo Vat. Laur. et corr. F, ἐπεπορνευμένος Barb. ἢ 15) ᾖ] ἢ h, ἦ ἢ op Laur., ἢ ἢ m Vat., εἰ ἢ g. 16) τὸ om. dFghq Barb. 17) τὰ om dFh Barb. Abb. 18) ἀποδώσασθαι rc. r.

§. 30. 1) εἰ dhr Barb. Abb. et corr. F. 2) ὁ τὰ abhlmop Vat. Laur. Ald. Steph. 3) κατεδηδεκὼς q. 4) διαθήσειν abdFhl Barb. Abb. Stob. XLIII, 32 et Thom. Mag. 5) ὁ νομοθέτης, quod post δεῖν add. codd., delendum vidit Bait. 6) οὐ om. Stob. l. c. 7) τὸν Abb.

§. 31. 1) κἂν dF Abb. 2) καὶ dF Barb. ἰδιωτικῶς Abb. 3) καλῶς pr. m. καλᾶς F, ἰδιωτικῶς Abb., καλῶς κακῶς t. 4) καὶ abdFhlp et mei, κἂν vulg. ante Bk., κἂν ἁπλῶς Rsk. pro scholio habuit. 5) λόγος, quod v. add. codd. post ῥηθῇ de coni. del. BS. 6) ἑαυτοῦ om. dFr Barb. Abb.

δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εἷς πάνυ λέγῃ[7] συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους οὖν[1] ἐξείργει 32
ἀπὸ[2] τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν
δέ τις παρὰ[3] ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ καὶ[4]
ἀσελγαίνῃ[5] καὶ μηκέτι τὸν[6] τοιοῦτον ἄνθρωπον δύνηται φέ-
ρειν ἡ πόλις,[7] δοκιμασίαν[8] μέν, φησίν,[9] ἐπαγγειλάτω[10] Ἀθη-
ναίων ὁ βουλόμενος, οἷς ἔξεστιν, ὑμᾶς δ' ἤδη κελεύει περὶ
τούτων ἐν τῷ δικαστηρίῳ διαγιγνώσκειν·[11] καὶ νῦν ἐγὼ κατὰ
τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς.

14. Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται· ὑμεῖς δ' ἔτι[1] 33
προσέθεσθε καινὸν[2] νόμον μετὰ τὸ καλὸν παγκράτιον,[3] ὃ οὗ-
57 τος ἐπαγκρατίασεν[4] ἐν τῇ ἐκκλησίᾳ, ὑπεραισχυνθέντες ἐπὶ[5]
τῷ πράγματι, καθ'[6] ἑκάστην ἐκκλησίαν[7] ἀποκληροῦν φυλὴν
ἐπὶ τὸ βῆμα, ἥτις[8] προεδρεύσει. καὶ τί προσέταξεν ὁ τιθεὶς
τὸν νόμον; καθῆσθαι[9] κελεύει τοὺς φυλέτας βοηθοῦντας τοῖς
νόμοις καὶ τῇ δημοκρατίᾳ, ὡς, εἰ μὴ βοήθειάν ποθεν[10] μετα-
58 πεμψόμεθ'[11] ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι
δυνησομένους ἡμᾶς[12] περὶ τῶν σπουδαιοτάτων[13] πραγμάτων.
ἔστι δ' οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀν- 34
θρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ γὰρ
αἰσχύνονται· ἀλλὰ τιμωρίαις[1] τούτους ἀπεθίζειν χρή· μόνως
γὰρ[2] ἂν[3] οὕτως ἀνεκτοὶ γένοιντο.[4]
59 Ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ[5] τῆς εὐκο-
σμίας κειμένους τῶν ῥητόρων καὶ τὸν[6] περὶ τῆς προεδρίας[7]

7) λέγῃ ghlmopqr Vat. Laur. Mor. (Br. Bk. Di.), λεχθῇ cum cett. libris Rsk. BS. Fr. Bens.

§. 32. 1) αὖ hq, αὐτῶν t. 2) ἀπὸ om. dFghq Barb. Abb. (vulg. ante Br.). 3) περὶ Abb. 4) καὶ om. l Laur. 5) ἀσελγαίνει l Laur. 6) τὸν add. bdFhpq Vat. Barb. Abb. (Br. Bk. Di. Fr. Bens.). 7) δύνηται—πόλις] φέρειν ἡ πόλις δύναται Abb., δύναται φέρ. ἡ π. Barb. — καὶ μηκέτι — πόλις om. pr. t. 8) δοκιμασία Laur. 9) φησὶν in mg. ponit F. 10) ἀπαγγειλάτω r. 11) διαναγινώσκει Laur.

§. 33. 1) δ' ἔτι abdFghpq Vat. Barb. Abb., δ' ὅτι l Laur., δὲ τί; cett., δὲ τί signo interrogationis post προσέθεσθε posito Taylor. 2) καὶ hl. 3) πραγμάτιον t. 4) ἐπεγκρατίασεν Vat. 5) ἐπὶ dFpt Barb. Abb. (BS. Fr. Bens.), γὰρ ἐπὶ cett. 6) καὶ καθ' Laur. 7) ἐκκλησίαν dFt Barb. Abb. (BS. Fr. Bens.). ἐκκλησίαν νόμον ἐθήκατε καινὸν cett. cf. schol. 8) εἴ τις Abb. 9) καθεῖσθαι q. 10) ποθεν om. in lac. b. 11) μεταπεμψώμεθα Laur. 12) δυνησομένους ἡμᾶς pr Vat. (Bk. Di. BS. Fr. Bens.), δυνησ. ὑμᾶς abglmo Laur., ὑμᾶς δυνησομένους h, ἡμᾶς δυνησ. cett. (Rsk. Br.). 13) σπουδαιοτέρων l.

§. 34. 1) τιμωρίαις glmpr Vat. Laur. et pr. a, ταῖς τιμωρ. cett. Errare videtur Bk., cum illud „ταῖς om. glm et pr. a" ad ταῖς κραυγαῖς adnotavit. cf. Rsk. ad h. l. 2) γάρ om. r. 3) ἂν om. ho et pr. m. 4) γένωνται lmopr Laur. 5) ἐπὶ b. 6) καὶ τὸν] τὸν γὰρ Fghqt Abb. (Bk. Di.), quam lectionem defendunt Tayl. Rsk. Br. et Fr. in progr. schol. Afran. 1859 p. 36. 7) προεδρείας Steph.

τῶν φυλῶν νόμον, ὃν[8] *Τίμαρχος οὑτοσὶ καὶ ἕτεροι*[9] *τοιοῦτοι ῥήτορες συνελθόντες*[10] *γεγραμμένοι εἰσὶ μὴ*[11] *ἐπιτήδειον εἶναι,*[12] *ἵν' ἐξῇ*[13] *πράττειν*[14] *αὐτοῖς καὶ λέγειν καὶ ζῆν,*[15] *ὡς αὐτοὶ βούλονται.*

NOMOI.[16]

35 15. [*Τῶν ῥητόρων*[1] *ἐάν τις λέγῃ ἐν τῇ βουλῇ*[2] *ἢ ἐν τῷ δήμῳ μὴ περὶ*[3] *τοῦ εἰσφερομένου*[4] *ἢ μὴ χωρὶς*[5] *περὶ*[6] *ἑκάστου ἢ δὶς περὶ τοῦ*[7] *αὐτοῦ ὁ αὐτὸς τῆς αὐτῆς,*[8] *ἢ*[9] *λοιδορῆται,*[10] *ἢ κακῶς ἀγορεύῃ*[11] *τινά,* 60 *ἢ ὑποκρούῃ,*[12] *ἢ*[13] *χρηματιζόντων μεταξὺ ἀνεστηκὼς*[14] *λέγῃ περί του*[15] *μὴ*[16] *ἐπὶ τοῦ*[17] *βήματος, ἢ παρακελεύηται*[18] *ἢ ἕλκῃ*[19] *τὸν ἐπιστάτην,* 61 *ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα*[20] *δραχμῶν εἰς καθέκαστον*[21] *ἀδίκημα ἐπιγράφειν τοῖς* 62 *πράκτορσιν. εἰ*[22] *δὲ πλέονος*[23] *ἄξιός ἐστι*[24] *ζημίας, ἐπιβαλόντες*[25] *μέχρι* 63 *πεντακοσίων*[26] *δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν, καὶ ἐν*[27] *τῷ βουλευτηρίῳ ὅταν διεξίωσιν*[28] *αἱ κλήσεις,*[29]

Bk. Di. 8) *νόμον ὃν* abdgmop Vat. Laur. Barb. Abb. cf. Bens. ad h. l. *μόνον ὃν* l, *νόμων* q, *ὃν* om. cett. (F in erasis) probantibus Tayl. Rsk. Br. Fr. 9) *ἕτεροι* om. l. 10) *συνελθόντες* post *εἰσὶ* ponit p. 11) *μηδ'* F Abb. 12) *εἶναι* om. mr. 13) *ἐξῇ σ* Laur. 14) *πράττειν* om. F Abb. 15) *ζῆν καὶ λέγειν* Fhq. 16) *νόμος* p, titulum om. or legem ipsam om. Fdt Abb. Egerunt de hac lege nuper Bakius in Mnemos. 7 p. 329—39 et Fr. l. c.

§. 35. 1) *τῶν ῥητόρων* om. pr. h. 2) Articula add. de coni. Bakii, codd.: *ἐν βουλῇ ἢ ἐν τῷ δήμῳ, ἐν βουλῇ* om pr. Laur., *ἢ ἐν βουλῇ* (om. *ἢ* ante *ἐν δήμῳ*) post *εἰσφερομένου* ponit Barb. 3) *μὴ περὶ* coni. Schoemann. de comm. Athen. p. 115 (BS. Fr. Bens.), *περὶ* cett. 4) *τῶν εἰσφερομένων* coni. Wolf. 5) *ἢ μὴ χωρὶς* Vat. (scrips. iam de coni. Wolfii: Fr. Bens.), *μὴ χωρὶ* q, *μὴ χωρῇ* abp Barb., *μὴ χωρεῖ* d, *μὴ χώρει* Laur., *ἢ χωρὶς* Bern. 6) *περὶ* abdhpq Vat. Laur. Barb. Bern., *ἢ περὶ* gmo, *ἢ περὶ* cett. 7) *τοῦ* om. or. 8) *τοῖς αὐτοῖς* vulg. 9) *ἢ* o Bern. (Br. BS. Fr.), *ὅτι δὲ* Vat., *ὅτι ἢ* cett. (*δηλονότι ἢ* Rsk. non cum F, qui legem om.). 10) *λοιδορεῖται* o Vat. Laur. Barb. 11) *ἀγορεύει* o. 12) *ὑπακρούει* Vat., *ὑπακρούῃ* Barb. (*ὑποκρούει* Tayl.), *ἀποκρούῃ* or, *ὑποκρίνῃ* Laur. 13) *ἢ* om. dp Vat. Laur. Barb. 14) *ἀνεστηκὼς* Vat. Idem coni. Brunck. ad Aristoph. Eccl. 293 (BS. Fr. Bens.), *ἀνηκέστως* cett. 15) *περί του* ab Vat., *περὶ τοῦ* dghlmpq Laur. Barb. (Br. Bk. Di.), *περὶ τῶν* cum cett. Rsk. 16) *μὴ* om. Laur. 17) *τοῦ* om. p. 18) *παρακελεύεται* or Bern. 19) *ἕλκει* q Bern. 20) *μ. πεντ.*] *μέχρι — H* r (*Π* i. e., ni fallor, *Π* inclusum *Δ* habens. Fr. in Tim.). 21) *εἰς καθέκαστον* coni. Fr. *εἴθεκ* Vat., *εἰ καθ' ἕ.* abghlq et pr. m, *ἢ εἰθ' ἕ.* o, *εἴθ' ἕ.* d Laur. Barb. (vulg. ante Rsk.). 22) *εἰ* BS. Fr. Bens. de coni., *ἐὰν* codd. 23) *πλείονος* q, *πλέον* p. 24) *ἢ* Bern. *εἴη* Ald. Rsk. Br. Bk. Di. Bens. 25) *ἐπιβάλλοντες* l (vulg. ante Rsk.). 26) *μέχρι πεντακοσίων* cum Fr. progr. scholae Afranae 1859 p. 34 sq., *μέχρι πεντήκοντα* (*μ. — Π* r. vd. ann. 20.) libri. 27) *καὶ ἐν* de coni., *ἢ ἐν* hq, *ἐν* cett. Punctum ante *ἐν* posuerunt Matthiae Miscell. philoll. p. 233 not. 12, Schoemann. l. c., Lelyveld de infam. 132 Bens. (cf. ann. ad h. l.). vv. *ἐν τῷ βουλευτηρίῳ* ut glossema deleverunt BS. Fr. cf. Bens. ad h. l. 28) *δὲ διεξίωσι* h Bern. et fort. q, *δ' ἐξίωσι* cum corr. o Saupp. Fr. cf. Benseler. ad h. l. 29) artic. add. Matth. Fr. Bens. coll. decreti for-

κρινάτωσαν·[30] καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην ψηφιζομένων[31] τῶν βουλευτῶν[32] ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν.[33]]

64 16. Τῶν μὲν οὖν νόμων[1] ἀκηκόατε, ὦ ᾽Αθηναῖοι, καὶ εὖ οἶδ᾽ 36
ὅτι δοκοῦσιν ὑμῖν[2] καλῶς[3] ἔχειν. τούτους μέντοι τοὺς νόμους
εἶναι χρησίμους[4] ἢ ἀχρήστους ἐφ᾽ ὑμῖν ἐστιν· ἐὰν μὲν[5] γὰρ[6]
κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι[7] καλοὶ[8] καὶ[9]
κύριοι, ἐὰν δ᾽ ἀφιῆτε,[10] καλοὶ μέν,[11] κύριοι δ᾽ οὐκέτι.

Βούλομαι δ᾽, ὥσπερ ὑπεθέμην[1] ἀρχόμενος τοῦ λόγου, 37
ἐπειδὴ περὶ τῶν νόμων[2] εἴρηκα, πάλιν τὸ μετὰ τοῦτ᾽ ἀντεξε-
τάσαι τοὺς τρόπους τοὺς[3] Τιμάρχου, ἵν᾽ εἰδῆτε, ὅσον διαφέ-
ρουσι τῶν νόμων τῶν ὑμετέρων. δέομαι δ᾽ ὑμῶν, ὦ ᾽Αθη-
ναῖοι, συγγνώμην μοι[4] ἔχειν, ἐὰν ἀναγκαζόμενος λέγειν περὶ
ἐπιτηδευμάτων φύσει μὲν[5] μὴ[6] καλῶν,[7] τούτῳ[8] δὲ[9] πεπραγ-
μένων ἐξαχθῶ[10] τι ῥῆμ᾽ εἰπεῖν, ὅ ἐστιν ὅμοιον τοῖς ἔργοις
τοῖς[11] Τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσαιτε,[1] εἴ 38
τι σαφῶς εἴποιμι διδάσκειν βουλόμενος,[2] ἀλλὰ πολὺ μᾶλλον
τούτῳ,[3] εἰ αἰσχρῶς οὕτω[4] τυγχάνει βεβιωκώς, ὥστε τὸν τὰ
τούτῳ πεπραγμένα διεξιόντ᾽ ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς
βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται[5] ῥημάτων.
65 εὐλαβήσομαι δ᾽ αὐτὸ[6] ποιεῖν ὡς ἂν δύνωμαι μάλιστα.[7]

mula, quae est in vita decem oratt. p. 833 F., κρίσεις hlq. 30) κιρνάτωσαν Laur. 31) ψηφιζομένων cum Rsk. (non cum F) edd., ψηφίζον ἓν abg, ψηφίζων ἓν dp Vat. Barb. et (ω rc. posito) m et, ut videtur, r (Ald. Steph.), ψηφίζων ἕνα Bern., ψηφίζειν ἕν hq, ἓν ψηφίζων l, ψηφιζόντων Wolf. Taylor. 32) τῶν βουλευτῶν delent BS. Fr. cf. Bens. ad h. l. (p. 153). 33) πράκτορσιν Rsk. BS. Fr. Beus., πράκτορσι τὸν νόμον Laur., πράκτ. τῶν νόμων cett. libri. τῶν νόμων uncis incl. Br.

§. 36. 1) τῶν — νόμων] τὸν μὲν νόμον Laur. 2) καὶ ὑμῖν Abb. 3) καλῶν Laur. 4) χρησίμους ante εἶναι pon. l. 5) μὲν om. bt. 6) γὰρ om. Barb. 7) οἱ νόμοι] οἰκονόμοι Laur. 8) καὶ καλοὶ Wolf. 9) καὶ om. q. 10) ἀφῆτε dF Barb. Abb., ἀφίητε Laur. (Rsk. Br. Bk. Di.). 11) μὲν Fl Barb. Abb. cf. §. 177 et Cobet. V. LL. p. 251. ad Hyperid. Epitaph. p. 35. μόνον cett.

§. 37. 1) ὑπεθέμην post λόγου pon. dFhq Barb. Abb. 2) τὸν νόμον Laur. 3) τοῦ abdFgh Abb. Laur., om. gmor. v. §. 8. 4) μοι om. Abb. 5) μὲν om. l. 6) οὐ d. 7) καλῶς or. 8) τούτων Vat. 9) δὲ om. l. 10) ἐξαχθῶ abglmopr Vat. Laur. Bern., προεξαχθῶ cett. (vulg. ante Bk.). 11) τοῦ hmq Abb.

ε

§. 38. 1) ἐπιτιμήσεται Vat., ἐπιτιμήσητε q, ἐπιτιμήσετε Fopr Laur. Barb. Abb. Ald. 2) ὑμᾶς βουλόμενος dFhqr Barb. Abb. 3) τούτῳ pr et mg. q Laur. et Bkeri codd. praeter F, τοῦτο Vat., τουτωῒ cett. 4) εἰ αἰσχρῶς οὕτω] οὕτω γὰρ αἰσχρῶς dFh Barb. Abb. et pr. q (corr. mg. q). 5) φθέγγηται dF Barb. Abb. 6) ἂν τῶ Laur. Abb. 7) μάλιστα om. dFt Barb. Abb.

39 17. Σκέψασθε[1] δέ,[2] ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μετρίως μέλλω[3] προσφέρεσθαι Τιμάρχῳ τουτῳί.[4] ἐγὼ γὰρ, ὅσα μὲν παῖς ὢν[5] εἰς τὸ σῶμα τὸ ἑαυτοῦ[6] ἡμάρτηκεν, ἀφίημι, καὶ ἔστω ταῦτ' ἄκυρα,[7] ὥσπερ τὰ[8] ἐπὶ τῶν τριάκοντα καὶ[9] τὰ πρὸ Εὐκλείδου[10] ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη γέγονε[11] προθεσμία·[12] ἃ δ' ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπρακται, περὶ[13] τούτων ἔγωγε[14] τὰς κατηγορίας ποιήσομαι καὶ ὑμᾶς ἐπ' αὐτοῖς ἀξιῶ[15] σπουδάξειν.

40 Οὗτος γὰρ πρῶτον μέν,[1] ἐπειδὴ ἀπηλλάγη ἐκ παίδων, ἐκάθητ' ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδίκου[2] ἰατρείου,[3] προφάσει[4] μὲν τῆς τέχνης μαθητής, τῇ δ' ἀληθείᾳ πωλεῖν ἑαυτὸν[5] προῃρημένος,[6] ὡς αὐτὸ τοὔργον[7] ἔδειξεν.[8] ὅσοι μὲν οὖν τῶν 66
ἐμπόρων ἢ τῶν ἄλλων ξένων ἢ τῶν πολιτῶν τῶν[9] ἡμετέρων[10] κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώματι Τιμάρχου,[11] ἑκὼν καὶ[12] τούτους ὑπερβήσομαι, ἵνα μή μέ[13] τις εἴπῃ[14] ὡς ἄρα λίαν ἀκριβολογοῦμαι·[15] ὧν δ' ἐν[16] ταῖς οἰκίαις γέγονε καταισχύνων τὸ σῶμα τὸ[17] ἑαυτοῦ καὶ τὴν πόλιν, μισθαρνῶν ἐπ' αὐτῷ τούτῳ,[18] ὃ ἀπαγορεύει[19] ὁ νόμος μὴ[20] πράττειν ἢ μὴ[21] δημηγορεῖν, περὶ τούτων ποιήσομαι τοὺς λόγους.

41 18. Μισγόλας ἔστι τις[1] Ναυκράτους,[2] ὦ ἄνδρες Ἀθηναῖοι,[3] Κολλυτεύς,[4] ἀνὴρ τὰ μὲν ἄλλα καλὸς[5] κἀγαθός,[6] καὶ οὐδαμῇ ἄν

§. 39. 1) *σκέψασθαι* q. 2) *δὲ* om. Laur. 3) *μέλλων* Laur. 4) *τουτῳί* om. dFt Barb. Abb. 5) *ὢν* post *σῶμα* pon. bor Laur. 6) *ἑαυτὸν* Vat. 7) *ἄκυρα* om. p Vat. 8) *τὰ* om. or et pr. m. 9) *ἢ* dFhop Barb. Abb. 10) *τοῦ εὐκλ.* p (Br.). 11) *γέγονε* abghpqr Vat., *καὶ τὰ — ἐγένετο* om. t, *ἐγένετο* cum cett. Bk. 12) *ἢ εἴ τις — προθεσμία* om. Barb. 13) *ἐπὶ* t. 14) *ἐγώ τε* Emperius. 15) *ἀξιῶ* ante *ἐπ' αὐτοῖς* pon. Barb.

§. 40. 1) *πρῶτον μὲν* de coni., *πάντων μὲν πρῶτον* dFhq Barb. Abb., *μὲν* om. Bern., *πρῶτον πάντων μὲν* vulg. ante Br., *πρῶτον μὲν πάντων* cett. 2) *εὐθυκίδου* q. 3) *ἰατρίου* o hic et infra §. 41. 4) *προφάσει* q. 5) *αὐτὸν* ab (Bk. Di. BS. Fr. Bens.), *αὐτὸν* o, *αὐτοὺς* l. 6) *προειρημένος* Vat. Laur. 7) *τοὔργον* abglmpr Vat. Laur., *τ' οὔργον* o, *τὸ ἔργον* Bern., et teste Taylore gm, *ἔργον* Ald. H., *τὸ πρᾶγμα* dFhq Barb. Abb., *τοὔργον* Di., om. cum cett. Bk. 8) *ἐπέδειξεν* p Vat. cf. §§. 42. 52. 3, 46. 228 et varr. ad 2, 178. 9) *τῶν* om. q. 10) *ὑμετ.* r. 11) *μονάρχου* q. 12) *ἢ* l. 13) *τε* Vat., om. dFhpq Barb. Abb. 14) *εἴποι* q. 15) *λίαν ἀκριβολογοῦμαι* de coni., *λίαν ἅπαντα ἀκριβ.* p Vat., *πάντα λίαν ἀκριβ.* q, *πάντα ἀκριβ.* Ft Barb. Abb., *λίαν ἀκριβ. ἅπαντα* cett. 16) *ἐν* om. Vat. 17) *τὸ* om. F Barb. Abb. 18) *αὐτῷ τοῦτο* q, *αὐτὸ τοῦτο* F Barb. Abb. 19) *ὃ ἀπαγ.*] *ὦ ἀπαγ.* l, *ἀπαγ.* t. 20) *μὴ* om. l. 21) *μηδὲ* p prob. Rsk.

§. 41. 1) *Μισγόλας ἔστι τις*] *ἔστι μισγόλας τις* hq, *ἔστι μισγόλας* dF Barb. Abb. Athen. VIII, 22 p. 336 Cas. 2) *ναοκράτους* gm. 3) *ἄνδρες ἀθην.* dFghr Barb. Abb. 4) *Κολλυτεὺς* BS. Fr. Bens., *κολυττεὺς* libri. cf. Fr. Tim. ad h. l. 5) *καλὸς* om. Laur. 6) *καὶ ἀγαθὸς* ot.

τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπου-
67 δακὼς καὶ ἀεί τινας ἔχειν[7] εἰωθὼς περὶ αὑτὸν κιθαρῳδοὺς[8]
καὶ[9] κιθαριστάς. ταυτὶ[10] δὲ λέγω[11] οὐ τοῦ φορτικοῦ ἕνεκα,[12]
ἀλλ' ἵν' αὐτὸν γνωρίσηθ'[13] ὅστις ἐστίν. οὗτος αἰσθόμενος[14]
ὧν ἕνεκα[15] τὰς διατριβὰς ἐποιεῖτο Τίμαρχος οὑτοσὶ[16] ἐπὶ τοῦ
ἰατρείου,[17] ἀργύριόν τι προαναλώσας ἀνέστησεν αὐτὸν καὶ
ἔσχε παρ' ἑαυτῷ,[18] εὔσαρκον ὄντα καὶ[19] νέον καὶ βδελυρὸν
καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα, ὃ προῃρεῖτ'[20] ἐκεῖνος μὲν πράτ-
τειν, οὗτος δὲ πάσχειν. καὶ ταῦτα ποιεῖν[1] οὐκ ὤκνησεν, ἀλλ' 42
ὑπέστη Τίμαρχος[2] οὑτοσὶ[3] οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής·
πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ[4] οὐσίαν, ἣν οὗτος
κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου· ἀλλ'
ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδοναῖς, ὀψοφαγίαις[5]
καὶ[6] πολυτελείαις[7] δείπνων[8] καὶ αὐλητρίσι[9] καὶ ἑταίραις καὶ
κύβοις[10] καὶ τοῖς ἄλλοις, ὑφ' ὧν οὐδενὸς δεῖ[11] κρατεῖσθαι
τὸν γενναῖον καὶ ἐλεύθερον. καὶ οὐκ ἠσχύνθη ὁ μιαρὸς[12]
οὗτος ἐκλιπὼν μὲν τὴν[13] πατρῴαν οἰκίαν, διαιτώμενος δὲ[14]
παρὰ Μισγόλᾳ οὔτε πατρικῷ ὄντι φίλῳ οὔθ' ἡλικιώτῃ οὔτε
68 παρ' ἐπιτρόπῳ,[15] ἀλλὰ παρ' ἀλλοτρίῳ καὶ[16] πρεσβυτέρῳ[17] ἑαυ-
τοῦ, καὶ παρ' ἀκολάστῳ περὶ ταῦθ' ὡραῖος ὤν. 19. πολλὰ 43
μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ κατ' ἐκεί-
νους τοὺς χρόνους, ἓν δέ, ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι.
ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει ἡ[1] πομπή, πομπεύων[2] δ' ἐν
ταὐτῷ[3] ὅ τε Μισγόλας ὁ τοῦτον ἀνειληφὼς καὶ Φαῖδρος Καλ-

7) ἔχειν post εἰωθὼς ponit Athen. l. c., ἔχων praebent (om. εἰωθὼς) dFhq Abb., ἔχων εἰωθ. Barb. 8) κιθαρῳδικὸς l. 9) καὶ Ammon. s. v. κίθαρις prob. Valcken.-Bachmann. Anecdd. grr. T. II. p. 378, 28: „περὶ αὐτὸν εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς". ἢ codd. 10) ταυτεὶ Ald., ταῦτα dFhq Barb. Abb. 11) λέγων Laur., ἐγὼ h. 12) ἕνεκεν t. 13) ἵν' αὐτὸν γν. abglmopr Vat. Laur., ἵνα γν. αὐτὸν cum Athen. cett. 14) αἰσθανόμενος d. 15) ἕνεκεν ἕνεκα t. 16) οὑτοσὶν t. 17) ἐπὶ τοῦ ἰατρείου post ἀργύριόν τι pon. l. 18) ἑαυτὸν Laur. 19) εὔσαρκον ὄντα καὶ] εὔσαρ . . . . καὶ Vat. 20) προηγεῖτο Barb. Abb. et pr. F.

§. 42. 1) ποιεῖν om. dF Barb. Abb. (vulg. ante Br.). 2) τιμάρχου Vat. 3) οὑτοσὶν gh. 4) αὐτῷ ante ὁ πατὴρ pon. p. 5) ὀψιφαγίαις p, ὀψοφαγίᾳ dF Barb. Abb. 6) καὶ om. l. 7) πολυτελείᾳ dF Barb. Abb. 8) καὶ δείπνῳ F Barb. Abb. 9) καὶ αὐλητρίσι om. Laur. 10) καὶ κύβοις om. g. 11) χρὴ dFhq Barb. Abb. (vulg. ante Bk.), ἔχρη t. 12) μικρὸς o. 13) τὴν om. t. 14) δὲ om. m. 15) παρ' ἐπιτρόπω] παρεπιτρόπω Fo Vat. Laur. Abb., ἐπιτρόπῳ cum H. Wolfio: Fr. Bens. 16) καὶ om. l. 17) παρὰ πρεσβ. dFhq Barb. Abb. (Rsk. Br.).

§. 43. 1) ἡ add. Saupp. (Fr. Bens.). 2) πομπεύων gmopqr Vat. Laur. (Di.), ἐπόμπευεν dF et (om. ν ἐφελκ.) Barb. Abb., ἐπόμπευον abhl et mg. q. 3) ταὐτῷ qrt (Rsk. Br. Di.),

λίου[4] Σφήττιος. συνθεμένου[5] δ' αὐτοῖς συμπομπεύειν[6] Τιμάρχου τουτονὶ[7] οἱ μὲν περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δ' οὐκ ἐπανῆκε. παρωξυμμένος[8] δὲ πρὸς[9] τὸ πρᾶγμ' ὁ Μισγόλας[10] ξήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου, ἐξαγγελθέντος δ' αὐτοῖς εὑρίσκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ 69
ξένων τινῶν[11] συναριστῶντα. διαπειλησαμένου[12] δὲ τοῦ[13] Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς[14] ξένοις καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον,[15] ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι ᾤχοντο φεύγοντες,[16] καται-
44 λιπόντες τὰ παρεσκευασμένα.[17] καὶ ταῦθ' ὅτι ἐγὼ[1] ἀληθῆ λέγω, ἅπαντες,[2] ὅσοι[3] κατ' ἐκείνους τοὺς χρόνους ἐγίγνωσκον[4] Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν. ἦ δῆ[5] καὶ πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ[6] δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ' ὑμῶν,[7] οὐδ' ἀπ'[8] ἄλλου γιγνωσκόμενον οὐδενὸς ἢ ἀπ' αὐτοῦ τοῦ[9] ἐπιτηδεύματος, περὶ οὗ καὶ τὴν ψῆφον μέλλετε[10] φέρειν. περὶ[11] μὲν[12] γὰρ[13] τῶν ἀγνοουμένων[14] σαφεῖς[15] ἴσως[16] προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι[17] τὸν κατήγορον, περὶ δὲ τῶν ὁμολογουμένων οὐ λίαν ἔγωγε μέγ' ἔργον εἶναι νομίζω[18] τὸ[19]
45 κατηγορεῖν· ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας.
20. ἐγὼ τοίνυν καίπερ[1] ὁμολογουμένου[2] τοῦ πράγματος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα μαρτυρίαν[3] Μισγόλᾳ[4] ἀλη- 70
θῆ μέν, οὐκ ἀπαίδευτον δέ,[5] ὡς ἐγὼ ἐμαυτὸν πείθω.[6] αὐτὸ[7] μὲν γὰρ[8] τοὔνομα τοὔργου, ὃ[9] ἔπραττε πρὸς τοῦτον, οὐκ ἐγ-

αὐτῷ p Vat. Laur., τῷ αὐτῷ cett. 4) καλλίου o (Fr. BS. Bens.), ὁ καλλίου cett. cf. Fr. in Act. soc. gr. T. II, p. 47. 5) συνθέμενοι p Vat. 6) πομπεύειν gmo Laur. 7) Τιμ. τ.] τίμαρχον τουτονὶ p. 8) παροξυνάμενος l, παροξυνόμενος q (παρωξυμμένος mg, q), παρωξυμένος mor (vulg. ante Rsk.). 9) κατὰ Abb. 10) ὁ μισγολ. ante πρὸς pon. l. 11) τινα lt. 12) διαπειλησαμένων vulg. ante Bk. 13) τοῦ om. h. 14) καὶ τοῖς l. 15) δεσμοτήριον Vat. 16) φεύγοντες ante ᾤχοντο pon. dFhq Laur. Barb. Abb. (vulg. ante Bk.). 17) παρασκευασμένα Vat. Barb., παρασκευαζόμενα q.

§. 44. 1) ἐγὼ om. dFqt Barb. Abb. 2) πάντες dFh Barb. Abb. 3) οἳ dFhq Barb. Abb. 4) ὅσοι ἐγίνωσκον dFhq Abb. 5) ἦ δὴ abh Vat., ἢ δὴ q Laur. et pr. m, ἤδη dFgl Barb. Abb. Mor. (in g teste Taylore et in meis ad antegressa relatum), ἤδη δὲ p, ἐγὼ δὲ vulg. ante Bk. 6) ἡ om. ab. 7) ἡμῶν q. 8) ἀπ' om. t. 9) τοῦ om d. 10) ἐμέλλετε dF Barb. Abb. 11) καὶ περὶ r. 12) μὲν om. q. 13) γὰρ om. l Vat. 14) ἠγνοημένων Laur. αι 15) σαφῶς hr Laur. 16) ἴσθ' l. 17) ποιεῖσθαι ante τὰς ἀποδείξεις pon. dFhq Barb. Abb. 18) νομίζω ante εἶναι pon. Abb. 19) τὸ om. dF Barb. Abb.

§. 45. 1. καὶ περὶ or. 2) ὄντος post ὁμολογ. add. dFh Barb. Abb., post πράγματος qt (Rsk. Br.). 3) μαρτυρίας hq. 4) τῷ μισγόλᾳ Fq Barb. Abb., τῷ μισγόλῳ dh. 5) καὶ or. 6) πείθων Laur. 7) αὐτοῦ p. 8) γὰρ om. Laur. 9) οὗ p.

γράφω,[10] οὐδ' ἄλλο[11] γέγραφα οὐδέν, ὃ[12] ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ τἀληθῆ[13] μαρτυρήσαντι· ἃ δ' ἐστὶν ὑμῖν μὲν τοῖς[14] ἀκούουσι[15] γνώριμα,[16] ἀκίνδυνα δὲ τῷ μαρτυροῦντι καὶ
71 μὴ[17] αἰσχρά, ταῦτα γέγραφα. ἐὰν μὲν[1] οὖν ἐθελήσῃ ὁ Μισ- 46
γόλας δεῦρο παρελθὼν[2] τἀληθῆ μαρτυρῆσαι,[3] τὰ δίκαια ποιήσει· ἐὰν δὲ[4] προαιρῆται[5] ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς[6] τὸ ὅλον πρᾶγμα συνείσεσθε.[7] εἰ γὰρ ὁ μὲν[8] πράξας αἰσχυνεῖται[9] καὶ προαιρήσεται χιλίας μᾶλλον δραχμὰς[10] ἀποτῖσαι τῷ δημοσίῳ, ὥστε[11] μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυ-
72 τοῦ ὑμῖν,[12] ὁ δὲ πεπονθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης 47
ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ τοῦ[13] βήματος. ἐὰν δ'[1] ἄρ' ὑπακούσῃ μὲν,[2] τράπηται δ' ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς[3] ἀληθείας, ὡς Τιμάρχῳ μὲν χάριτας ἀποδιδοὺς, ἑτέροις[4] δ' ἐπίδειξιν ποιούμενος, ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον μὲν εἰς ἑαυτὸν[5] ἐξαμαρτήσεται,[6] ἔπειτ'[7] οὐδὲν αὐτῷ ἔσται[8] πλέον. 21. ἑτέραν[9] γὰρ ἐγὼ[10] γέγραφα μαρτυρίαν τοῖς εἰδόσι Τίμαρχον τουτονὶ ἐκλιπόντα[11] τὴν πατρῴαν οἰκίαν καὶ διαιτώμενον παρὰ Μισγόλᾳ, πρᾶγμα, οἶμαι, χαλεπὸν ἐξεργάζεσθαι[12] ἐπιχειρῶν·[13] οὔτε γάρ με[14] δεῖ[15] τοὺς ἐμαυτοῦ[16] φίλους μάρτυρας παρασχέσθαι οὔτε τοὺς τούτων ἐχθροὺς οὐδὲ[17] τοὺς μηδετέρους ἡμῶν γιγνώσκοντας, ἀλλὰ

10) ἐγγράφων hlq, ἐγράφω Barb., ἐγγέγραφα Rsk. de coni. 11) ἄλλην l. 12) οὐδὲν ὃ] οὐδενὶ l. 13) ἀληθῆ dF Barb. Abb., μὴ τἀληθῆ legebatur ante Rsk. 14) ὑμῖν μὲν τοῖς de coni. Rsk. scripsi probante Fr. ὑμῶν p, ὑμῖν τε dF Abb., ὑμῖν cett. ὑμὶν μὲν coni. Wolf., quod receperunt Rsk. Br. Bk., ὑμῖν τοῖς coni. Br. cf. Scheib. in Jahni Annall. 35 p. 134. 15) ἀκοῦσαι F Laur. Barb. Abb. 16) γνώρισμα h. 17) τῷ μαρτυροῦντι καὶ μὴ dFh Barb. Abb. (Rsk. Br. Bk. Fr. Bens.), καὶ μὴ τῷ μαρτυροῦντι cett.

§. 46. 1) μὲν om. gmor (Di.). 2) παρελθὼν καὶ p Vat. 3) μαρτυρεῖν dFhq Barb. Abb. (vulg. ante Bk.). 4) δὲ ἐκὼν Bern. 5) προαιρεῖται q. 6) ὑμεῖς δὲ Laur. 7) συνείσεσθε de coni., συνήσετε coni. Fr. (Bens.) coll. Weber. ad Dem. Aristocr. 21, συνείδετε dFhq Abb., συνίστετε l, συνειδήσετε cum Bern. Br., συνείδεται Barb. (qui vv. inde a τὰ δίκαια usque ad μαρτυρεῖν om., συνίδετε cum cett. libris Rsk. Bk. Di., σύνιστε edd. Turicc. 8) μὲν ante γὰρ pon. Laur. 9) αἰσχύνεται Laur. 10) δραχμὰς ante μᾶλλον pon. dFhq Barb. Abb. (vulg. ante Bk.). μᾶλλον om. Laur. 11) ὥς q. 12) ὑμῖν om Laur. 13) τοῦ om. Laur.

§. 47. 1) δ' om. l. 2) μὲν om. t Laur. 3) τὰς om. Abb. 4) ἑταίροις abmo Vat. Laur. 5) αὐτὸν qt. 6) ἐξαμαρτήσεται glmpr Vat. Laur. et pr. aF (Fr. Bens.), ἐπιορκῶν ἁμαρτήσεται h, ἐπιορκῶν ἐξαμαρτήσεται q, ἐξαμαρτήσεται ἐπιορκῶν cett. (Rsk. Br. BS.), ἐξαμαρτήσεται [ἐπιορκῶν] Bk. Di. 7) ἔπειτ b. 8) αὐτῷ ἔ.] ἔστ' αὐτῷ dFh Barb. Abb., ἔπ' αὐτῷ q. 9) ἑταίραν pr. or, ἑτέροις tertia manu r. 10) ἔγωγε lp. 11) καταλιπόντα dFhq Barb. Abb. (vulg. ante Br.). 12) ἐξειργάσασθαι q, ἐξεργάσασθαι dFh Laur. Barb. Abb. (vulg. ante Bk.). 13) ἐγχειρῶν dFhq Barb. Abb. 14) γάρ με de coni. Fr., γὰρ ἐμὲ codd. 15) δεῖν l. 16) .... τοῦ Vat. 17) οὐδὲ abg Vat. Laur. (BS. Fr. Bens.), οὐ F, οὔτε cett. (Rsk. Br. Bk. Di.).

48 τοὺς τούτων φίλους. ἆν[1] δ' ἄρα καὶ τούτους πείσωσι[2] μὴ μαρτυρεῖν, ὡς[3] οὐκ οἶμαί[4] γε·[5] εἰ δὲ μή, ἀλλ' οὐχ ἅπαντας, 73
ἐκεῖνό γ'[6] οὐ μήποτε δυνήσονται,[7] ἀφελέσθαι τὴν ἀλήθειαν, οὐδὲ τὴν ἐν τῇ[8] πόλει περὶ Τιμάρχου φήμην, ἣν οὐκ ἐγὼ τούτῳ παρεσκεύασα,[9] ἀλλ' αὐτὸς[10] οὗτος[11] ἑαυτῷ.[12] οὕτω γὰρ καθαρὸν χρὴ[13] τὸν βίον εἶναι[14] τοῦ[15] σώφρονος ἀνδρός,[16] ὥστε μὴ[17] ἐπιδέχεσθαι[18] δόξαν αἰτίας πονηρᾶς.[19]

49 Βούλομαι δὲ κἀκεῖνο προειπεῖν,[1] ἐὰν ἄρ'[2] ὑπακούσῃ ὁ Μισγόλας τοῖς νόμοις[3] καὶ ὑμῖν. εἰσὶ[4] φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων[5] τὰ[6] περὶ τὴν ἡλικίαν· ἔνιοι[7] μὲν γὰρ νέοι ὄντες προφερεῖς καὶ πρεσβύτεροι φαίνον- 74
ται, ἕτεροι δὲ πολὺν[8] ἀριθμὸν χρόνου γεγονότες παντάπασι νέοι.[9] τούτων δ' ἐστὶ τῶν ἀνδρῶν ὁ[10] Μισγόλας. τυγχάνει μὲν[11] γὰρ ἡλικιώτης ὢν ἐμὸς[12] καὶ συνέφηβος, καὶ ἔστιν ἡμῖν[13] τουτὶ[14] πέμπτον καὶ τετταρακοστὸν[15] ἔτος·[16] κἀγὼ μὲν τοσαυτασὶ[17] πολιὰς ἔχω, ἃς[18] ὑμεῖς ὁρᾶτε,[19] ἀλλ' οὐκ ἐκεῖνος. διὰ τί οὖν[20] ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε καὶ τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε·[21] "ὦ Ἡράκλεις, ἀλλ' οὗτός γε τούτου οὐ[22] πολὺ διαφέρει." ἅμα μὲν γὰρ ἡ φύσις ἐστὶ[23] τοιαύτη τἀνθρώπου,[21] ἅμα δ' ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν.

§. 48. 1) ἐὰν Di. 2) πεῖσαι οὐ Vat., πείσωσιν οὐ p. 3) ὡς om. Laur. 4) οἶομαι codd. 5) γε om. dFh Barb. Abb. et ut videtur q (vulg. ante Rsk.). 6) δέ γε lo Abb. 7) δυνήσωνται Ald. H., οὐ μήποτε δυνήσονται post Fr. Emperius (opuscc. p. 317), οὐδέποτέ με δυνήσονται p (Br.), οὐδεμήποτε δυνήσονται hq Bern., οὐδὲ μήποτε δύνωνται dF Barb. Abb., οὐδεμήποτε δύνωνται Ald. Steph., οὐδαμῆποτε δύνωνται coni. Steph., οὐ δέδια, μή ποτέ με δύνωνται coni. Rsk., οὐδέποτε δυνήσονται cett. cf. 3, 177 et Dem. 9, 75 et Fr. ad 4, 44. 8) τῇ om. Laur. 9) παρεσκεύασα ante τούτῳ pon. dFhq Barb. Abb. 10) παρεσκ.—αὐτὸς om. Vat. 11) οὗτος om. dFhpqt Barb. Abb. 12) ἑαυτῷ om. t. 13) χρὴ om. t. 14) καθ. χρὴ τ. βίον εἶναι abgmopr Vat. Laur., χρὴ καθαρὸν εἶναι τ. βίον dF Barb. Abb. Stobaeus V, 74, καθαρ. εἶναι χρὴ τὸν β. hlq, χρὴ καθ. τὸν β. εἶναι vulg. 15) τοῦ om. b. 16) ἀνδρὸς om. t. 17) μηδ' dF Barb. Abb., μηδὲ Stob. 18) δέχεσθαι Stob. 19) πονερῆς o.

§. 49. 1) προειπεῖν in lac. om. Vat. 2) γ' ἄρ Vat., γὰρ glmo Laur. cf. §. 24. 3) τῷ νόμῳ dFhqo Barb. Abb. (vulg. ante Br.). 4) εἰ δὲ p. 5) τῶν ἄλλων qt. 6) τὰ in lac. om. Vat. 7) ἔνιοι κ. τ. λ. citat Harpocr. p. 160, 30. 8) πολὺν om. or et pr. m. 9) νέοι ab, νέοι φαίνονται glmopr Vat. Laur., νέοι δοκοῦντες εἶναι F Barb. Abb. (Ald.), νέοι δοκοῦσιν εἶναι dhq (Steph. Rsk.). 10) ὁ om. q, non F, (vulg. ante Br.). 11) μὲν om. h. 12) ἐμοὶ l. 13) ὑμῖν o. 14) τουτὶ om. Laur. 15) τεσσαρακοστὸν b. 16) ἔτος om. t. 17) τοσαύτας p, τοτανσὶ Laur. 18) ὅσας dFhpqrt (Rsk. Br. Bk.). 19) ὁρᾶται o, τοσαυτασὶ — ὁρᾶτε in lac. om. Vat. 20) δὴ dFhq Barb. Abb. 21) ὑπολάβοιτε d. 22) οὐ om. r. 23) ἐστιν ante ἡ φύσις pon. dFhq Barb. Abb. 24) ἀνδρὸς dFhq Barb. Abb.

Ἵνα δὲ[1] μὴ διατρίβω,[2] πρῶτον μὲν κάλει μοι[3] τοὺς 50
εἰδότας[4] Τίμαρχον τουτονὶ διαιτῶμενον ἐν τῇ Μισγόλα οἰκίᾳ,
ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίγνωσκε. καὶ τελευταίαν
δὲ[5] μοι λαβὲ τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν, ἵνα καὶ[6] τοὺς
θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας αἰσχυνόμενος[7] καὶ τοὺς
ἄλλους πολίτας καὶ ὑμᾶς τοὺς[8] δικαστὰς ἐθελήσῃ[9] τἀληθῆ
μαρτυρεῖν.[10]

ΜΑΡΤΥΡΙΑΙ.[11]

22. [Μισγόλας[12] Νικίου[13] Πειραιεὺς μαρτυρεῖ. — — — —
— — — — — — — — — — — — — — ἐμοὶ[14] ἐγένετο
ἐν συνηθείᾳ[15] Τίμαρχος[16] ὁ ἐπὶ τοῦ Εὐθυδίκου[17] ἰατρείου ποτὲ καθ-
εζόμενος,[18] καὶ[19] κατὰ[20] τὴν γνῶσίν[21] μου[22] τὴν πρὸς[23] αὐτὸν πο-
λυωρῶν[24] εἰς τὴν[25] νῦν[26] οὐ διέλιπον.[27]]

Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ διέμεινε[1] 51
παρὰ τῷ Μισγόλᾳ καὶ μηκέθ' ὡς ἄλλον ἦκε,[2] μετριώτερ'[3] ἂν
διεπέπρακτο, εἰ δή τι[4] τῶν τοιούτων ἐστὶ μέτριον,[5] καὶ ἔγωγ'
οὐκ ἂν ὤκνησα[6] αὐτὸν οὐδὲν[7] αἰτιᾶσθαι ἢ[8] ὅπερ[9] ὁ νομοθέ-
της παρρησιάζεται, ἡταιρηκέναι μόνον·[10] ὁ γὰρ πρὸς ἕνα[11]
τοῦτο πράττων, ἐπὶ μισθῷ[12] δὲ[13] τὴν πρᾶξιν ποιούμενος,
αὐτῷ μοι δοκεῖ τούτῳ ἕνοχος εἶναι.[14] ἐὰν δ' ὑμᾶς ἀναμνήσας
ἐπιδείξω,[1] ὑπερβαίνων[2] τούσδε[3] τοὺς ἀγρίους,[4] Κηδωνίδην[5] 52

§. 50. 1) δὲ om. Laur. 2) διατρ . . . . Vat. 3) πρ. μὲν κάλει μοι] κάλει μοι πρῶτον μὲν dFhq Barb. (vulg. ante Br.). 4) ἰδότας r. 5) καὶ τελευταίαν δὲ abo Vat. Laur. (BS. Fr. Bens.), καὶ τελευταῖον δὲ glm et (Rsk. p. 791 testante) pr, τελευταίαν δὲ cum cett. Rsk. Br. Bk. Di. 6) ἵνακαὶ] ἵνα εἰς l. ἐὰν καὶ malebat Tayl. 7) αἰσχυνούμενος d. 8) καὶ τοὺς hq, αὐτοὺς Barb. 9) ἐθέλητ' Ald. ἐθέλῃ dF. 10) μαρτυρεῖ q. 11) μαρτυριαι cum q: Fr. Bens., μάρτυρες Abb. Testimonium om. d Ft Barb. Abb. 12) μισγόλας om. p. 13) νικίου om. p et in lacuna Vat. cf. Bens. ad h. l. 14) ἐμοὶ δὲ l. de lacuna ante ἐμοὶ cf. Bens. p. 155. 15) συνηθείᾳ opqr Laur. (Rsk. Br. probante Fr.), τῇ συνηθείᾳ cett. 16) τίμαρχος οὑτοσὶ p. 17) εὐθυδικίου ab. 18) δικαζόμενος glm Vat. Laur. et pr. r (διακαθεζόμενος rc. r), δικαθεζόμενος o. 19) καὶ om. l. 20) μετὰ coni. Tayl., κατὰ om. Rsk. 21) γνώμην lq. 22) μου cum Bern.: Br. Fr., τὴν μοι (pro μοι τὴν) coni. Rsk., μοι cett. 23) πρότερον Emperius. 24) πολυωρῶν om. in lac. p Vat. 25) τὴν om. Laur. 26) γρ. ναῦν Bern. 27) διέλιπεν Rsk. Bk. Di.

§. 51. 1) παρέμεινε dFhq Barb. Abb. 2) ἦλθε dFhq Barb. Abb. 3) μετριώτερον Ipqr Laur., μετριώτερα Rsk. Br. 4) εἰ δή τι] εἴ δ' εἴ τι F, εἰ δεῖ Laur. 5) μετριώτερον ghlmo Vat. Laur. 6) ἐτόλμησα coni. Rsk. 7) οὐδὲν ἄλλο Bern. 8) ἢ om. lmor Laur. 9) αἰτιᾶσθ. ἢ ὅπερ in lac. om. Vat. 10) ἡταιρηκ. μόνον in lac. om. Vat. 11) ἕνα μὲν coni. Rsk., cui et vv. τὴν πρ. ποιούμενος suspecta erant. 12) πράττ. — μισθῷ] πράττω . . . . . θῷ Vat. 13) δὲ om. Vat. 14) ἐστὶν p.

§. 52. 1) ὑποδείξω gm. 2) ὑπερβαίνοντα hq (Br.). 3) τοὺς δὲ o, τούτους (teste Taylore) h. 4) ἀγρίους Harpocrat. p. 110, 21. Gregor. Corinth. ap. Walz. VII p. 1185, 26, ἀγρίους ἄνδρας (ἀγίους ἄ. Abb.)

καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον,[6] ἀλλ'[7] ἐπιδείξω[8] αὐτοὺς λέγων ὧν[9] ἐν ταῖς οἰκίαις[10] ἀνειλημμένος[11] γέγονε,[12] μὴ[13] 77
μόνον παρὰ τὰ Μισγόλα μεμισθαρνηκότ' αὐτὸν ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ' ἑτέρῳ καὶ πάλιν παρ' ἄλλῳ,[14] καὶ παρὰ τούτου[15] ὡς ἕτερον ἐληλυθότα, οὐκέτι δήπου φαίνεται μόνον[16] ἡταιρηκώς, ἀλλὰ καὶ[17] (μὰ τὸν Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι[18] περιπλέκειν ὅλην τὴν[19] ἡμέραν) καὶ πεπορνευμένος· 78
ὁ[20] γὰρ εἰκῇ τοῦτο καὶ πρὸς πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ[21] μοι τούτῳ δοκεῖ[22] ἔνοχος εἶναι.

53 23. Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε καὶ τοῦτον ἐξέπεμψε παρ'[1] ἑαυτοῦ, μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν[2] Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ τὰ[3] μετὰ ταῦτ' ἐρῶ.

Ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ Μισγόλα Τίμαρχος οὑτοσί,[4] οὐκ ἐνουθέτησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ διημέρευεν[5] ἐν τῷ κυβείῳ,[6] οὗ ἡ[7] τη- 79
λία τίθεται καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι[8] καὶ κυβεύουσιν·[9] ἤδη γὰρ οἶμαί τινας ὑμῶν[10] ἑωρακέναι ἃ λέγω,[11] εἰ δὲ μή, ἀλλ' ἀκηκοέναι γε.[12] τῶν δ' ἐκ τῆς διατριβῆς ταύτης
54 ἐστί τις Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως.[1] οὗτος εὐπορῶν ἀργυρίου καὶ ἰδὼν[2] τοῦτον ἐν τῇ διατριβῇ[3]

libri. cf. Harpocration, p. 4, 1 et Bekk. anecdd. p. 200, 21. 332, 26. 5) *κυδωνίδην* p. *τοὺς ἀγρ.* — *Κηδωνίδην* in lac. om. Vat. 6) *καὶ Θέρσανδρον* om. Vat. 7) *καὶ* hq (Br.). *ταῦτα δ'* coni. Rsk. p. 792. 8) *ὑποδείξω* r. 9) *λέγων ὧν*] *λέγω ὡς* p. 10) *οἰκείαις* q. 11) *ἀνηλειμμένος* d. 12) *ἐν ταῖς—γέγονε* om. p Vat. 13) *μὴ* Fr. de coni. (Bens.) prob. Scheibio (Jahn. Ann. 68, 167), *καὶ μή* libri. 14) *ἄλλων* Vat. 15) *τοῦτον* Vat. 16) *φαίνεται μόνον* abglmop Vat. Laur., *μόνον φαίνεται* dFhqr Barb. Abb., *μόνον φανήσεται* Br., *φανήσεται οὖν οὐ μόνον* Hermog. *π. μεθ. δειν.* c. 9 T. III p. 411 ed. Walz. 17) *καὶ* om. lp Thom. Mag. s. v. *ἑταῖρος*, Hermog. l. c. (Steph. prob. Br.). 18) *δεῖ* Hermog. 19) *οἶδ' ὅπως — ὅλην τὴν* in lac. om. Vat. 20) *οὐ* Abb. 21) *αὐτὸ* Vat. 22) *δοκεῖ* ante *τούτῳ* pon. dFhloq Barb. Abb.

§. 53. 1) *ἀφ'* dFhq Mor. Barb. Abb. 2) *οὖν αὐτὸν* Laur. 3) *τὰ* om. Laur. 4) *τίμαρχος οὑτοσὶ* dF Barb. Abb. (Br. Fr. *τιμ. οὑτοσὶν* Rsk.), *ὁ τίμαρχος οὗτοσ* lp, *τίμαρχος οὗτος* cett. (Bk. Di. BS. Bens.). 5) *διημέρευσεν* Bern. (Rsk. Br.). 6) *κύκλῳ* q. 7) *ἡ* om. t. 8) *εἰσβάλλουσι* gmor. 9) vv. *οὗ — κυβεύουσιν* Taylori suspecta videntur. 10) *τινας ὑμῶν*] *ὑμῶν* ante *τινας* pon. dFhq Barb. Abb. 11) *ἃ λέγω* om. dF Barb. Abb. 12) *γε* om. dFq.

§. 54. 1) vv. *οἰκέτης τῆς πόλεως* atque §. 62 *οἰκέτην τ. πόλεως* Bakius Mnem. VIII p. 106 sq. delet. 2) *ἰδὼν* o, *ὁρῶν* dFhqt Barb. Abb. 3) *διατριβῇ* glmopr Vat. Laur. (Di.), *διατριβῇ ταύτῃ* cett. *ταύτῃ* uncis

ἀνέλαβεν αὐτὸν καὶ εἶχε[4] παρ' ἑαυτῷ. καὶ ταῦτ'[5] οὐκ ἐδυσχέραινεν ὁ[6] μιαρὸς οὑτοσί,[7] μέλλων ἑαυτὸν κατασχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως·[8] ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο[9] μόνον ἐσκέψατο, τῶν δὲ καλῶν ἢ τῶν αἰσχρῶν[10] οὐδεμίαν πώποτε πρόνοιαν[11] ἐποιήσατο[12]. καὶ τοιαῦθ' ἁμαρτήματα[1] καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ[2] τἀνθρώπου τούτου εἰς τὸ σῶμα τοῦ[3] Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι[4] πρὸς ὑμᾶς εἰπεῖν· ἃ γὰρ οὗτος[5] ἔργῳ πράττων οὐκ ἠσχύνετο, ταῦτ' ἐγὼ σαφῶς[6] ἐν ὑμῖν εἰπὼν[7] οὐκ ἂν ἐδεξάμην[8] ζῆν. 55

80 24. Ὑπὸ[9] τοὺς αὐτοὺς χρόνους τούτους, ἐν οἷς οὗτος ἦν[10] παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρ'[11] ἐξ Ἑλλησπόντου Ἡγήσανδρος,[12] περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος ὁ Ἡγήσανδρος 56
ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας[1] εἰς Ἑλλήσποντον ταμίας ἅμα[2] Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ[3] ἧκε δεῦρ' ἀπολελαυκώς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ[4] ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ τρόπον τιν' οὐχ ἥκιστ' αἴτιος[5] ἐγένεθ' οὗτος[6] Τιμομάχῳ[7] τῆς συμφορᾶς. ὧν δ' ἐν τοιαύτῃ[1] ἀφθονίᾳ[2] καὶ 57
φοιτῶν[3] ὡς[4] τὸν[5] Πιττάλακον συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἐκεῖ πρῶτον ἰδών,[6] ἤσθη τε[7] καὶ ἐπεθύμησε καὶ ἐβουλήθη ὡς αὐτὸν ἀναλαβεῖν, καί πως ἴσως[8] ἡγήσατ' εἶναι αὐτὸν ἐγγὺς[9]

incl. Bk. 4) ἔσχε Fq Barb. 5) τοῦτ' dF Barb. Abb. 6) ὁ om. t. 7) οὗτος dF Barb. Abb. 8) ἄνθρ. — πόλεως affert Harpocr. p. 56, 4. 9) τοῦτον Laur. 10) αἰσχίστων dFh Barb. Abb. 11) πώποτε πρόνοιαν] πρόνοιαν πώποτε ghmoqr. 12) τῶν δὲ — ἐποιήσατο om. l.

§. 55. 1) πράγματα dF Barb. Abb. 2) ἀπὸ hq. 3) τὸ dF (Bk.). 4) πολεμήσαιμι h. 5) αὐτὸς dF (non οὑτωσὶ) hq Barb. Abb. 6) σαφῶς glopr Vat. Laur. et pr. a (BS.), λόγῳ σαφῶς b et sec. a (Bk. Di. Fr. Beus.) λόγῳ μόνον σαφῶς cett. (Rsk. Br.). cf. §. 73. 7) εἰπεῖν p. 8) ἐδοξ . . . . . Vat. 9) ὑπὸ Vat. Laur., ὑπὸ δὲ cett. 10) οὗτος ἦν] ἦν οὗτος gmo (Di.). 11) δεῦρο om. in lac. Vat. 12) ὁ τοῦτον ἀνειληφὼς, quae vv. codd. add. post ἡγήσανδρος, cum Hamaker. in Mnem. VII. p. 455 delevi. cf. §§. 43 et 57.

§. 56. 1) πλεύσας l. 2) ἅμα om. abdFhq Barb. Abb. 3) καὶ om. Laur. 4) ἢ om. dF Barb. Abb. 5) αἴτιος] αἴτιος διδοὺς τὰ πολλὰ· ἐκέρδαινεν (ἐκέρδενεν o) καὶ ἐχλεύαζεν (ἐχλεύαζε o) or. 6) οὗτος om. dFgm Barb. Abb. et, ut videtur, q, post αἴτιος pon. p Bern., primus recepit Bk. 7) τῷ τιμομάχῳ Laur.

§. 57. 1) ταύτῃ Barb., ταύτῃ τῇ dFhq Abb. 2) ἀφωνίᾳ hq. 3) εἰσφοιτῶν dFhq Barb. Abb. 4) εἰς hq, ἐς Abb. 5) τὸν om. Laur. 6) ἑ. πρ. ἰδὼν] ἰδὼν ἐκεῖ πρῶτον dFhq Barb. Abb. 7) ἤσθη τε] ἤσθετο pr. q. 8) πῶς; ἴσως o. . 9) ἡγ. εἶν. αὐτὸν ἐγγ.] αὐτὸν ἡγήσατο ἐγγὺς εἶναι

τῆς αὐτοῦ φύσεως. πρῶτον μὲν οὖν[10] τῷ Πιτταλάκῳ διελέχθη[11] δεόμενος παραδοῦναι[12] τοῦτον· ὡς δ' οὐκ ἔπειθεν[13] αὐτὸν,[14] αὐτῷ[15] τούτῳ[16] προσβάλλει, καὶ οὐ πολὺν ἀνήλωσε[17] χρόνον,[18] ἀλλ' εὐθὺς ἐπεπείκει· καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ[19] κακία[20] καὶ ἀπιστία,[21] ὥστε καὶ ἐξ αὐτῶν τούτων 81
58 εἰκότως ἂν μισοῖτο.

25. Ὡς δ' ἀπήλλακτο μὲν παρὰ[1] τοῦ Πιτταλάκου, ἀνείληπτο δ' ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο, οἶμαι, ὁ Πιττάλακος τοσοῦτον ἀργύριον μάτην, ὡς[2] ᾤετο,[3] ἀνηλωκὼς,[4] καὶ ἐξηλοτύπει τὰ γιγνόμενα καὶ[5] ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι[6] δ' αὐτοῖς ἠνώχλει,[7] σκέψασθε μεγάλην ῥώμην[8] Ἡγησάνδρου καὶ Τι- 82
μάρχου· μεθυσθέντες γάρ ποτε[9] καὶ αὐτοὶ καὶ ἄλλοι τινὲς
59 τῶν συγκυβευτῶν,[10] ὧν οὐ[11] βούλομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν, οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διερρίπτουν[1] εἰς τὴν ὁδόν,[2] ἀστραγάλους τε[3] τινας διασείστους καὶ φιμοὺς[4] καὶ κυ- 83
βευτικὰ ἕτερ'[5] ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας, οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθωπος, ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίον' αὐτὸν[6] τὸν Πιττάλακον ἐμαστίγουν[7] τὰς ἐξ ἀνθρώπων[8] πληγὰς οὕτω πολὺν χρόνον,
60 ὥστε[9] καὶ τοὺς γείτονας αἰσθέσθαι[10] τῆς κραυγῆς. τῇ δ'[1] ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται[2] γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τῆς[3] 84

dFhqr Barb. Abb. 10) *οὖν* om. Vat. Abb. 11) *διελέχθη* F Barb. Abb. et fort. r (vulg. ante Rsk.). 12) *παραβῆναι* b. 13) *ἔπεισεν* coni. Fr. 14) *αὐτὸν* om. dFmor Barb. Abb. (vulg. ante Bk.). 15) *αὐτῷ* om. (ut Rsk. testatur) gr (non F). 16) *τούτῳ* om. dF Barb. Abb. 17) *ἀνήλωσε* dF Barb. Abb. (BS. Fr. Bens.), *ἀνάλωσε* cett. 18) *λόγον* dFq Barb. Abb. (Bk.). 19) *ἡ* om. gh. 20) *κακία* dFl et mei, *α κακία* m, *ἀκακία* cett. (Rsk. Br. Bens.). 21) *ἀπιστία* lq Vat. Laur. Barb. Abb., *εὐπιστία* vulg., *εὐπειστία* Rsk. de coni. (Bens.).

§. 58. 1) *παρὰ* abdF Barb. Abb., *ἀπὸ* cum cett. Rsk. Br. Bk. Di. cf. §. 53. 2) *ὡς* om. Laur. 3) *τοσοῦτον — ᾤετο*] *μάτην ὥς γε ᾤετο τὸ ἀργ.* dF Barb. Abb., *μάτην ὡς γε ᾤετο τοσοῦτον ἀργ.* qt. 4) *ἀνηλωκὼς* l. 5) *καὶ* om. Laur. 6) *ὅτε* coni. Tayl. 7) *ἠνώχλει* d. 8) *γνώμην* gr. h et mg. q. 9) *ποτε* om. Abb. 10) *καὶ ἄλλοι τινὲς τ. συγκυβ.* hq. et sec. F (Bens.). Idem, sed art. *τῶν* om. d, *καὶ ἄλλοι τινες τῶν* t, *καὶ ἄλλοι τινες* Barb. Abb. et pr. F, *τῶν συγκυβ. τινες καὶ ἄλλοι* cett. cf. §. 60 extr. — *συγκυβευτῶν*] *συγκυβευόντων* g. *τῶν συγκυβευτ.* del. BS. 11) *οὗ* om. Vat.

§. 59. 1) *διέρριπτουν* o. 2) *ἠδύον* b. 3) *δὲ* Laur., om. dFhq Barb. Abb. 4) *διασείστους* citat Harpocr. p. 58, *καὶ φιμοὺς — ὄρν.* p. 182. 5) *κυβ. ἕτερα*] *κύβους καὶ ἕτερά τινα* dFhq Barb. Abb. 6) *αὐτὸν* om. p. Vat. 7) *ἐξεμαστίγουν* h. 8) *ἐξανθρώπους* coni. Wolf. Palmer. ed. Taylor. 9) *ὥς γε* o. 10) *αἴσθεσθαι* F.

§. 60. 1) *δ'* om. Vat. 2) *ἔρχεται γὰρ* t. 3) *τὸν τῆς* dFhq Abb. (Bk.)

μητρὸς τῶν θεῶν. ὄχλου δὲ συνδραμόντος, οἷον[4] εἴωθε γίγνεσθαι, φοβηθέντες ὅ θ' Ἡγήσανδρος καὶ ὁ Τίμαρχος,[5] μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν, ἐπήει δ' ἐκκλησία, θεούσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ[6] καὶ τῶν συγκυβευτῶν τινες, καὶ περιστάντες ἐδέοντο τοῦ Πιτταλάκου 61
ἀναστῆναι,[1] λέγοντες, ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν,[2] καὶ αὐτὸς δ'[3] οὗτος, οὐδέπω[4] μὰ Δί' ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν, ἀλλ' ἔτι χρήσιμος,[5] ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πράξειν, ἃ ἂν ἐκείνῳ συνδοκῇ.[6] πέρας[7] πείθουσιν ἀναστῆναι ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρωπον[8] ὡς τευξόμενόν τινος[9] τῶν δικαίων. ὡς δ' ἀπῆλθεν ἐκ[10] τῆς ἀγορᾶς, οὐκέτι προσεῖχον αὐτῷ τὸν νοῦν. 26. βαρέως[1] δὲ 62
φέρων τὴν ὕβριν αὐτῶν ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι[2] δ' ἐδικάζετο,[3] σκέψασθε μεγάλην ῥώμην Ἡγη-
85 σάνδρου· ἄνθρωπον οὐδὲν[4] αὐτὸν[5] ἠδικηκότα, ἀλλὰ τοὐναντίον[6] ἠδικημένον, οὐδὲν[7] προσήκονθ' αὑτῷ,[8] ἀλλὰ δημόσιον οἰκέτην[9] τῆς πόλεως, ἦγεν εἰς δουλείαν[10] φάσκων ἑαυτοῦ[11] εἶναι δοῦλον.[12] ἐν παντὶ δὲ κακῷ[13] γενόμενος[14] ὁ Πιττάλακος προσπίπτει ἀνδρὶ[15] καὶ[16] μάλα χρηστῷ. ἔστι τις Γλαύκων[17] Χολαργεύς· οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ μετὰ τοῦτο δικῶν λήξεις[1] ἐποιήσαντο.[2] προϊόντος δὲ τοῦ 63
χρόνου ἐπέτρεψαν[3] διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τ' ὄντι τοῦ Ἡγησάνδρου καὶ ἤδη[4] ποτὲ καὶ[5]

4) οὖ l. 5) ὅ θ' Ἡγήσ. καὶ ὁ Τίμ.] ὅ τε τίμαρχος καὶ ὁ ἡγήσανδρος hq, idem sed. om. τε dF Barb. Abb. 6) αὐτοί τε p.

§. 61. 1) ἀναστῆναι om. l. 2) γέγονε o Barb. 3) δὲ om. dF hq Barb. Abb. 4) οὔπω dFhq Barb. Abb. 5) χρήσιμος ὢν glmop Vat. Laur. 6) συνδοκεῖ Fq (Ald.). 7) καὶ πέρας t. 8) ἀπὸ — ἄνθρωπ.] τὸν ἄνθρωπον ἀπὸ τοῦ βωμοῦ dFhqr Barb. Abb. 9) τινος om. ἓκ hq. 10) ἀπὸ Vat. ἀπὸ p.

§. 62. 1) βαρέα t. 2) „ὅτε teste Taylore hr, nisi ille ὅτι scribere voluit (Rsk. p. 795), nam ὅτε est in Steph.“ Fr. 3) ἐδικάσατο dFhq Barb. Abb., διεκάσατο q. 4) οὐδὲν dFghq Barb. Abb. (Bk. Di. BS. Fr. Bens.), μηδὲν cett. 5) αὐτὸν om. p, αὐτῷ d, αὐτὸν vulg. 6) τοὐναντίον pt Vat. Barb. (Br.), τὸ ἐναντίον cett. 7) οὐδὲ dFhq Barb. Abb. (vulg. ante Bk.). 8) αὐτῷ vulg. 9) ἰκέτην Laur. 10) ἦγεν εἰς δουλείαν] εἰς δουλ. ἦγεν hq. 11) αὐτοῦ vulg. ante Bk. 12) εἶναι δοῦλον] δοῦλον εἶναι q. 13) κακοῦ Blomfield (Fr. in ed. II cll. Poppon. ad Thucyd. 7, 55. p. 516, Dind. ad Xen. Cyrop. ed. IV. Teubn. p. XXII.). 14) γενόμενος ὅτι o. 15) ἀνδρὶ bglmopr Vat. Laur. Barb. et pr. a (BS. Fr. Bens.), ἀνδρὶ πρὸς τὰ γόνατα hq, πρὸς τὰ γόνατα ἀνδρὶ cett. (Rsk. Br.). πρ. τὰ γόνατα uncis. iuclus Bk. Di. 16) καὶ om. dFt Abb. 17) γλαῦκος dFt Abb. (Ald. Steph.).

§. 63. 1) δικῶν λήξ.] λήξεις δικῶν dFhq Barb. Abb. 2) ἐποιήσατο p Barb. 3) ἐπέτρεψε r, ἐπέτρεψεν o, 4) ἴδη o. 5) καὶ om. dFp Barb. Abb. (vulg. ante Rsk.).

χρησαμένῳ, ὅτ' ἦν ἐν ἡλικίᾳ· παραλαβὼν[6] *δὲ τὸ πρᾶγμ'*
ὁ[7] *Διοπείθης ἀνεβάλλετο*[8] *χαριζόμενος τούτοις χρόνους ἐκ*
64 *χρόνων. ὡς δὲ παρῆειν*[1] *ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον*[2] *ὁ Ἡγή-* 86
σανδρος, ὅτε καὶ προσεπολέμει Ἀριστοφῶντι τῷ Ἀζηνιεῖ,[3]
πρὶν αὐτῷ τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ
δήμῳ,[4] *ἣνπερ*[5] *ἐγὼ Τιμάρχῳ ἐπήγγειλα,*[6] *καὶ ἐπειδὴ Κρωβύ-*
λος[7] *ἀδελφὸς αὐτοῦ*[8] *ἐδημηγόρει καὶ ὅλως ἀπετόλμων ὑμῖν*[9]
οὗτοι[10] *περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα δὴ*[11] 87
καταμεμψάμενος[12] *ἑαυτὸν*[13] *ὁ Πιττάλακος καὶ ἐκλογισάμενος,*
τίς[14] *ὢν πρὸς οὕστινας ἐπολέμει, εὖ ἐβουλεύσατο*[15] *(δεῖ γὰρ*
τἀληθῆ[16] *λέγειν), ἡσυχίαν ἔσχεν*[17] *καὶ ἠγάπησεν, εἴ τι*[18] *μὴ*
προσλάβοι[19] *καινὸν κακόν.* 27. *ἐνταῦθα δὴ*[20] *τὴν καλὴν*
ταύτην νίκην[21] *νενικηκὼς ὁ Ἡγήσανδρος ἀκόνιτὶ εἶχε παρ'*
ἑαυτῷ Τίμαρχον τουτονί.[22]

65 *Καὶ ταῦθ' ὅτι*[1] *ἀληθῆ λέγω, πάντες ἴστε· τίς γὰρ ὑμῶν*[2]
οὐ πώποτ' εἰς τοὔψον[3] *ἀφῖκται καὶ τὰς δαπάνας τὰς τούτων* 88
οὐ τεθεώρηκεν; ἢ τίς οὐ[4] *τοῖς τούτων*[5] *κώμοις καὶ μοιχείαις*[6]
περιτυχὼν[7] *οὐκ ἠχθέσθη*[8] *ὑπὲρ τῆς πόλεως; ὅμως δὲ, ἐπει-*
δὴ[9] *ἐν δικαστηρίῳ ἐσμέν, κάλει μοι Γλαύκωνα*[10] *τὸν*[11] *Χολαρ-*

6) καὶ παραλαβών t. 7) ὁ om. glmo Vat. Laur. 8) ἀναβάλλετο Laur., ἀνεβάλετο hq.

ξατο. ὅτι δ'[4] *οὐ παρέδωκε δικαστηρίῳ οὐδ' ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων, ἀνάγκη δ' ἐστὶν εἰπεῖν, ὅτι τῆς δωρεᾶς ἀπετύγχανε.*[5] *μὴ τοίνυν φανῆτε,*[6] *ὦ ἄνδρες Ἀθηναῖοι, τῇ μὲν βουλῇ χαλεπήναντες καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσατο,*[7] *αὐτοὶ δ' ἀφῆτε, καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα, τοῦτον*[8] *τῷ δήμῳ*[9] *περιποιήσητε.*[10]

113 46. *Ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς*[1] *ἀρχάς ἐστι τοιοῦτος, περὶ δὲ τὰς χειροτονητὰς*[2] *βελτίων. καὶ τίς ὑμῶν οὐκ οἶδεν,* 131
ὡς περιβοήτως[3] *ἐξηλέγχθη*[4] *κλέπτης ὤν; πεμφθεὶς γὰρ ὑφ' ὑμῶν*[5] *ἐξεταστὴς τῶν ἐν Ἐρετρίᾳ ξένων*[6] *μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον, καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν*[7] *ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ*[8] *τοῖς μὲν*[9] *ἐξάρνοις ἐτιμήσατε*[10] *ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριάκοντα μνῶν. οἱ δὲ*[11] *νόμοι κελεύουσι τῶν*[12] *κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ζημιοῦσθαι,*[13]
114 *τοὺς δ' ἀρνουμένους κρίνεσθαι. τοιγάρτοι*[1] *οὕτως ὑμῶν κατεφρόνησεν, ὥστ' εὐθὺς ἐπὶ ταῖς ἐν τοῖς δήμοις*[2] *διαψηφίσεσι δισχιλίας*[3] *δραχμὰς ἔλαβε.*[4] *φήσας γὰρ Φιλωτάδην*[5] *τὸν Κυδαθηναιᾶ,*[6] *ἕνα τῶν πολιτῶν, ἀπελεύθερον*[7] *εἶναι ἑαυτοῦ*[8] *καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ καὶ ὀμόσας μὴ*[9] *λαβεῖν δῶρα μηδὲ*[10] *λήψεσθαι, καὶ ἐπομόσας*
115 *τοὺς ὁρκίους θεοὺς καὶ ἐξώλειαν*[11] *αὑτῷ ἐπαρασάμενος,*[12] *εἰληφὼς ἠλέγχθη παρὰ Λευκωνίδου τοῦ Φιλωτάδου*[1] *κηδεστοῦ*[2] 132

4) *δ'* om. o. 5) *οὐκ ἔτυχε* dFhq Barb. Abb. 6) *φανείτε* p Vat. 7) *ἐτιμωρήσατο* ab Vat. Laur., *ἐτιμωρήσαντο* cum cett. Rsk. Br. Bk. Di. 8) *τούτῳ* Laur. 9) *δήμῳ* Fhq Barb. Abb., *δήμῳ μὴ* cett. 10) *περιποιήσετε* d.

§. 113. 1) *κλητὰς* l. 2) *χειροτονικὰς* Laur. 3) *περὶ κρήτων* l. 4) *ἐξελέγχθη* q. 5) *ἡμῶν* lqt et pr. F. 6) *τῶν ἐν Ἐρ. ξέν.*] *τῶν ξένων ἐν ἐρετρίᾳ* dFtr Barb. Abb. (vulg. ante Br.). 7) *ἱκετεύομεν* l. 8) *μὲν* Vat., *μέντοι* p. 9) *ὁμολογῶν — τοῖς μὲν* om. t. 10) *ἐτιμήσατε* ablmop Vat. Laur., *ἐπετιμήσατε* cett. 11) *δὲ* om. l. 12) *τῶν μὲν* Barb. 13) *θανάτῳ ζημ.*] *ἀποθνήσκειν* dFh Barb. Abb.

§. 114. 1) *τοιγάρτοι* abglmopr Vat. Laur., *τοιγαροῦν* cett. 2) *ἐν τοῖς δήμοις* dFqt Barb. Abb. (Bk. Di. Fr. BS. Bens.), *δημοσίαις ἤγουν δοκιμασίαις* mg. q, *δημοσίαις* cett. cf. §. 77, 3. 3) *χιλίας* Laur. 4) *δραχμ. ἔλαβε*] *ἔλαβε δραχμάς* dFhqr Barb. Abb. 5) *φυλωτάδην* dF Barb. Abb. 6) *κυδαθηναιᾶ* F Barb., *κυδαθηναῖον* hq, *κυδαθηνέα* b. 7) *ἀπελεύθερον*] h. l. spectat Harpocr. p. 31. nr. 19. 8) *ὡς αὐτὸν* l. 9) *μήτε* Br. 10) *μηδὲ* abglm Vat. Laur., *μήτε* cett. 11) *τὴν ἐξώλειαν* libri. Artic. delevit Baiter. (Fr. Bens.). cf. 3, 99. 12) *αὐτ. ἐπαρασ.*] *ἐπαρασάμενος ἑαυτῷ* dFhq Barb. Abb.

§. 115. 1) *φυλωτ.* Abb. 2) *τοῦ κηδεστοῦ* abglmoqt Laur. Ald. mg. Steph. et fort. Bern. (vid. Rsk. p.

διὰ Φιλήμονος τοῦ ὑποκριτοῦ εἴκοσι μνᾶς,[3] ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην ἀνήλωσε τὴν ἑταίραν, καὶ προῦδωκε τὸν ἀγῶνα καὶ τὸν ὅρκον ἐπιώρκησεν.

Ὅτι δ' ἀληθῆ[4] λέγω, κάλει μοι Φιλήμονα τὸν δόντα τἀργύριον Τιμάρχῳ[5] καὶ Λευκωνίδην τὸν Φιλωτάδου[6] κηδεστήν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι ταὐτίγραφα, καθ' ἃς[7] τὴν πρᾶσιν[8] ἐποιήσατο τἀγῶνος.

ΜΑΡΤΥΡΙΑΙ.[9] ΣΥΝΘΗΚΑΙ.

47. Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος[1] γεγένηται,[2] καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε, καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμ' ὡς ὑπερεώρακε,[3] σύνιστε[4] μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς ὑπομιμνήσκει[5] καὶ ὁ παρ' ἐμοῦ λόγος· δύο δέ μοι τῆς κατηγορίας εἴδη[6] λέλειπται,[7] ἐφ' οἷς ἐμαυτὸν τ' εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προῄρημαι, ὑμᾶς τε βουλοίμην ἂν[8] οἷς[9] ἐγὼ μέλλω λέγειν προσέχειν[10] τὸν νοῦν[11] καὶ παρακολουθεῖν εὐμαθῶς. ἔστι δ' ὁ μὲν πρῶτος[1] μοι[2] λόγος προδιήγησις[3] τῆς ἀπολογίας ἧς ἀκούω μέλλειν γίγνεσθαι,[4] ἵνα μὴ τοῦτ' ἐμοῦ[5] παραλιπόντος ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τὸ[6] τῆς πόλεως συμφέρον.[6] ὁ δὲ δεύτερός ἐστί μοι λόγος παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν[7] τῶν νεωτέρων προσεστηκότας[8] πρὸς τῷ

116 133

117

807 coll. p. 132). 3) μνᾶς o. 4) ἠ ἀληθῶς t. 5) τὸ ἀργ. τιμάρχῳ ablmopr Vat. Laur., τιμάρχῳ τὸ ἀργ. cum cett. Rsk. Br. Bk. Di. 6) φυλωτ. Abb., φιλοτάδου Barb. 7) καθ' ἃς] καθῶς d, καθὼς Fhpqr Barb. 8) πρᾶσιν ut coni. Wolf. abglmopr Vat. Laur. Abb. Barb., σιν πρᾶξιν Fh, πράξιν d, πρᾶξιν vulg. ante Rsk. 9) ΜΑΡΤΥΡΙΑΙ ex qr primi dederunt Rsk. Br. pro vulg. μαρτυρία, idem mei et, ut videtur, Bekkeri codd., om. in lac. p.

§. 116. 1) οἷος om. t Laur. 2) γενήσεται t. 3) παρεώρακε hq et (om. ὡς) t. 4) συνῆστε Cobet. V. LL. p. 382. (Fr.). 5) ἀπομιμνῄσκει l, ὑπομέμνηκε Cobet. l. c., ὑπέμνησε Hamaker. Mnemos. VII. p. 457. 6) ἤδη Abb., τῆς κατηγορίας εἴδη delet Hamaker. l. c. 7) λείπεται dFhq Barb. Abb. 8) ἂν dF Barb. Abb. (Bk. Di. Fr. BS. Bens.), ἀκοῦσαι o, ἂν ἀκοῦσαι abghlmopqr Vat. Laur., ἀκούοντας Rsk. de coni., ἂν [ἀκοῦσαι] Br. Glossema ortum fuerit ex §. 117 in. 9) οἷς dF Barb. Abb. (Bk. Di. BS. Fr. Bens.), ἐφ' οἷς cett. etiam Bern. 10) προσέχειν dF Barb. Abb. (Bk. Di. BS. Fr. Bens.), καὶ προσέχειν cett. 11) τὸν νοῦν] τὴν γνώμην dFhq Barb. Abb.

§. 117. 1) πρότερος bhq. 2) μοι om. t. 3) διήγησις l. 4) γενέσθαι bgmopt Vat. Laur. cf. Fr. Tim. ad h. l. 5) ἐμοῦ abghlo Vat. Laur. Barb. Abb., om. q, μου cett. 6) τὰ — συμφέροντα dFhq Barb. Abb. 7) μὲν om. t. 8) προεστηκότας

δικαστηρίῳ, πολλοὺς δὲ[9] τῶν πρεσβυτέρων,[10] οὐκ ὀλίγους δ'[11] ἐκ τῆς ἄλλης Ἑλλάδος συνειλεγμένους[12] ἐπὶ τὴν ἀκρόασιν·
118 οὓς μὴ νομίσητ'[1] ἐμὲ θεωρήσοντας[2] ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους[3] εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ[4] δύνασθε,[5] καὶ εἰ τιμᾶν 134
ἐπίστασθε[6] τοὺς ἀγαθοὺς ἄνδρας,[7] καὶ εἰ θέλετε[8] κολάζειν τοὺς ὀνείδη τὸν[9] ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. 48. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας.

119 Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης ἢ τοὺς νόμους φησὶν[1] ὑμᾶς ἐξαλείφειν δεῖν,[2] ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον. ἀποθαυμάσει[3] γὰρ, εἰ μὴ πάντες μεμνήμεθα,[4] ὅτι καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ ὀρνικὸν τέλος· καὶ τοὺς πριαμένους τὸ τέλος[5] οὐκ εἰκάζειν, ἀλλ' ἀκριβῶς εἰδέναι[6] τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε δὴ οὖν[7] τετόλμηκα ἀντιγράψασθαι[8] πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν[9] φησι τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν[10] κατηγόρου, ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ[11] Τιμάρχου
120 τοῦτ' ἐκλέξαντος τὸ τέλος. ἐγὼ δὲ πρὸς ταῦτ', ὦ Ἀθηναῖοι, σκέψασθ', ἂν ἁπλοῦν καὶ ἐλευθέριον δόξω λόγον ὑμῖν[1] λέγειν.[2] 135
αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως, εἰ Τίμαρχος, ὃς[3] τοῦ δήμου σύμβουλος καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμ' ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει,[4] ἀλλὰ τοὺς τόπους ἐπερωτήσει,[5] ὅπου ἐκαθέζετο, καὶ τοὺς τελώνας,
121 εἰ πώποτε παρ' αὐτοῦ τὸ[6] ὀρνικὸν τέλος εἰλήφασιν. ταύτης[1] μὲν οὖν[2] τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω·

abgopr. 9) μὲν or. 10) συμπρεσβυτ. l. 11) ὀλίγους δὲ] ἐλαχίστους δὲ τῶν dFhq Barb. Abb. et om. art. τῶν m. 12) ξυνειλεγμ. p Vat. Laur.

§. 118. 1) νομήσητε l, νομίζετ' dF Barb. Abb. (vulg. ante Bk.). 2) θεωρήσαντας dglmo. 3) ἑσομένους q. 4) καὶ τὰ μὴ καλὰ om. αι Abb. et pr. F. 5) δύνασθε Vat. αι 6) ἐπίσθασθε Vat. 7) τοὺς ἀγαθ. ἄνδρας abglmopr Vat. Laur., τοὺς ἄνδρ. τοὺς ἀγ. cum cett. Rsk. Br. Bk. Di. 8) θέλετε cum edd. Turicc.: Bens. 9) τῶν l.

§. 119. 1) φησὶν om. l. 2) δεῖ p. 3) ἀποθαυμάσει gmopr Vat. Laur. Bern., ἀποθαυμάζει cum cett.: edd. cf. §. 125, 1 et 2: ἤξει — λέγει. 4) μεμνήμεθα lp Vat. (BS. Fr. Bens.), ἐμεμνήμεθα agmorLaur., μέμνησθ' cett. (Rsk. Br. Bk. Di.). 5) τὸ τέλος glmopr Vat. Laur. et pr. a (Di. BS. Fr. Bens.), τὸ τέλος [τοῦτο] Bk., τὸ τέλος τοῦτο cett. 6) εἰδέναι] οἴεται ἐξετάζειν bdFhq Barb. Abb. et corr. a. 7) δὴ οὖν] ουν δὴ mor. 8) ἀντιγράψαι Abb. 9) ἀπαιτεῖ Laur. 10) ἔτιαν o. 11) ἀπαιτήσαντος παρὰ Ald. H. (vid. schol. Bern.).

§. 120. 1) ὑμῖν post ἁπλοῦν pon. dFhr Barb. Abb. (Rsk. Br.). 2) λέγειν agopr Vat. Laur., εἰπεῖν cum cett. Rsk. Br. Bk. Di. 3) ὅ om. glmp Vat. Laur. 4) ἐπιχειρήσῃ mpr, ἐπιχειρήσει o Vat., ἐπιχειρήσοι l, ἐγχειρήσει dFt Abb. 5) ἐπερωτήσῃ p Vat. Laur., Abb., ἐπερωτῆσαι l. 6) τὸ om. dFhoqr Barb. Abb.

§. 121. 1) ταῦτα bl. 2) οὖν om.

49. ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ[3] καλὸν καὶ δίκαιον,[4] ᾧ χρήσει,[5] εἰ μηδὲν αἰσχρὸν σαυτῷ[6] σύνοισθα. τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν ἃ προσήκει[7] ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν· "ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου παρ' ὑμῖν,[8] οὐκ ἀφανεῖς δὲ διατριβὰς[9] διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ' 122
ἄν, εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰτίας ἧς κρίνομαι, ταῖς ὑμετέραις[1] μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου λόγους. μὴ γὰρ ὅτι, εἰ[2] πέπρακταί μοι
136 τι[3] τούτων,[4] ἀλλ' εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰτίαις, ἀβίωτον εἶναι ἡγούμενος[5] ἐμαυτῷ[6] τὸν λοιπὸν βίον, παραδίδωμι τὴν εἰς ἐμαυτὸν[7] τιμωρίαν ἐναπολογήσασθαι[8] τῇ πόλει πρὸς τοὺς Ἕλληνας, οὐδ' ἥκω παραιτησόμενος[9] ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ δοκῶ τοιοῦτος εἶναι." αὕτη μέν ἐστιν, ὦ Τίμαρχε, ἀνδρὸς ἀγαθοῦ καὶ σώφρονος ἀπολογία[10] καὶ πεπιστευκότος τῷ[11] βίῳ καὶ καταφρονοῦντος εἰκότως[12] ἁπάσης βλασφημίας· ἃ δὲ πείθει 123
σε Δημοσθένης λέγειν,[1] οὐκ ἀνδρός ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου περὶ τῶν τόπων διαφερομένου. 50. ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων καταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμ' ἐξετάζεσθαι ἀξιῶν, ὅπου ἑκαθέζου, ἃ μέλλω λέγειν
137 ἀκούσας εἰσαῦθις οὐ χρήσει[2] τοιούτῳ λόγῳ, ἐὰν σωφρονῇς·[3] οὐ γὰρ τὰ οἰκήματ' οὐδ' αἱ οἰκήσεις[4] τὰς ἐπωνυμίας τοῖς ἐνοικήσασι[5] παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. ὅπου 124
μὲν[1] γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν.[2] ἐὰν

1 Laur. 3) λόγ. ὑποβαλῶ] ὑποβάλλω λόγον dFhq Barb. Abb., λόγον ἐπιβαλῶν l, λόγ. ὑποβαλὼν Vat. 4) καίριον l. 5) χρήσῃ libri. 6) αὐτῷ d. 7) προσήκει dFlq Barb. Abb. (BS.), προσήκει λέγει Vat., προσήκει λέγειν cum cett. Rsk. Br. Bk. Di. Fr. Bens. 8) παρ' ὑμῖν] μεθ' ὑμῶν dFhq Barb. Abb. 9) δὲ διατρ.] δ' ἑτας διατρ. q, δὲ corr. in τὰς sec. Vat., διατριβὰς om. t.

§. 122. 1) ἡμετέραις q. 2) ὅτι, εἰ] εἰ ὅτι gmopr Vat. Laur. (vulg. ante Rsk.), εἰ om. l. 3) μοι τι] τι μοι dFhq Barb. Abb. 4) τοιούτων Bern. 5) εἶναι ἡγ.] ἡγούμενος εἶναι dFhqr Barb. Abb. cf. 3, 51. 69. 100. 149 cett. 6) ἐμαυτὸν Laur. 7) εἰς ἐμαυτὸν] ἐμαυτοῦ bhq et corr. a. 8) ἐναπολογίσασθαι d. „imo ἀπολογήσασθαι". Frank. 9) παραιτησάμενος Vat., παραιτησάμενος F. 10) ἀπολογία ante ἀνδρὸς pon. dFhq Barb. Abb. 11) τῷ ἑαυτοῦ p. 12) εἰκότος Laur. Barb.

§. 123. 1) Δημ. λέγ.] λέγειν δημοσθ. dFh Barb. Abb., δημοσθένη om. q. 2) χρήσῃ libri. 3) σωφροσύνης Vat., σωφρονήσῃς p (Br.). cf. 3, 242. 4) οἰκίσεις d. 5) ἐνοικίσασι d, ἐν οἰκήμασι Laur.

§. 124. 1) μὲν om. g. 2) ὅπου — οἰκίαν Valcken. ad Ammon. p. 102

δ' εἰς ἓν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς εἰσοικίσηται,[3] *ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν ἐξοικίσηται,*[4] *εἰς δὲ ταὐτὸν*[5] *τοῦτ' ἐργαστήριον χαλκεὺς εἰσοικίσηται,*[6] 138
χαλκεῖον ἐκλήθη,[7] *ἐὰν δὲ*[8] *κναφεύς, κναφεῖον,*[9] *ἐὰν δὲ*[10] *τέκτων, τεκτονεῖον· ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι, ἀπὸ τῆς*[11] *ἐργασίας αὖθις*[12] *ἐκλήθη πορνεῖον. ὥστε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. μὴ οὖν, ὅπου ποτ' ἔπραττες, ἐρώτα, ἀλλ' ὡς τοῦτ' οὐ*[13] *πεποίηκας, ἀπολογοῦ.*

125 51. *Ἥξει δ', ὡς ἔοικε, καὶ ἕτερος*[1] *λόγος τις ὑπὸ ταὐτοῦ σοφιστοῦ*[2] *συγκείμενος. λέγει γάρ, ὡς οὐδέν ἐστιν ἀδικώτερον*[3] *φήμης, ἀγοραῖα*[4] *τεκμήρια καὶ παντελῶς ἀκόλουθα*[5] *τῷ αὐτοῦ βίῳ παρεχόμενος. πρῶτον μὲν γὰρ*[6] *τὴν ἐν Κολωνῷ συνοικίαν τὴν*[7] *Δήμωνος καλουμένην ψευδῆ φησι τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος· ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου*[8] *καλούμενον οὐκ Ἀνδοκίδου,*[8 et 9] *ἀλλ'*
126 *Αἰγηίδος φυλῆς εἶναι*[10] *ἀνάθημα. παραφέρει δ' αὐτὸν*[1] *ἐν* 139
σκώμματος[2] *μέρει, ὡς ἡδὺς ἀνὴρ*[3] *καὶ περὶ τὰς ἰδίας*[4] *διατριβὰς γελοῖος· "εἰ μὴ καὶ*[5] *ἐμὲ δεῖ,"*[6] *φησίν, "ὑπακούειν τοῖς ὄχλοις μὴ Δημοσθένην καλούμενον, ἀλλὰ Βάταλον,*[7] *ὅτι ταύτην ἐξ*[8] *ὑποκορίσματος*[9] *τιτθῆς*[10] *τὴν ἐπωνυμίαν ἔχω." εἰ δὲ Τίμαρχος ὠραῖος ἐγένετο καὶ σκώπτεται τῇ τοῦ πράγματος διαβολῇ καὶ μὴ τοῖς αὐτοῦ ἔργοις, οὐ δήπου διὰ τοῦτ' αὐτόν*
127 *φησι δεῖν συμφορᾷ*[11] *περιπεσεῖν.* 52. *ἐγὼ δέ,*[1] *ὦ Δημόσθενες, περὶ*[2] *μὲν*[3] *τῶν ἀναθημάτων καὶ τῶν οἰκιῶν καὶ τῶν*[4]

pro interpolatis habet. 3) *εἰσοικίσηται*, ut in q Vat. est, coni. Stephanus (edd.), *εἰσοικήσεται* o, *εἰσοικήσηται* cett. codd., *οἰκήσηται* Ald. Steph. 4) *ἐξοικίσηται* coni. Steph. (edd.) *ἐξοικήσηται* libri. 5) *τὸ αὐτοῖς* l. 6) *εἰσοικίσηται* de coni Steph.: edd., *εἰσοικήσηται* libri. 7) *ἐκλήθη*] *ἐκλήθη καὶ ἀπ' αὐτοῦ ἐλέχθη ἀνδοκίδου ἑρμῆς* p Vat. 8) *δὲ* om. h. 9) *κναφεὺς, κναφεῖον* abglmop Vat. Laur., *κναφεῖον* etiam r habet, *γναφεύς, γναφεῖον* cum cett. Rsk. Bk. 10) *δὲ* om. h. 11) *τῆς*] *γρ. αὐτῆς* mg. q. 12) *αὖθις* de coni. BS., *αυτῆς* agmo Vat. Laur. Idem mg. t, *αὐτῶν* lp, *ταύτης* b, *αὐτῆς εὐθὺς* r Bern., *εὐθὺς* cett. 13) *τοῦτ' οὐ*] *οὐ τοῦτο* lmp, *τοῦτο* gor Vat. Laur.

§. 125. 1) *ἄλλος* q et om. v. *λόγος* t. 2) *σοφιστοῦ* om. b. 3) *ἐστιν ἀδ.*] *ἀδικ. ἐστι* l. 4) *ἀγόραια* or. 5) *ἀνακόλουθα* glmopr, *ἐνακόλουθα* Vat. Laur. Bern. 6) *γὰρ* om. lmp Vat. Laur. 7) *τοῦ* p. 8) *ἀνδροκίδου — ἀνδροκ.* Barb. Abb. 9) *καλούμενον — Ἀνδοκίδου* om. pr. Laur., *οὐκ* om. o. Citat h. l. Harpocr. p. 19. 10) *εἶναι* om. t.

§. 126. 1) *αὐτὸν* Rsk. primus ex r, *αὐτὸν* cett. 2) *κόμματος*? Vat. 3) *ἀνὴρ* cum Dobreeo BS. 4) *ἰδίας* om. l. 5) *καὶ* om. l. 6) *δὴ* Vat. 7) *βάτταλον* lp, *καὶ βάταλον* b. 8) *ἐν* hq. 9) *τινος* post *ὑποκορίσματος* add. Fhq Barb. Abb. 10) *τιτθῆς* Vat. Laur., *τίτθης* cett. 11) *συμφορὰν* p, *συμφοραῖς* Abb.

§. 127. 1. *μὲν* Laur. 2) *περὶ* om. o. 3) *μὲν* om. Barb. 4) *περὶ* ante

κτημάτων καὶ πάντων ὅλως[5] τῶν ἀφώνων πολλοὺς καὶ παντοδαποὺς καὶ οὐδέποτε[6] τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους· οὐ γάρ εἰσιν ἐν αὐτοῖς[7] οὔτε καλαὶ οὔτ' αἰσχραὶ πράξεις, ἀλλ' ὁ προσαψάμενος[8] αὐτῶν καὶ παρατυχών[9], ὅστις ἂν ᾖ, κατὰ τὸ
140 μέγεθος τῆς αὐτοῦ[10] δόξης λόγον παρέχει· περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ τὰς πράξεις[11] ἀψευδής[12] τις[13] ἀπὸ[14] ταὐτομάτου πλανᾶται[15] φήμη κατὰ τὴν πόλιν, καὶ διαγγέλλει τοῖς πολλοῖς τὰς ἰδίας πράξεις, πολλὰ δὲ καὶ μαντεύεται περὶ τῶν μελλόντων ἔσεσθαι. καὶ οὕτως[1] ἐναργές ἐστι καὶ οὐ πεπλα- 128
σμένον[2] ὃ λέγω,[3] ὥσθ' εὑρήσετε[4] καὶ τοὺς προγόνους[5] φήμης
141 ὡς θεοῦ[6] μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα[7] πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι· "φήμη δ' εἰς στρατὸν ἦλθε[8]," καὶ πάλιν τὸν Εὐριπίδην, ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖοί[9] τινες ἂν τυγχάνωσιν[10] ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ,

φήμη τὸν ἐσθλὸν κἂν[11] μυχῷ[12] δείκνυσι γῆς.

ὁ δ' Ἡσίοδος καὶ διαρρήδην[1] θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ 129
σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι· λέγει[2] γάρ,

φήμη δ' οὔτις[3] πάμπαν ἀπόλλυται,[4] ἥντινα πολλοὶ
λαοὶ[5] φημίξωσι·[6] θεός νύ τίς ἐστι[7] καὶ αὐτή.

καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιωκότας εὑρήσετ' ἐπαινέτας ὄντας· πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι

τῶν add. dFhl Vat. Barb. Abb. 5) πάντων ὅλ.] ὅλως πάντων l. 6) οὔποτε hq. 7) αὐταῖς vulg. ante Rsk. 8) προσγραψάμενος q. 9) περιτυχών Hamaker. Mnem. VII. p. 457. 10) αὐτοῦ o Vat. Barb., αὐτῆς b. 11) καὶ τὰς πράξεις Scheibio editoribusque Turicc. auctoribus: Fr. Bens., καὶ λόγον καὶ τὰς πράξεις dFhq Barb. Abb. (Rsk.), καὶ τὰς πράξεις καὶ τὸν λόγον l, καὶ τὸν λόγον καὶ τὰς πράξεις cett. (Br. Bk. Di.). 12) καὶ ἀψευδὴς dFhq Barb. Abb. (vulg. ante Br.). 13) τι o. 14) ἐπὶ mor Vat., περὶ l. 15) περιέρχεται sec. Laur.

§. 128. 1) ὄντως l. 2) πεπλανημένον h. 3) ἐγὼ λέγω l. 4) εὑρίσετε Vat., εὑρήσεται Laur. 5) καὶ τοὺς προγόνους de coni., καὶ τὴν ἡμῶν πόλιν (ὑμῶν Vat., ὑμῶν bdgmor, om. Abb.) καὶ τοὺς προγόνους libri, κἀν τῇ πόλει ἡμῶν τοὺς προγόνους Hamaker. l. c. Frankio Aesch. neque vv. καὶ τοὺς προγόνους addidisse et ἱδρυμένην scripsisse videtur. 6) Θεῶν g. 7) λέγοντα om. t. 8) ἦκε l. 9) οἱ ποῖοί l. 10) τυγχάνωσι o, τύχωσιν ὄντες q. Pro ἂν — ὄντες dat p εἰσιν. 11) κἂν o (Di.). 12) μυχοῖς Suid. s. v. φήμη.

§. 129. 1) καὶ διαρρήδην om. p, καὶ ἀρρήδην Laur. 2) λέγεται dF Barb. Abb. 3) οὔτι d. 4) ἀπόλυται o. 5) πολλοὶ λαοὶ abglmpr Vat. Laur. et codd. Hesiod. ε. 763, λαοὶ πολλοὶ cum cett. et codd. Dem. 19,243, Aristot. Mor. ad Nicom. 7, 13. 5, Dion. Chrys. orr. 37 extr.: BS. Fr. Bens. (quem ordinem defendit Mützell. in ephem. liter. Halens. 1833. 204 p. 410). 6) φημίξωσι Fh Barb. (BS. Fr. Bens.), φημίξουσι amop, φημίζωσι dlq (Bk. Di.), φημίζουσι cett. (Rsk. Br.). 7) ἐστι om. t. 8) ἐπαινετὰς

παρὰ τῆς φήμης[9] ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι.[10] οἷς δ' αἰσχρός[11] ἐστιν ὁ βίος, οὐ τιμῶσι τὴν θεὸν ταύτην· κατήγο-
130 ρον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται.[12] 53. ἀναμνήσθητ' οὖν,[1] ὦ ἄνδρες, τίνι κέχρησθε[2] φήμῃ περὶ Τιμάρχου. οὐχ ἅμα 142
τοὔνομα λέγεται[3] καὶ τὸ ἐρώτημ' εὐθὺς[4] ἐρωτᾶτε·[5] "ποῖος Τίμαρχος; ὁ πόρνος;" ἔπειτ' εἰ μὲν μάρτυρας παρειχόμην περί τινος, ἐπιστεύετ' ἄν μοι· εἰ δὲ τὴν θεὸν μάρτυρα παρ-
131 έχομαι, οὐ πιστεύετε;[6] ἢ[7] οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι.[8] ἐπεὶ καὶ περὶ τῆς Δημοσθένους ἐπωνυμίας,[1] οὐ κακῶς ὑπὸ[2] τῆς φήμης, ἀλλ' οὐχ[3] ὑπὸ τῆς τιτθῆς[4] ὁ[5] Βάταλος προσαγορεύεται, ἐξ ἀνανδρίας[6] καὶ κιναιδίας[7] ἐνεγκάμε-
143 νος τοὔνομα. εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια[8] περι-
ελόμενος καὶ τοὺς μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς κατὰ τῶν[9] φίλων λόγους γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, οἶμαι[10] ἂν αὐτούς,[11] εἴ τις[12] μὴ προειπὼν τοῦτο ποιήσειεν,[13] ἀπορῆσαι, εἴτ' ἀνδρὸς εἴτε γυναικὸς εἰλήφασιν ἐσθῆτα.

132 54. Ἀναβήσεται[1] δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν[2] στρατηγῶν[3] τις, ὡς[4] ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτόν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τἀγῶνος, οὐ κρίσιν ἐξευρηκέναι 144
με φάσκων,[5] ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχήν, παραφέρων[6] πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους,[7] Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλλήλους πίστιν καὶ τὸ πρᾶγμ'
133 ὡς συνήνεγκε τῇ πόλει[8] διεξιών· οὐκ[1] ἀφέξεται δ', ὥς φασιν,[2]

Ald. 9) φήμης de coni. Hamaker. l. c., ἀγαθῆς φήμης libri. 10) κομίσασθαι b. 11) αἰσχρῶς Barb. 12) ἡγοῦνται ante ἔχειν pon. Laur.

§. 130. 1) ἀθάνατον — οὖν om. t. οὖν om. l, γοῦν dat d. 2) χρήσεσθε q. 3) λέγει Abb., λέγετε Laur., λέγεται om. t. 4) αὐτοῖς Laur., ἐρώτημα εὐθὺς om. Barb., εὐθὺς om. dFt Abb. 5) ἐρωτᾶτε om. p Vat., ἐρωτᾶται d (Rsk. de coni.). 6) πιστεύσετε dF Barb. (Rsk. Br. Bk. Di.). 7) ἢ om. Laur, ἦν vulg. ante Rsk. cf. §. 85. 8) ἐπισκήψασθαι dFh Barb. Abb. et Bachmann. Anecdd. 1 p. 231, 34 (edd.), ἐπισκέψασθαι b, ἐπισκήψασθε q, ἐπισκήψαισθε γρ. h, σκήψασθαι (om. ἐστὶν) t, ἐπισκῆψαι cett. (vulg. ante Rsk.).

§. 131. 1) περὶ — ἐπωνυμίας uncis inclusit Rsk. 2) ἀπὸ Vat. 3) οὐχὶ Vat., οὐχ om. hq Abb. 4) τιτθῆς Vat., τίτθης cett. 5) ὁ om. dFhq Barb. Abb. (Bk. Di.). 6) ἀνδρίας lq et pr. m, ἀνδρίας τινὸς dFr Barb. Abb. (vulg. ante Bk.). 7) κιναιδίας Foqt Barb. Abb. (BS. Fr. Bens.), κιναιδείας cett. 8) χλανίσκια] γρ. χλανίσκια. γρ. χλανισκίδια. γρ. χλανίδια Taylor. in schedis non indicatis auctoribus. 9) τῶν om. l. 10) οἶμαι vulg. ante Bk. 11) αὐτὸν (excidit apud Bk. codicis nota). 12) εἴ τις] εἴτε F Abb. 13) πλήσειεν l.

§. 132. 1) ἀναβήσετε Laur. 2) τῶν om. h. 3) στρατηγικῶν Abb. 4) ὡς om. Laur. 5) λέγων hq. 6) περιφέρων Abb., παραφέρειν Wolf. et Taylor. 7) ἡμετέρους h. 8) τῇ πόλει om. p Vat.

§. 133. 1) ὡς οὐκ mo. 2) φασὶν

οὐδὲ τῶν Ὁμήρου ποιημάτων οὐδὲ τῶν ὀνομάτων τῶν[3] ἡρωικῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι[4] φιλίαν δι' ἔρωτα[5] Πατρόκλου καὶ Ἀχιλλέως ὑμνήσει,[6] καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν τύχῃ σωφροσύνης, ἐγκωμιά-
145 σεται.[7] εἰ γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν ταύτην τινὲς διαβάλλοντες συμφορὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ κοινῇ ψηφιεῖσθαί φησιν[8] ὑμᾶς καὶ[9] ἰδίᾳ εὔχεσθαι·[10] ἄτοπον 134
γὰρ εἶναι δοκεῖν αὐτῷ,[1] εἰ τοὺς μὲν υἱεῖς[2] τοὺς μηδέπω[3] γεγονότας ἅπαντες εὔχεσθ' οἱ μέλλοντες[4] παιδοποιεῖσθαι[5] καλοὺς[6] κἀγαθοὺς τὰς ἰδέας[7] φῦναι[8] καὶ τῆς πόλεως ἀξίους, τοὺς δ' ἤδη γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν,[9] ἐὰν κάλλει καὶ ὥρᾳ[10] διενεγκόντες ἐκπλήξωσί τινας καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς ἔοικεν, Αἰσχίνῃ[11] πεισθέντες[12] ἀτιμώσετε.[13] 55. κἀνταῦθα δή τινα καταδρο- 135
μήν, ὡς ἀκούω, μέλλει ποιεῖσθαι περὶ ἐμοῦ,[1] ἐπερωτῶν, εἰ οὐκ αἰσχύνομαι[2] αὐτὸς μὲν ἐν τοῖς[3] γυμνασίοις ὀχληρὸς ὢν καὶ πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμ' εἰς ὄνειδος καὶ κινδύνους καθιστάς. καὶ τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσί τινές μοι,[4] εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος[5] ὑμᾶς,[6]
146 ἐπιδείξεσθαί[7] μου[8] φησὶν[9] ὅσα πεποίηκα[10] ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν καὶ πληγῶν τινων[11] ἐκ τοῦ πράγμα-

o. 3) τῶν om. t. 4) λεγομ. γενέσθαι] γενομένην or, γενομένην γενέσθαι p. 5) ἔρωτας hq. 6) ὑμνήσει om. g. 7) ἐγκωμιάσεται glp Vat. Laur., . . . ἐγκωμιάσεται b, νῦν ἐγκωμιάσεται (ἐγκωμιάζεται t) cett. 8) κοινῇ ψηφιεῖσθαί φησιν ab (BS. Fr. Bens.), φησὶ κοινῇ ψηφιεῖσθαι dF Barb. Abb., φησὶ κοινῇ ψηφιεῖσθαι φήσουσιν p, κοινῇ ψηφιεῖσθαι (ψηφιεῖσθε Laur.) φήσουσιν ghlm Vat. Laur. (vulg. ante Bk.), φήσει κοινῇ ψηφιεῖσθαι de Bekkeri coni.: Bk. Di. cf. §§. 119. 125. 126. 135 cett. 9) ἃ καὶ glmopr Vat. Laur. (vulg. ante Bk.). 10) εὔχεσθε p Bern. idque auctore Wolfio Taylor. et Br. dederunt.

§. 134. 1) δοκεῖν αὐτῷ cum edd. Turicc.: Fr. Bens., δοκεῖ αὐτῷ abghlmopqr Vat. Laur., ὡς δοκεῖ ἑαυτῷ Barb., ὡς δοκεῖν ἑαυτῶν Abb., ὡς δοκεῖν ἑαυτῷ commate post εἶναι posito cett. (Rsk. Br. Bk. Di.). 2) υἱεῖς αὐτοὺς dF Barb. Abb. 3) μήπω r, δὲ μήπω mo, δὲ μὴ t. 4) γεγονότας — μέλλοντες om. t. 5) παιδοποιῆσειν gm, παιδοποιήσειν or, ποιεῖσθαι t. 6) τοὺς καλοὺς or, καλούς τε g, καλοὺς δὲ Laur. 7) εἰδέας Vat. Laur., εἴδεας o. 8) φᾶναι r, φάναι o, φανῆναι p, quod etiam videtur in r fuisse. cf. Bremi. p. 285. 9) τὴν πόλιν] τοὺς τρόπους l. 10) καὶ ὥρᾳ post διενεγκόντες pon. p (Br.). 11) αἰσχύνῃ d. 12) πεισθέντας m Laur. 13) ἀτιμώσατε Laur. „ἀτιμώσετε o videtur in ἀτιμάσετε mutare voluisse". Bloch.

§. 135. 1) ποιεῖσθαι περὶ ἐμοῦ abglmopr Vat. Laur., περὶ ἐμοῦ ποιεῖσθαι cett. 2) αἰσχύνεσθαι l. 3) μὲν ἐν τοῖς om. t. 4) τινές μοι] μοί τινες p. 5) προτρεπομένους o Laur. 6) ἡμᾶς t. 7) ἐπιδείξεσθαι de coni. Wolf.: edd., ἐπιδείξασθε Vat., ἐπιδείξασθαι cett. 8) μου om. t. 9) φήσει hic et infra malebat Wolf. 10) πεποίηκεν F Barb. Abb. 11) καὶ πληγῶν τινῶν abglmopr Vat. Laur., τινῶν καὶ πληγῶν cum cett.

τος, αἳ περὶ ἐμὲ γεγένηνται,[12] μαρτυρίας[13] φησὶ παρέξεσθαι.
136 ἐγὼ δ' οὔτ' ἔρωτα[1] δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ'[2] αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς[3] καὶ ἔτι καὶ[4] νῦν εἶναι, τάς[5] τ' ἐκ τοῦ πράγματος γιγνομένας πρὸς ἑτέρους[6] φιλονεικίας[7] καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ[8] συμβεβηκέναι[9] μοι. περὶ δὲ τῶν ποιημάτων ὧν φασιν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δ' ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον, ὃν οὗτοι διαφθείροντες[10]
137 παρέξονται.[11] 56. ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου πάθος[1] καὶ εὐγνώμονος ψυχῆς, τὸ δ' ἀσελγαίνειν ἀργυρίου τινὰ[2] μισθούμενον ὑβριστοῦ καὶ 147
ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι·[3] καὶ τὸ μὲν ἀδιαφθόρως[4] ἐρᾶσθαί φημι καλὸν εἶναι, τὸ δ' ἐπαρθέντα μισθῷ πεπορνεῦσθαι αἰσχρόν. ὅσον δ' ἑκάτερον τούτων[5] ἀπ' ἀλλήλων διέστηκε[6] καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἐφεξῆς ὑμᾶς
138 πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πατέρες ἡμῶν,[1] ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων[2] ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντ'[3] εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. "δοῦλον", φησὶν ὁ νόμος, "μὴ γυμνάζεσθαι μηδὲ ξηραλοιφεῖν[4] ἐν ταῖς παλαίστραις."[5]" καὶ οὐκέτι προσέγραψε· "τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ[6] γυμνάζεσθαι." ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ[7] ἐκ τῶν γυμνασίων κατιδόντες ἀπεῖπον τοῖς δούλοις μὴ[8] μετέχειν,[9] τούτῳ αὐτῷ[10] ἡγοῦντο, ᾧ ἐκείνους[11] ἐκώλυον, τοὺς ἐλευθέρους
139 προτρέπειν[12] ἐπὶ[13] τὰ γυμνάσια. 57. πάλιν ὁ[1] αὐτὸς οὗτος[2]

Rsk. Br. Bk. Di. 12) *γεγένηται* Laur. 13) *μαρτυρίαν* h.

§. 136. 1) *ἔρωτα* om. pr. Laur. 2) *ὅτε* Vat. 3) *μὴ οὐ γεγ. ἐρ.*] *μὴ ἐρ. γεγ.* l. 4) *καὶ* om. gmor (Di.). 5) *τοὺς* Laur. 6) *ἑταίρους* r, et, ut videtur, o (Rsk. Br.). 7) *φιλονικίας* Cobet. N. LL. p. 691 sq. cf. Frank. Lectt. Aesch. p. 469 sqq. 8) *οὐχὶ* om. dFh Barb. Abb. 9) *γεγενῆσθαι* dFt Barb. Abb. et, qui vulgatam inter lineas habet, q. 10) *διαφθείραντες* de Reiskii coni: Br. 11) *παρέξονται* abghlmopq Vat. Laur., *παρέχονται* cett.

§. 137. 1) *πάθος*, quod Rsk. primus de coni. Marklandi dedit, ad Fl Vat. Abb., *πάθους* vulg. ante Rsk. 2) *τινὰς* dFhq Barb. Abb. 3) *εἶναι ἡγ.*] *ἡγοῦμαι εἶναι* Abb., *ἡγοῦμαι* om. et *εἶναι* ante *ἔργον* pon. Hermias ad Phaedrum p. 78 Astii. 4) *ἀδιαφόρως* l Abb. 5) *τούτων* om. t. 6) *ἀπ' ἀλλ. διέστ.*] *διέστηκεν ἀπ' ἀλλήλων* Laur.

§. 138. 1) *ὑμῶν* dl Laur. 2) Quae vv. vulg. addunt post *ἀναγκαίων*: *κακῶν καὶ ἀγαθῶν* cum dFt Barb. Abb. (q habet in mg.) delent Scheibius (Jahni Ann. 35 p. 139) et Hamaker l. c. 3) *ἡγοῦνται* gm. 4) *ξηραλειφεῖν* q, *ξυναλοιφεῖν* Barb. 5) *παλέστραις* Barb. 6) *ἀλείφεσθαι καὶ*] *μὴ* d. 7) *καὶ τὸ* Laur. 8) *μὴ* om. F. 9) *ἔχειν* l. 10) *τούτῳ αὐτῷ* cum Baitero: BS. Fr. Bens., *τούτῳ αὐτῷ λόγῳ* abglm Vat. Laur., *τούτῳ αὐτῷ νόμῳ* r, *τῷ αὐτῷ τούτῳ λόγῳ* p, *τῷ αὐτῷ νόμῳ* cum cett : Rsk. Br. Bk. Di. 11) *ἐκείνους* p. 12) *ἐπιτρέπειν* abglmopr Vat. Laur. 13) *ἐπὶ* om. pt Vat. Laur.

§. 139. 1) *δ'* t. *δ'* *ὁ* dFq Barb. Abb. 2) *οὗτος* om. p. Vat. cf. §§. 188 et

εἶπε[3] νομοθέτης· "δοῦλον ἐλευθέρου παιδὸς μήτ'[4] ἐρᾶν μήτ'[5] ἐπακολουθεῖν,[6] ἢ τύπτεσθαι τῇ δημοσίᾳ μάστιγι πεντήκοντα
148 πληγάς." ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν καὶ ὁμιλεῖν[7] καὶ ἀκολουθεῖν, οὐδὲ βλάβην τῷ παιδί, ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ' οἶμαι καὶ ἀδυνάτου ἔτ' ὄντος[8] κρῖναι τὸν ὄντως[9] εὖνουν καὶ μή, τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς τῆς[10] φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν[11] ἡλικίαν ἀναβάλλεται· τὸ δ' ἐπακολουθεῖν καὶ ἐφορᾶν φρουρὰν καὶ φυλακὴν σωφροσύνης[12] ἡγήσατ' εἶναι μείζονα.[13] τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας, ταῖς 140
δ' ἀρεταῖς ὑπερενηνοχότας,[1] Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὃ[2] σώφρων καὶ ἔννομος, εἴτ' ἔρωτ'[3] εἴτε τρόπον αὐτὸν[4] χρὴ προσειπεῖν, τοιούτους[5] ἐπαίδευσεν, ὥστε[6] τοὺς ἐπαινοῦντας τἀκείνων ἔργα καταδεεστέρους[7] δοκεῖν[8] εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις[9] πεπραγμένων.

Ἐπειδὴ δ' Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε καὶ Ὁμή- 141
ρου καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν δικαστῶν ἀνηκόων παιδείας ὄντων,[1] ὑμεῖς δ' εὐσχήμονές τινες[2] προσποιεῖσθ'[3] εἶναι[4] καὶ περιφρονοῦντες[5] ἱστορίᾳ τὸν δῆμον, ἵν' εἰδῆτε, ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν,[6] λέξομέν τι[7] περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι
149 καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατ' ἀποβλέψαντες, ὦ Ἀθηναῖοι, εἰς τοὺς ὁμολογουμένως[8] ἀγαθοὺς καὶ χρηστοὺς ποιητάς, ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώφρονας καὶ τῶν ὁμοίων ἐρῶντας καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ καὶ ὑβριστάς.[9] 58. λέξω δὲ πρῶτον μὲν περὶ 142

3, 55 cett. 3) εἶπεν ὁ q. 4) μήτ' abglmopr Vat. Laur. Abb., μὴ cett. 5) μηδ' Fh Barb. 6) ἐπιθυμεῖν Laur. 7) ὁμολογεῖν Abb. 8) ὄντως Barb. 9) οὕτως lt, ὄντος Vat. Laur. 10) τῆς om. h. 11) καὶ πρεσβυτέρ. delet Cobet. N. LL. p. 90. 12) σωφροσύνην q, καὶ σωφροσύνην h. 13) μείζονα Abb., μείζονα ante εἶναι pon. l.

§. 140. 1) ἐπενηνοχότας l, ὑπενηνοχ. Abb., ὑπερανηνοχ. Laur. 2) καὶ Vat. 3) εἴτε ἔρωτα post προσειπεῖν ponit p. 4) αὐτὸν om. dF Barb. Abb. 5) τοιούτοις Laur., τούτους l. 6) ὥστε t. 7) καταδεέστερος l. 8) δοκεῖ lr Vat. Laur. 9) τῶν ἐκείνοις om. pr. Laur.

§. 141. 1) τῶν μὲν — ὄντων] παιδείας ἀνηκόων δικαστῶν mor, ἀνηκόων παιδείας δικαστῶν l. 2) τινες om. Abb. 3) προσποιεῖσθαι o Vat. 4) προσποιεῖσθε εἶναι delet Cobet. in N. LL. p. 238 sq. 5) περιφρονοῦντας l, ὑπερφρονοῦντες dFhq Barb. Abb. 6) ἐμάθομέν τι Laur. 7) τι de coni., τι καὶ Hamak. l. c. VII, 458., τι καὶ ἡμεῖς libri. 8) ὁμολογουμένως abFhlmoq Vat. Laur. Abb. et rc. r, ὁμολογουμένους cett. (vulg. ante Rsk.). 9) ὑβριστὰς coni. Frank., τοὺς ὑβριστὰς libri.

Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν.[1]

Ἐκεῖνος γὰρ πολλαχοῦ[2] μεμνημένος[3] περὶ Πατρόκλου καὶ Ἀχιλλέως τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας ἀποκρύπτεται,[4] ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς κατα-
143 φανεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν ἀκροατῶν. λέγει γάρ που Ἀχιλλεὺς[1] ὀδυρόμενος τὸν τοῦ Πατρόκλου θάνατον, ὡς[2] ἓν[3] τι τοῦτο[4] τῶν λυπηροτάτων ἀναμιμνησκόμενος, ὅτι τὴν 150
ὑπόσχεσιν τὴν[5] πρὸς τὸν πατέρα τὸν[6] Πατρόκλου, τὸν[7] Μενοίτιον, ἄκων ἐψεύσατο· ἐπαγγείλασθαι γὰρ αὐτὸν[8] εἰς Ὀποῦντα σῶν[9] ἀπάξειν,[10] εἰ συμπέμψειεν[11] αὐτὸν[12] εἰς τὴν Τροίαν καὶ παρακατάθοιθ'[13] αὐτῷ.[14] ᾧ καταφανὴς[15] ἐστιν, ὡς δι'
144 ἔρωτα τὴν[16] ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. ἔστι γὰρ[1] τὰ ἔπη, ἃ ἐγὼ νῦν ὑμῖν μέλλω[2] λέγειν[3]·

ὦ πόποι, ἦ ῥ'[4] ἄλιον ἔπος ἔκβαλον ἦματι κείνῳ
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν.[5]
φῆν[6] δέ οἱ εἰς[7] Ὀπόεντα περικλυτὸν[8] υἱὸν ἀπάξειν,
Ἴλιον[9] ἐκπέρσαντα λαχόντα τε[10] ληίδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι[11] νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται[12] ὁμοίην γαῖαν ἐρεῦσαι.[13]

145 59. οὐ τοίνυν ἐνταῦθα μόνον[1] σχετλιάζων φαίνεται, ἀλλ' οὕτως αὐτὸν ἰσχυρῶς[2] ἐπένθησεν, ὥστε[3] παρὰ Θέτιδος τῆς

§. 142. 1) τάττομαι t. 2) πολλὰ dFhq Barb. Abb. 3) κεκτημένος h. 4) ἀποκρύπτεται abhlp Vat. Laur., ἀποκέκρυπται dFt Barb. Abb., ὑποκρύπτεται cett.

§. 143. 1) που Ἀ.] ἀχιλλεύς που Laur., που ὁ ἀχιλλεὺς p, που om. Di. 2) καὶ l. 3) ἓν o. 4) τοῦτον r, τοῦτου o, τούτων l. 5) τὸν Laur. 6) τοῦ dhp Vat. Laur. 7) τὸν om. dF Barb. Abb. 8) αὐτὸν om. dFt Barb. Abb. 9) σῶν opq et Bekkeri codd. praeter d et mei, σῶον vulg. ante Bk. 10) ἀπάξειν dFhq Barb. Abb. (BS. Bens.), ἀπάξειν τὸν πάτροκλον· ἦν γὰρ ὀπούντιος cett. 11) συμπέμψειαν Laur. 12) αὐτῷ abFghlmopqr Vat. Laur. Barb. Abb. 13) παρακαταθεῖτο b et corr. a (Bk. Di. BS. Bens. et Fr. ed. I.), παρακάθοιτο Laur. cf. Voemel. prolegg. Dem. §. 62. 14) αὐτῷ Bekker., αὐτῷ vulg. 15) καταφερὴς Laur. 16) τὴν om. r.

§. 144. 1) ἔστι γὰρ] ἐστὶ γὰρ p Vat., ἐστὶ δὲ o, ἔστι δὲ cett. cf. §. 129, 2. 2) νῦν ὑμῖν μέλλω abgmo Laur. (BS. Fr. Bens.), νῦν ὑμῖν p Vat., νῦν μέλλω ὑμῖν l, νυνὶ μέλλω cum cett. Rsk. Br. Bk. Di. 3) λέγω p. 4) ῥ' om. t Vat. 5) μεγάροισι vulg. ante Bk. 6) φῆ l. 7) ὡς h Laur. 8) Ὀπ. περίκλ.] ὀπώεντα περικλυτὸν o. 9) ἦλιον o. 10) τῆς l. 11) ἀνδρᾶσι l. 12) πέπρακται l. 13) ἐρεῦσαι Hom. Il. Σ, 329 (cf. Appoll. lex. p. 297 Toll.), ἐρεῦσαι Laur., ἐρεύθην t., ἐρέθειν o, ἐρευθεινσαι q, ἐρεύθειν cett. (edd.).

§. 145. 1) ἐνταῦθα μόν.] μόνον ἐνταῦθα l, ἐνταῦθα Laur. 2) αὐτ. ἰσχυρῶς] ἰσχυρῶς αὐτὸν d, ἰσχυρῶς om. Laur. 3) ὅτι corr.

151 αὐτοῦ[4] μητρὸς προακούσας, ὅτι μὴ[5] μετελθὼν μὲν τοὺς ἐχθρούς, ἀλλ' ἐάσας[6] ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θάνατον, ἐπανελθὼν οἴκαδε γηραιὸς ἐν τῇ αὑτοῦ[7] πατρίδι ἀποθανεῖται, τιμωρησάμενος δὲ διὰ ταχέων μέλλοι[8] τὸν βίον τελευτᾶν, εἵλετο[9] τὴν τοῦ τεθνεῶτος πίστιν[10] μᾶλλον ἢ τὴν σωτηρίαν. οὕτω[11] δὲ μεγαλοψύχως ἠπείγετο[12] τὸν φονέα τὸν ἐκείνου τιμωρήσασθαι ὥστε πάντων αὐτὸν[13] παραμυθουμένων καὶ κελευόντων λούσασθαι καὶ σῖτον[14] προσενέγκασθαι ἀπόμυυσι μηδὲν[15] τούτων πράξειν, πρὶν ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐπὶ τὸν τοῦ Πατρόκλου τάφον ἐνέγκῃ.[16] καθεύδοντος δ' αὐτοῦ 146 ἐπὶ τῇ πυρᾷ, ὥς φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται Πατρόκλου,[1] καὶ τοιούτων[2] ἐπεμνήσθη καὶ τοιαῦτ' ἐπέσκηψε[3] τῷ Ἀχιλλεῖ, ἐφ' οἷς καὶ δακρῦσαι καὶ ξηλῶσαι τὴν ἀρετὴν καὶ τὴν φιλίαν ἄξιον αὐτῶν ἐστιν. ἐπισκήπτει[4] μὲν[5] γὰρ αὐτῷ, προειπών,[6] ὅτι οὐδ' ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου τελευτῆς, εἴ πως εἴη δυνατόν, προδιοικήσασθαι, ὅπως[7] τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν ταὐτῷ, οὕτω καὶ τελευτησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ αὐτῇ σορῷ κείσεται· ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς διεξιών,[1] ἃς μετ' 147
152 ἀλλήλων ζῶντες διέτριβον, λέγει, ὅτι "οὐκέτι περὶ τῶν μεγίστων, ὥσπερ τὸ πρότερον, καθεζόμενοι μετ' ἀλλήλων μόνοι ἄποθεν[2] τῶν ἄλλων φίλων βουλευσόμεθα,[3]" τὴν πίστιν οἶμαι καὶ τὴν εὔνοιαν ποθεινοτάτην εἶναι ἡγούμενος.[4]

Ἵνα δὲ καὶ[5] διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὰ ἔπη τὰ περὶ τούτων,[6] ἃ Ὅμηρος[7] πεποίηκε.[8] 60. λέγε πρῶτον τὰ[1] περὶ 148
τῆς[2] Ἕκτορος τιμωρίας.

Vat. 4) αὐτοῦ Bk., αὐτοῦ vulg. 5) μὴ om. p Vat. 6) ἔασας Vat. 7) αὐτοῦ o Vat. Barb. 8) μέλλει gl Laur. (Rsk. Br. Bk. Di.). 9) ἕλετο Laur. 10) πληροφορίαν pro scholio mg. q. 11) οὕτω op Vat. Laur., οὕτως vulg. ante Rsk. 12) ὑπείγε vel ὑπείγη l. 13) αὐτῶν Laur. ον
14) σῖτα Laur. 15) μηδὲν ab, μηδὲν ἂν cett. 16) ἐνέγκοι hl et rc. q.

§. 146. 1) τοῦ πατρόκλου dFh Barb. Abb., τὸ πατρόκλου q (Rsk. τοιούτων
Br. BS.). 2) τούτων Laur. 3) ἐπέσκεψε Abb. 4) ἐπισκήπτω Laur. 5) μὲν om. Laur. 6) προσειπὼν Laur. 7) ὅπως om. l.

§. 147. 1) διεξελθὼν hq. 2) ἄπωθεν b Laur. (Fr. Bens.); cf. §. 99 ann. 1. 3) βουλευόμεθα abghp, βουλόμεθα Laur. 4) εἶναι ἡγούμ. p. Vat., ἡγούμ. εἶναι cett. cf. §§. 122 ann. 5. 5) καὶ om. Abb. 6) τούτου Laur. 7) ὁ ὅμηρος Abb. 8) ἐποίησε p Vat.

§. 148. 1) τὰ om. l. 2) τῆς τοῦ

ἀλλ'[3] ἐπεὶ οὖν, φίλ' ἑταῖρε,[4] σεῦ ὕστερος εἶμ'[5] ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ,[6] πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι[7]
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο[8] φονῆος.

149 Ἀναγίγνωσκε δή,[1] ἃ[2] περὶ τοῦ[3] ὁμοτάφους[4] αὐτοὺς γενέσθαι[5]
λέγει[6] ἐν τῷ ὕπνῳ ὁ[7] Πάτροκλος, καὶ περὶ τῶν διατριβῶν,
ἃς συνδιέτριβον[8] ἀλλήλοις.

οὐ γὰρ ἔτι[9] ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑξόμενοι[10] βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν Κήρ[11] 153
ἀμφέχανε[12] στυγερή, ἥπερ λάχε γιγνόμενόν[13] περ[14]·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,[15]
τείχει[16] ὕπο[17] Τρώων εὐηγενέων[18] ἀπολέσθαι,
μαρνάμενον δηίοις[19] Ἑλένης ἕνεκ' ἠυκόμοιο.[20]
ἄλλο δέ τοι[21] ἐρέω, σὺ[22] δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·[23]
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι[24] ὀστέ',[25] Ἀχιλλεῦ,
ἀλλ' ἵνα πέρ σε[26] καὶ αὐτὸν ὁμοίη γαῖα[27] κεκεύθῃ,[28]
χρυσέῳ ἐν ἀμφιφορεῖ,[29] τόν τοί[30] πόρε πότνια μήτηρ.[31]
ὥς ὁμοῦ[32] ἐτράφεμέν[33] περ'[34] ἐν ὑμετέροισι[35] δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ'[36] ἀνδροκτασίης ὕπο[37] λυγρῆς,
ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος,[38] οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·

dFhq Barb. Abb. 3) *νῦν δ'* Hom. *Σ*, 333. 4) *ἑτέρε* Laur. 5) *εἶμι* F. 6) *πρὶν κτεριῶ*] *πρὶννκτεριῶ* l. 7) *ἐνεῖκαι* cum bdFhq Barb. Abb. et corr. a et mg. Steph.: Fr. BS. Bens. (vid. Spitzn. ad Hom. l. c. 334), *ἐκείνω* Laur., *ἐνείκω* cett. 8) *σοῖο* Fr. cum Spitznero et Bekkero, *σεῖο* libri.

§. 149. 1) *δὲ* bgmopt Laur. Abb., *δὲ καὶ* coni. Bekker. 2) *τὰ* dF Barb. Abb. 3) *τοὺς* Laur., om. o. 4) *ὁμοτάφον* Barb. 5) *γίνεσθαι* Bern. 6) *ἃ λέγει* F Barb. Abb. 7) *ὁ* om. l. 8) *διέτριβον* Abb. 9) *οὐ γὰρ ἔτι*] *οὐκ ἔτι* p Vat., *οὐ μὲν γάρ* Homer. Iliad. *Ψ*, 77. 10) *ἑξόμενοι* l. 11) *κῆρ* o. 12) *ἀμφέλαχε* b et *γρ.* a. 13) *γιγνόμενόν* Bekk. in Hom., *γινόμενόν* abghmo Laur., *γενόμενόν* l, *γεινόμενόν* cett. 14) *ἀλλ' ἐμὲ μὲν κῆρ — γιγνόμ. περ* om. p Vat. 15) *ἀχιλεῦ* (hic et infra) o. 16) *τύχη* d, *τείχη* F Vat. Barb. Abb. 17) *ὑπο* vulg. ante Bk. 18) *εὐγενέων* h, *εὐηφενέων* Bekk. in Homero cum Aristophane et Rhiano. 19) *δίης* h. Huc pertinet *δηίης* q, quod ad *σῇσιν* adscriptum perhibetur. 20) *μαρνάμενον — ἠϋκόμοιο* om. codd. Hom. 21) *τι* m Laur. 22) *σοι* Laur. 23) *σὺ δ' — σῇσιν*] *γρ. καὶ ἐφησόμαι αἴκε πίθηαι* mg. q., idque in edd. Hom. habetur. 24) *τιθείμεναι* p Vat., ut Eustath. 1289, 41, *τιθείμεν'* Laur. 25) *ὀστᾶ* Abb. 26) *πέρ σε*] *πέρσαι* o, *πέρ* Laur. 27) *γαίη* o. 28) *κεύθῃ* dFp Barb Abb. Laur. 29) *ἀμφορεῖ* F Abb. 30) *τοι* om. l. 31) *ἀλλ' ἵνα — μήτηρ* om. q, ut desunt in Hom. 32) *ὡς ὁμοῦ*] *ἀλλ' ὁμοῦ ὡς* q, ut est in Hom. 33) *ἐτράφημεν* glmqr, *ὡς ἐτράφημεν* h, *ἐτράφομεν* Scalig. 34) *περ* om ghlmoq, *ἔν περ* d. 35) *ἡμετέροισι* bdF ghlmoqr Vat. Laur. Abb. et pr. a (Ald.). 36) *ὑμέτερόνδ'*] *ὑμέτερον δῶ* abhpq, *ὑμέτερον* o, *ἡμετερόνδ'* Laur. Barb. 37) *ἀπὸ* d, om. g. 38)

ἔνθα με δεξάμενος[39] ἐν δώμασιν[40] ἵππότα Πηλεύς
ἔτραφέ τ'[41] ἐνδυκέως καὶ σὸν θεράποντ'[42] ὀνόμηνεν·[43]
ὣς[44] δὲ καὶ ὀστέα νῶιν ὁμὴ[45] σορὸς ἀμφικαλύπτοι.[46]

Ὡς τοίνυν ἐξῆν[1] αὐτῷ[2] σωθῆναι μὴ[3] τιμωρησαμένῳ τὸν τοῦ 150
Πατρόκλου θάνατον, ἀνάγνωθι, ἃ λέγει ἡ Θέτις.

ὠκύμορος δή[4] μοι τέκος ἔσσεαι, οἷ'[5] ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος[6] Ἀχιλλεύς·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον[7] ἑταίρῳ
κτεινομένῳ[8] ἐπαμῦναι, ὅ[9] μοι πολὺ[10] φίλτατος[11] ἔσκεν.[12]

61. Ὁ τοίνυν οὐδενὸς[1] ἧττον[2] σοφὸς τῶν ποιητῶν[3] Εὐρι- 151
πίδης, ἕν[4] τι τῶν καλλίστων ὑπολαμβάνων[5] εἶναι τὸ σωφρό-
νως[6] ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν[7] ἔρωτα ποιούμενος λέγει που·[8]

154 ὁ δ' εἰς[9] τὸ σῶφρον ἐπ' ἀρετήν τ'[10] ἄγων ἔρως
ξηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

Πάλιν τοίνυν ὁ αὐτὸς[1] ἐν τῷ Φοίνικι[2] ἀποφαίνεται,[3] ὑπὲρ 152
τῆς γεγενημένης αὐτῷ πρὸς[4] τὸν πατέρα διαβολῆς ἀπολογού-
μενος[5] καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ
διαβολῆς, ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι·

νήπιος abFhoq Vat., γνήσιον d Barb. et mg. F, νήπιον vulg. ante Rsk. 39) δεξάμενοι q. 40) δόμοισιν d Barb., δόμασιν Laur., om. hq. 41) ἔτραφέ τ' Laur. (Bekk. in Hom.), ἔτρεφε hl, ἔτρεφεν q, ἔτρεφέ τε cett. 42) σὸν θερ.] σὸς θεραπὼν Laur. 43) ὠνόμηνεν Barb., ὀνόμην Laur., εὖτέ με τυτθὸν — ὀνόμηνεν om. Abb., in mg. ponit rc. F. 44) ὣς Bekk. in Hom., ὧς libri. 45) ὁ μὲν l, ὁμοῖος pr. Laur. 46) ἀμφικαλύπτη d Barb. Abb., ἀμφικαλύπτει opq Laur. Addunt hq: χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε ποτνια μήτηρ, qui versus h. l. apud Hom. legitur.

§. 150. 1) ἐξῆν ἂν aglmq Barb. Abb. et sec. F. (Rsk. Br. BS. Fr. Bens.). 2) δεξάμενος (149) — αὐτῷ om. t. 3) μὲν q. 4) δὲ dFoptLaur. Barb. Abb. 5) οἷα o. 6) τὴν — δῖος] τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Hom. Iliad. Σ, 97. 7) ἄρ' ἔμελλον] ἄρα μέλλον Bekk. in Hom. 8) κτειναμένῳ pr. Laur. 9) ὅς p. 10) πολλὰ Vat. 11) φίλτατον l. 12) ὅ — ἔσκεν non leguntur in Hom.

§. 151. 1) οὐδενὸς bl et mei, οὐθενὸς h (vulg. ante Br.). 2) ἥττων bFghlmpq Laur. Barb. et pr. a. ἧττων ὁ Greg. Corinth. T. VII. p. 1321 ed. Walz., vid. etiam Hermogen. T. III. p. 436. 3) τῶν ποιητῶν om. Laur. 4) ὡς p. 5) ὑπολαμβάνω Vat. 6) σώφρονος Laur., σοφρόνων Abb. 7) τὸν om. Greg. Corinth. 8) που] vide Eurip. fragm. Oedip. p. 232 ed. Matth. (fr. 3 Di.), Hermog. et Gregor. Cor. ll. cc. 9) ὁ δ' εἰς] οὐδεὶς Laur. 10) τ' om. p Vat.

§. 152. 1) ὁ αὐτὸς abglmopr Vat. Laur., ὁ αὐτὸς ποιητὴς cett. 2) ἐν τῷ Φοίνικι] vid. Eur. fr. Phoen. p. 290. (fr. 4 Di.) et Valck. diatr. p. 269. 3) φαίνεται Laur. 4) καὶ h. 5) ἀπο-

ἤδη δὲ πολλῶν ἠρέθην[6] *λόγων*[7] *κριτής,*[8]
καὶ πόλλ' ἀμιλληθέντα[9] *μαρτύρων ὕπο*
τἀναντί[10] *ἔγνων*[11] *συμφορᾶς μιᾶς πέρι.*[12]
κἀγὼ μὲν[13] *οὕτω, χὥστις*[14] *ἔστ'*[15] *ἀνὴρ σοφός,*
λογίζομαι τἀληθές,[16] *εἰς ἀνδρὸς φύσιν*
σκοπῶν διαιτάν θ',[17] *ἥντιν'*[18] *ἡμερεύεται*[19] . . . .
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι[20]
τοιοῦτός ἐστιν οἷσπερ[21] *ἥδεται*[22] *ξυνών.*[23]

σκέψασθε δ', ὦ Ἀθηναῖοι, τὰς γνώμας, ἃς ἀποφαίνεται ὁ
153 *ποιητής. ἥδη*[1] *πολλῶν*[2] *πραγμάτων φησὶ γεγενῆσθαι κριτής,*
ὥσπερ νῦν ὑμεῖς δικασταί, καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρ-
τυριῶν,[3] *ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν*[4] *φησι*
ποιεῖσθαι,[5] *ἐκεῖσ'*[6] *ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ξῇ*
ὁ κρινόμενος καὶ ὅντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ[7] *οὐσίαν,*[8] 156
ὡς[9] *παραπλησίως*[10] *αὐτὸν*[11] *καὶ τὰ τῆς πόλεως διοικήσοντα,*
καὶ τίσι χαίρει πλησιάζων· καὶ τελευτῶν οὐκ ἄκνησεν ἀπο-
φήνασθαι τοιοῦτον αὐτὸν εἶναι οἷσπερ[12] *ἥδεται ξυνών.* 62.
οὐκοῦν δίκαιον καὶ περὶ Τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπί-

λογ. om. h. 6) *ἠρέθη* dm, *ἠρέθη* o Vat. Barb. Laur. (Ald.). 7) *λέγω* p. 8) *κριτὴς* om. l. 9) *ἀμελληθέντα* Laur. Barb. 10) *ὕπο τἀναντί'*] *ὑπέναντι'* l Laur. 11) *ἔγνωσται* o Barb., *ἔγνω* Laur. 12) versus inde a *πολλῶν ἠρέθην* usque ad *μιᾶς πέρι* om. Ft Abb. 13) *κἀγὼ μὲν*] *καὶ ἐγὼ μὲν* abdFhlm Barb. Abb., *καὶ μὲν ἐγὼ* o. 14) *χὥστις* Rsk. cum Valck. l. c. (edd.), *χ' ὅστις* Wolf. et Scaliger., *ὥστις* Ald., *καὶ ὅστις* codd. 15) *ἐστὶν* t, *ἔσται* l, *ἔτ'* Ald. 16) *δὲ τἀληθὲς* abdglmop Vat. Laur. Barb. 17) *θ'* Boissonadius (BS. Fr. Bens.), om. libri. 18) *ἥντ'* l, om. Laur. 19) *ἡμερεύεται* Gaisfordius, *ἐμερεύεται* ms. Flor. Joann. Damasc. in append. Stob. T. IV. p. 159, 25 Mein., *ἐμπορεύεται* codd. — Post hunc versum unum et alterum excidisse Scheibius (Jahni Ann. 68 p. 159) et Meinekius (Ztschrft. f. Alterthumsw. 1846. p. 1095) suspicati sunt. 20) *ὅτι* om. q. 21) *τοιοῦτός ἐστιν οἷσπερ* cum h Abb. et F in erasis et, ut videtur, qr et cum Dem. Diod. Plin. (cf. ann. 23) Br. Bk. Di. BS. Fr. Bens., *τοιόσδ' ἕκαστος οἷσπερ* coni. A. Nauckius, *τοιοῦτός ἐσθ' οἵοισπερ* de conf. H. Wolfii et Valckenarii Rsk. dedit probavitque Schaefero ad Dem. p. 417, 20 et Cobeto in N. LL. p. 618, *τοιοῦτός ἐστιν ἕκαστος οἷσπερ* abdgmop Vat. Laur. Barb., *τοιοῦτ. ἐστ. ἕκαστος ἥσπερ* l. cf. §. 153, 9. 22) *ἥδε* l. 23) vv. *ὅστις δ' ὁμιλ.* — *ξυνών* afferunt Dem. de f. leg. §. 245, Diod. XII, 14. vv. *γιγνώσκων* — *ξυνών* affert Plin. epp. IV, 27, 6.

§. 153. 1) *ἤιδει* F. Abb. 2) *δὲ* quod add. codd. ante *πολλῶν* cum Sauppio delevi. 3) *μαρτύρων* p Vat. 4) *ὁμιλῶν* Vat. 5) *πεποιῆσθαι* Steph. 6) *ἐκεῖσε καὶ* l. 7) *ἑαυτῶν* Laur. 8) *οὐσίαν* coll. §. 154, 1 cum Hamakero Mnem. VII. p. 459 scripsi. *οἰκίαν* libri. cf. etiam §. 170, 9. 9) *καὶ ὡς* l. 10) *πολλαπλησίως* pr, *πολλαπλασίως* glm Vat. Laur., *πολλὰ πλασίως* o. 11) *αὐτὸν* om. dFhq Barb. Abb. 12) *οἵοισπερ* auctore Tayloro Rsk. Bk. 13) *εὐριπίδην* Vat. Laur.

δῃ[13] χρήσασθαι λογισμοῖς. πῶς διῴκηκε[1] τὴν ἑαυτοῦ οὐσίαν; 154
κατεδήδοκε τὰ πατρῷα καὶ[2] μεμισθαρνηκὼς τῷ σώματι καὶ
δωροδοκῶν δημοσίᾳ πάντ' ἠφάνικεν,[3] ὥστε μηδὲν ἄλλ'[4] ἢ
τὰς αἰσχύνας αὐτῷ περιεῖναι. χαίρει δὲ τῷ[5] συνών;[6] Ἡγη-
σάνδρῳ. ὁ δ' Ἡγήσανδρος ἐκ[7] τίνων ἐστὶν ἐπιτηδευμάτων;
ἐκ τούτων,[8] ἐξ ὧν[9] αὐτὸν[9] οἱ νόμοι ἀπαγορεύουσι μὴ[10] δημη-
γορεῖν. ἐγὼ δὲ[11] τί λέγω κατὰ Τιμάρχου, καὶ τίνα ποτ' ἐστὶν
157 ἃ[12] ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορνευμένον
καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα. ὑμεῖς δὲ[13] τί[14] ὁμω-
μόκατε; ὑπὲρ[15] αὐτῶν ψηφιεῖσθαι[16] ὧν[17] ἂν ἡ δίωξις ᾖ.[18]

Ἵνα δὲ μὴ μακρολογῶ[1] περὶ τῶν ποιητῶν διεξιών, ἀνδρῶν 155
ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα καὶ μειρακίων
καὶ παίδων, ὧν τοῖς μὲν διὰ τὴν εὐπρέπειαν πολλοὶ[2] γεγόνα-
σιν ἐρασταί, ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσίν, ὧν
οὐδεὶς πώποτ' εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται[3] Τιμάρχῳ· καὶ
πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευμένων αἰσχρῶς
καὶ φανερῶς ὀνόματα, ἵν' ὑμεῖς ἀναμνησθέντες κατανείμητ'
εἰς τὴν προσήκουσαν τάξιν Τίμαρχον. πρῶτον δὲ λέξω τὰ 156
τῶν ἐλευθέρων[1] καὶ καλῶς βεβιωκότων ὀνόματα.

63. Γιγνώσκετε, ὦ Ἀθηναῖοι,[2] Κρίτωνα τὸν Ἀστυόχου
καὶ Περικλείδην τὸν Περιθοίδην[3] καὶ Πολεμαγένην[4] καὶ
158 Πανταλέοντα[5] τὸν Κλεαγόρου[6] καὶ Τιμησίθεον[7] τὸν δρομέα,
καλλίστους[8] οὐ μόνον τῶν πολιτῶν, ἀλλὰ καὶ[9 et 10] τῶν Ἑλλή-
νων γεγενημένους καὶ πλείστων καὶ σωφρονεστάτων τυχόν-
τας ἐραστῶν· ἀλλ' ὅμως οὐδεὶς πώποτ' αὐτοὺς[11] ἔψεξε. πάλιν 157

§. 154. 1) *διῴκησε* dgrt Barb. Abb. 2) *καὶ* de coni., *καὶ τὰ* (*τὰ* om. l) *τῶν φίλων* libri. *καὶ τὰ τῶν φίλων* delet Hamaker, l. c. *τὰ τ. φίλ.* uncis inclus. Fr. 3) *μεμισθαρν.*—*ἠφάνικεν* om. p. 4) *ἄλλ'* b. 5) *δὲ τῷ*] *δέ τῳ* o. 6) *συνών* o Vat., *ξυνὼν* cett. 7) *ἐκ* om. t. 8) *ἐκ τούτων* om. Br. 9) *ἐξ ὧν αὐτὸν* de coni., *ἐξ ὧν αὐτὸν πράξαντα* aglmo Vat. Laur. (Bk. Di. BS.), *ἃ τὸν πράξ.* bdFhq Barb. Abb. (Rsk. Fr. Bens.), *ἐξ ὧν τὸν πράξ.* cett. 10) *μὴ* om. Fglmop et mei omnes (vulg. ante Rsk.). 11) *δὲ* om. Laur. 12) *ἃ ἂν* h. 13) *δὲ* om. Ald. Steph. 14) *ὅτι* gmor (vulg. ante Rsk.), om. dFhq Abb. 15) *περὶ* dh. 16) *ψηφίσασθαι* dFhq Barb. Abb., *ψηφισεῖσθε* Ald., *ψηφιεῖσθε* Laur. Steph. 17) *ᾧ* Laur., *περὶ ὧν* dFh Abb. 18) *ᾖ* om. hq.

§. 155. 1) *μακρῷ λόγῳ* d. 2) *ἔνιοι* Bern. 3) *ἀφίκται* F Vat.

§. 156. 1) *ἐλευθέρως* de coni. Reiskii Br. 2) *ὦ Ἀθ.*] *ὦ ἄνδρ. Ἀθηναῖοι* hq. 3) *περιθοίδην* aglmr Vat. Laur. (Br. Bk. Di. BS. Fr. Bens.), *περιθώδου* hq, *περιθαίδου* o, *περιθοίδου* cett. (Rsk.). 4) *πολεμαγένην* abgmop Vat. Laur. (Br. BS. Fr. Bens.), *πολεμογένη* Abb., *πολυμαγένη* cum F Barb.: Bk. Di., *πολεμαγένη* vulg. ante Br. 5) *πανταλέοντα* Fh Laur. (Bk. Di. Fr.), *παντλέοντα* d, *παντολέοντα* cett. (Rsk. Br. BS. Bens.). cf. Etymol. M. p. 102, 23. 6) *κλεαγίνου* l. 7) *τιμισίθεον* Vat. 8) *καὶ καλλίστους* l. 9) *τῶν πολ. ἀλλὰ καὶ* om. t Abb. et pr. F. 10) *καὶ* om. mr Vat. Laur. 11) *αὐτὸς* Vat. Laur.

ἐκ τῶν μειρακίων καὶ τῶν ἐν παισὶν ἔτι καὶ[1] νῦν ὄντων πρῶτον μὲν τὸν ἀδελφιδοῦν τὸν Ἰφικράτους,[2] υἱὸν δὲ Τισίου[3] τοῦ Ῥαμνουσίου,[4] ὁμώνυμον δὲ τοῦ νυνὶ[5] κρινομένου Τιμάρχου· ὃς εὐπρεπὴς ὢν ἰδεῖν τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν,[6] ὥστε πρῴην[7] ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολλυτῷ[8] καὶ Παρμένοντος[9] τοῦ κωμικοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν[10] εἶναί τινας πόρνους μεγάλους[11] Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν[12] εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες· οὕτω κληρονόμος εἶ[13] τοῦ ἐπιτηδεύματος. πάλιν Ἀντικλέα τὸν σταδιοδρόμον καὶ Φειδίαν τὸν[14] ἀδελφὸν τοῦ[15] Μελησίου.[16] ἔτι δ' εἰπεῖν ἔχων πολλοὺς παύσομαι, ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ κατ' αὐ-
158 τῶν[17] ποιεῖσθαι. 64. περὶ δὲ τῶν ὁμοτρόπων τῶν[1] Τιμάρχου,[2] φεύγων[3] τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει[4] μνησθήσομαι.

Τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον Διόφαντον[5] οὐκ 159
οἶδεν,[6] ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντ' ἀπήγαγεν,[7] ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεύς,[8] ἐπαιτιασάμενος[9] τέτταρας[10] δραχμὰς αὐτὸν[11] ὑπὲρ[12] τῆς πράξεως ταύτης ἀπεστερηκέναι, καὶ τοὺς νόμους λέγων,[13] οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους αὐτὸς[14] ὑπερβεβηκώς;[15] ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ[16] Μόλωνος καλούμενον καλλίστην ὥραν 160
ὄψεως ἀκλεέστατα διεφθαρκότα; ἢ Μνησίθευν τὸν τοῦ μαγείρου καλούμενον; ἢ πολλοὺς ἑτέρους,[17] ὧν ἑκὼν ἐπιλανθάνο-

§. 157. 1) καὶ om. l. 2) τὸν Ἰφικρ. bglmp Laur. Abb. (Br. Bk. Di. BS. Fr. Bens.), τὸν ὑφικρ. Vat., τὸν τοῦ Ἰφικρ. dFhq Barb., τοῦ Ἰφικρ. vulg. ante Br. 3) σιτίου g, σιτίου ο, τοῦ τισίου l. 4) ῥαμνησίου F Laur. 5) νῦν dt. 6) τῶν αἰσχρῶν om. l. 7) πρώτον t. 8) κολλυτῷ a, κολλητῷ Laur., κολυτῷ bh, κωλυτῷ q, κολλυττῷ Vat., κολυττῷ cett. cf. §. 41 ann. 4. 9) παραμένοντος dFghmoq Barb. Abb. Laur. (Ald. Steph.). 10) ἦν om. t. 11) μεγάλ. om. t. 12) ἀπελάμβ. Laur. 13) ἦ Laur. 14) Φειδίαν τὸν] φειδίαντα Abb. 15) τὸν Bk.; om. l Laur. 16) Μελησίου Sauppius et Dindorf. in Steph. thes. s. v., μιλησίου libri. 17) κατ' αὐτ.] καθ' αὑτῶν Abb., καθ' αὐτὸν Vat.

§. 158. 1) τῶν om. dF Barb. 2) τιμάρχῳ coni. Wolf. 3) μὴ φεύγων coni. Wolf., οὐ φεύγων Bern. 4) μέλλει ο. 5) διάφαντον ο. 6) ἤδεν ab, εἶδεν t. 7) ἐπήγαγεν p Vat. 8) ἀζηνεὺς p. 9) ἀπαιτησάμενος l. 10) τέσσαρας l. 11) αὐτὸν Bk., αὐτὸν vulg. 12) ἀπὸ F Barb. Abb. 13) λέγω hq. 14) αὐτὸς cum Bekkero Fr. Bens., αὐτοὺς abglmop Vat. Laur., om. cett. 15) post ὑπερβεβηκώς add. ἐμίσει dFh Barb. Abb. (est scholion ad v. ἐδυσχέραινε in F), τοῦτον δὴ τίς οὐκ ἐμίσει g (Wolf.), [τοῦτον δὴ τίς οὐκ] ἐμίσει Rsk. 16) τοῦ] τοῦ τοῦ ο. 17) ἑταίρους hq.

μαι; οὐ γὰρ ἐπεξελθεῖν[1] αὐτῶν[2] ἕκαστον κατ' ὄνομα πικρῶς 159
βούλομαι, ἀλλὰ[3] μᾶλλον τῶν τοιούτων[4] ἀπορεῖν ἂν εὐξαίμην
ἐν τῷ λόγῳ διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν.

65. Ἐπειδὴ δ' ἑκατέρων προελόμενός[5] τινας διεξελήλυθα,[6]
χωρὶς μὲν τοὺς διὰ σωφροσύνην[7] ἐρωμένους, χωρὶς δὲ τοὺς
εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας, ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες
ἀποκρίνασθε[8] πρὸς ἐμέ,[9] εἰς ὁποτέραν τάξιν Τίμαρχον[10] κατα-
νέμετε, πότερ'[11] εἰς τοὺς ἐρωμένους ἢ εἰς τοὺς πεπορνευμέ-
νους. οὐκοῦν μὴ[12] καταλιπὼν[13] ἣν εἶλου συμμορίαν αὐτομο-
λήσῃς[14] εἰς τὰς τῶν ἐλευθέρων διατριβάς.

Ἐὰν δ'[1] ἐπιχειρῶσι λέγειν, ὡς οὐχ ἡταίρηκεν ὅστις μὴ 160
κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον[2] καὶ μάρτυρας
ἀξιῶσί[3] με τούτων παρασχέσθαι,[4] πρῶτον μὲν τοὺς περὶ τῆς
ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομο-
θέτης περὶ συνθηκῶν πεποίηται. οὐ γάρ, εἰ κατὰ γραμμα-
τεῖόν τις ἑαυτὸν κατῄσχυνε, τοῦτ' ἐξήτασεν, ἀλλὰ παντελῶς,
161 ὅπως ἂν ἡ πρᾶξις γένηται,[5] τὸν πράξαντα κελεύει μὴ μετέχειν[6]
τῶν[7] τῆς πόλεως κοινῶν. εἰκότως·[8] ὅστις γὰρ[9] νέος ὢν ἀπ-
έστη δι' αἰσχρὰς ἡδονὰς τῆς εἰς τὰ καλὰ[10] φιλοτιμίας, τοῦτον
οὐκ ᾠήθη[11] δεῖν πρεσβύτερον γενόμενον[12] ἐπίτιμον εἶναι.
66. ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τούτου[1] ῥᾴδιόν ἐστιν 161
ἐξετάσαι. πάντες[2] γὰρ ἂν[3] τοῦθ' ὁμολογήσαιμεν,[4] ὅτι τὰς
συνθήκας τὰς[5] πρὸς ἀλλήλους ἀπιστίας[6] ἕνεκα ποιούμεθα, ἵν'
ὁ[7] μὴ παραβὰς τὰ γεγραμμένα δίκην λάβῃ τῇ[8] ψήφῳ παρὰ
τοῦ παραβάντος. οὐκοῦν, εἴπερ τὸ πρᾶγμα δίκης προσδεῖται,

§. 159. 1) ἐπεξελθὼν Laur. 2) αὐτῷ q, αὐτὸν d Barb. 3) ἀλλὰ om. t Abb. et pr. F. 4) τ. τοιούτων t et pr. F, τ. τοιούτων ἃ Abb., τ. τοιούτων ἔργων cett. 5) περιελόμενοι b, προελόμενοι aglmopr Vat. Laur. 6) διεξεληλύθαμεν aglmopr Vat. Laur. 7) σωφροσύνης l. 8) ἀποκρίνασθαι Laur. 9) με dt Barb. Abb. 10) τίμαρχον abglo Vat. Laur., τὸν τίμαρχον cett. 11) πότερα abglmo Vat. Laur., πότερον cett. 12) μὴ om. b. 13) καταλιπεῖν q. 14) αὐτομολήσῃς ab ghlq Abb. Bern. et corr. F, αὐτομολήσας d, αὐτομολογήσεις Laur., αὐτομολήσεις mo Vat. (per compend. σscript.) Barb. et, ut videtur, pr (vulg. ante Rsk.).

§. 160. 1) δὴ o. 2) γραμμάτιον Laur. 3) ἀξιώσει Fghmopq Vat. Laur. Abb., ἀξίως d. 4) παρέχεσθαι Laur., παρασχεῖν Ald. H. 5) τοῦτ' — γένηται om. t. 6) μετέσχειν Laur. 7) τῶν om. q. 8) εἰκότως om. h. 9) ὅστις γὰρ] γὰρ ὅστις Laur. 10) εἰς τὰ καλὰ om. dFt Barb. Abb. 11) εἰώθει Laur. 12) γινόμενον mo. — ὁ τοὺς νόμους εἰσφέρων, quae vv. add. codd. post γενόμεν., cum Hamakero Mnem. VII. p. 459 delevi.

§. 161. 1) τοῦ Laur. 2) πάντως αι a. 3) ἂν om. l. 4) ὁμολογήσαμεν Vat. 5) τῆς dF Abb. 6) ἀπιστίας om. Abb. 7) ὃ om. Laur. 8) λάβῃ τῇ] λάβητε d, λάβηται F Barb.

τοῖς κατὰ γραμματεῖον[9] ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἢ[10] τῶν νόμων, ὡς[11] οὗτοί φασιν, ἐπικουρία καταλείπεται. καὶ τίς ἂν ὁ[12] λόγος ἑκατέρου[13] φανείη; μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον,[14]
ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχο-
426 ποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοικήσεως[2] εἰς ταῦτ'[3]
ἔχει μικροῦ δεῖν[4] δέκα τάλαντα, ἕτερος δ' ἀπαγορεύει νόμος
ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δ' ὀμωμόκατε κατὰ
τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυ-
νον[5] στεφανοῦν οὐ[6] προσθεὶς "ἐπειδὰν δῷ λόγον καὶ εὐθύ-
νας," ἐγὼ δ' ἐξελέγχω[7] τὸ παράνομον μάρτυρας ἅμα[8] τοὺς
νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος.
πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον[9] πα-
427 ρανομώτατα[10] γεγραφότα;

9. Ὡς τοίνυν καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανό- 32
μως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, καὶ τοῦθ'[1] ὑμᾶς
διδάξω.

Ὁ γὰρ νόμος διαρρήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ[2]
ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δ' ὁ δῆ-
μος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ[3] μηδαμοῦ.[4]

Καί μοι λέγε τὸν νόμον.

ΝΟΜΟΣ.[5]

Οὗτος ὁ νόμος, ὦ Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ 33
γάρ, οἶμαι, ᾤετο δεῖν[1] ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι
πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον
ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ
μὲν οὖν[2] νομοθέτης[3] οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; ἀναγί-
γνωσκε[4] τὸ ψήφισμα.

10) αὐτῶν τ. νόμ.] αὐτοῦ τοῦ νόμου Bern., τῶν om. q. 11) νόμος a, om. pr. Vat.

§. 31. 1) δὲ el. 2) πόλεως Bern. 3) ταύτας l. 4) δ' εἰπεῖν ehkl et pr. F. 5) στεφανοῦν — ὑπεύθυνον om. ekl. 6) οὐ ekl (Bk. Di. Fr.), μὴ cett. 7) ἐξελέγχω Vat. Laur. Idem coni. Steph. (Bk. Br. Di. BS. Fr. Bens.), ἐλέγξω l, ἐλέγξω gn, ἐξηλεγξα Flor., ἐξελέγξω t, ἐξελέγξω z, ἐξελέγξω cett. 8) ἅμα καὶ Laur. 9) ἀνθρώπων Laur. 10) παράνομα deFhklqBarb. (Rsk. Bk. Di.).

§. 32. 1) ταῦθ' el. 2) στεφανοῖ post βουλὴ ponit e, στεφανῇ mn. 3) καὶ Wolf. 4) οὐδαμοῦ el. 5) νόμος om. g et pr. Vat.

§. 33. 1) δεινὸν k. 2) μὲν οὖν aegklm Flor., μὲν cett. 3) νόμος Laur. 4) ἀναγινώσκετε Barb.

ΨΗΦΙΣΜΑ.[5]

34 Ἀκούετε, ὦ Ἀθηναῖοι, ὅτι ὁ μὲν[1] νομοθέτης κελεύει[2] ἐν τῷ δήμῳ ἐν Πυκνὶ[3] ἀνακηρύττειν[4] τὸν ὑπὸ τοῦ δήμου στε- 428
φανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, Κτησιφῶν δ'[5] ἐν τῷ θεάτρῳ, οὐ[6] τοὺς νόμους μόνον[7] ὑπερβάς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν,[8] οὐδ' ἐναντίον τοῦ δήμου, ἀλλ' ἐναντίον τῶν Ἑλλήνων,[9] ἵν' ἡμῖν[10] συνειδῶσιν,[11] οἷον ἄνδρα τι-
35 μῶμεν. οὕτω τοίνυν περιφανῶς[1] παράνομα γεγραφώς, παραταχθεὶς[2] μετὰ Δημοσθένους ἐποίσει[3] τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ προερῶ[4] ὑμῖν, ἵνα μὴ λάθητ' ἐξαπατηθέντες.[5]

Οὗτοι γάρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν[6] οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν, οἴσουσι δ' εἰς τὴν[7] ἀπολογίαν[8] τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται[9] τοῦ νόμου[10] μέρει τινὶ κλέπτου-
36 τες[11] τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇδε τῇ γραφῇ,[1] καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μέν, ὃν νῦν ἐγὼ 429
παρέχομαι, διαρρήδην[2] ἀπαγορεύων[3] τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότ' ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάρρησιν τοῦ στεφάνου τραγῳδοῖς[4] ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νό-
37 μον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. 10. ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. εἰ γὰρ τοῦτ' ἔστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος

5) titulum om. acdFp Vat. Laur. Barb. Flor.

§. 34. 1) *μὲν* om. h. 2) *οὕτως κελεύει* Barb. 3) *πυκνὶ* amn Vat. Laur. et *γρ.* h, *πύκνῃ* F, *πυκνὶ* cett. 4) *ἀνακηρύττειν* coni. Frank., *τῇ ἐκκλησίᾳ ἀνακηρύττειν* libri. vid. lect. Aeschin. p. 467. 5) *Κτ. δ'*] *ὁ δὲ Κτησιφῶν* ekl. 6) *οὔτε* el. 7) *μόνον* ante *τοὺς νόμους* ponit p. 8) *ἀγωνιζ. καινῶν*] *γιγνομένων* ekl. 9) *οὐδ' — Ἑλλήνων* om. q. 10) *ὑμῖν* Vat. 11) *συνιδῶσιν* p.

§. 35. 1) *περιφανῶς* om. Barb. 2) *καταταχθεὶς* h. 3) *ποιήσει* n. 4) *προσερῶ* cdFhqz, *προαιρῶ* Vat. 5) *ἄρθητε* cdgmn. 6) *ἀπαγορεύονται* h. 7) *τὴν* om. de. 8) *ἐκκλησίαν* z Flor. 9) *χαρίσονται* p Vat. 10) *τοῦ νόμου* om. pr. Laur. 11) *βλέποντες* Vat.

§. 36. 1) *τῇδε τῇ γραφῇ*] *τῇ γραφῇ τῇδε* agmnpz Vat. Laur. Flor. (BS. Fr. Bens.). cf. ll. cc. apud Frank. lect. Aesch. p. 468. 2) *καὶ διαρρήδην* n. 3) *ἀπαγορεύων* aegklmnpz Vat. Laur. Flor. (BS. Fr. Bens.), *ἀπαγορεύοντα* cett. 4) *τραγῳδῶν* Barb.

παραδέδυκεν[1] ὑμῶν[2] εἰς[3] τὴν πολιτείαν, ὥστ' ἀκύρους νόμους[4] ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους[5] ἀλλήλοις, τί ἂν ἔτι[6] ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ[7] προστάττουσιν[8] οἱ νόμοι ποιεῖν[9] καὶ μὴ ποιεῖν; ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως· μήθ'[1] ὑμεῖς ποτ' εἰς 38
τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε,[2] οὔτ' ἠμέληται[3] περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαρρήδην προστέτακται τοῖς θεσμοθέταις[4] καθ' ἕκα-
430στον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος[5] ἑτέρῳ νόμῳ[6] ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ[7] που εἰσὶ νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι[8] περὶ[9] ἑκάστης πράξεως. κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανί- 39
σιν ἐκτιθέναι κελεύει πρόσθεν[1] τῶν ἐπωνύμων, τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας[2] νομοθέταις,[3] τὸν δ'[4] ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ,
431καὶ τοὺς μὲν ἀναιρεῖν[5] τῶν νόμων, τοὺς δὲ καταλείπειν,[6] ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους περὶ[7] ἑκάστης πράξεως.

Καί μοι λέγε τοὺς νόμους.

ΝΟΜΟΙ.[8]

Εἰ τοίνυν, ὦ 'Αθηναῖοι, ἀληθὴς ἦν[1] *ὁ παρὰ*[2] *τούτων λό-* 40
γος καὶ ἦσαν δύο κείμενοι νόμοι[3] *περὶ τῶν κηρυγμάτων, ἐξ ἀνάγκης, οἶμαι,*[4] *τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδόντων*[5] *τοῖς νομοθέταις ἀνῃρητ' ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται,*[6] *φανερῶς δή*

§. 37. 1) παραδέδωκεν d Laur. Flor., παρέδωκεν pr. h, παρεισδέδυκεν q. 2) ἡμῶν e, ὑμὲν p. 3) εἰς om. Laur. 4) τοὺς νόμους c. 5) ἀπεναντίους p. 6) ἐπὶ h, ἔστι Ald. 7) ταῦτα Ald. 8) πράττουσιν n. 9) καὶ ποιεῖν p.

§. 38. 1) μὴ aegklmnpz Vat. Laur. Flor. 2) προβαίνητε Steph. 3) εἰ μέλλοιτε e. 4) νομοθέταις Laur. Barb. 5) νόμος ἐναντίος] ἐναντίος νόμος ekl. 6) ἕτ. νόμῳ] ἑτέρων νόμων Vat. 7) εἴ om. h et pr. F. 8) γεγραμμένοι cd. 9) περὶ om. q.

§. 39. 1) πρόσθε k, πρόστε e. 2) ἐπιγράψαντος Vat. 2) νομοθέταις Dobreeus (BS. Fr. Bens.), νομοθέτας libri. cf. Dem. 19 §.185. 24 §. 20 sqq. 4) τῷ δὲ Flor. 5) ἀνελεῖν Laur. 6) καταλιπεῖν hp Vat. et pr. F. 7) περὶ om. acdFghmnpq Barb. Flor. 8) titulum om. p et pr. Vat.

§. 40. 1) ἀληθ. ἦν] ἦν ἀληθὴς ekl. 2) περὶ p Vat. 3) κείμ. νόμοι] νόμοι κείμενοι ekl. 4) οἶομαι acdghmn Flor. (Bk. Di.). 5) ἀποδιδόντων agmnp Vat. Laur. Flor. Barb. 6) γένηται agmnp Laur.

που ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντε-
41 λῶς ἀδύνατα γενέσθαι. 11. ὅθεν δὲ[1] δὴ τὸ ψεῦδος[2] τοῦτ' ἐπιφέρουσιν,[3] ἐγὼ διδάξω ὑμᾶς προειπών, ὧν ἕνεχ' οἱ νόμοι ἐτέθησαν[4] οἱ περὶ τῶν ἐν τῷ[5] θεάτρῳ κηρυγμάτων.

Γιγνομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν ἀνεκήρυττόν[6]
τινες, οὐ πείσαντες[7] τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦνται ὑπὸ 432
τῶν φυλετῶν,[8] ἕτεροι δ' ὅτι[9] ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ[10]
42 τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν[11] ἐλευθέ-
ρους,[12] μάρτυρας τοὺς Ἕλληνας[13] ποιούμενοι. ὃ δ' ἦν ἐπι-
φθονώτατον, προξενίας τινὲς εὑρημένοι[1] ἐν ταῖς ἔξω πόλεσι
διεπράττοντ'[2] ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος,
εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων ἢ καὶ ἄλλης τινὸς[3] πό-
λεως ἀρετῆς ἕνεκα[4] καὶ ἀνδραγαθίας. καὶ ταῦτ' ἔπραττον
οὐχ ὥσπερ οἱ[5] ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας[6] στεφανούμενοι
ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολ-
λὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγμα- 433
43 τος ὑμετέρου. ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε[1] τοὺς μὲν
θεατὰς καὶ τοὺς χορηγοὺς[2] καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι,
τοὺς δ' ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς[3] τι-
μᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων. τοῖς μὲν γὰρ 434
ἀπεδέδεικτο[4] τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρὴ[5] στεφανοῦσθαι,
καὶ ἀπείρητ' ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δ' ἀνηγορεύ-
ουτ' ἐναντίον[6] ἁπάντων τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ
ψηφίσματος, πείσαντες ὑμᾶς,[7] οὗτοι[8] δ' ἄνευ ψηφίσματος.

§. 41. 1) δὲ om. q Flor. 2) ψευδὲς cdFhq Barb. 3) ἐπεισφέρουσιν Fq (Rsk. Br.). 4) ἐξετέθησαν a. ουντο 5) τῷ om. ekl. 6) ἀνεκήρυττον h, α ἀνεκηρύττοντό p. 7) πείσοντες mn. 8) φιλῶν pr. q, φυλῶν F Barb. et sec. q. 9) ὅτι cum Cobeto N. LL. p. 101 inserui. 10) δὲ om. ekl. 11) ἀφεῖσαν ekl. 12) ἐλευθέρους Cobet. N. LL. p. 103 sq., ἀπελευθέρους libri. 13) μάρτυρας τοὺς Ἕλληνας Cobet. l. c. μάρτυρας τ. Ἑλλ. τῆς ἀπελευθερίας ekl, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας cett.

§. 42. 1) τινὲς εὑρημ.] εὑρημένοι τινὲς ekl, τινὲς εὑρηκότες pt (mg. t: εὑρημένοι). 2) διέπραττον Flor. 3) ἄλλης τινὸς] τινος ἄλλης ekl. 4) ἀρετῆς ἕνεκα ekl (Bk. Br. Di. BS Fr. Bens.), ἕνεκα ἀρετῆς cett. quod defendit Scheibius l. c. p. 154. cf. §§. 10, 49, 246. 5) οἱ addunt ekl Flor. 6) τῆς ὑμετέρας] τῆς ὑμετέρας βουλῆς Laur., pro ὑμετ. dat ἡμετ. p.

§. 43. 1) συμβαίνει el. 2) καὶ τ. χορηγ. om. el. 3) μείζοσι τιμαῖς ekl et corr. Vat. (Bk. Br. Di. Fr. Bens.), μείζονος τιμῆς p, μειζόνως Rsk., τιμαῖς om. cett. (delebant G. Herm. ad Aesch. Agam. 1610 et C. Scheibius in Jahni Ann. 68. p. 154.). 4) ἀποδέδεικτο lz Flor. (Bk. Br. Di.) 5) χρὴ dFhnpq Vat. Barb. (Ald. Wolf. Rsk.), χρῆν cett. cf. §. 48. 6) ἐναντίον Cobet. N. LL. p. 97, ἐνώπιον libri. 7) ἡμᾶς d. 8) οἱ ekl.

συνιδὼν[1] δή[2] τις ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν[3] ἐπι- 44
κοινωνοῦντα τῷ[4] περὶ[5] τῶν ὑπὸ τοῦ[6] δήμου στεφανουμένων
νόμῳ,[7] οὔτε λύσας ἐκεῖνον· οὐδὲ[8] γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο,[9]
ἀλλὰ τὸ θέατρον· οὔτ'[10] ἐναντίον τοῖς πρότερον κειμένοις
νόμοις τιθείς·[11] οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφί-
σματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν καὶ δη-
μοτῶν[12] καὶ[13] περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ
περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαρρήδην ἀπαγορεύει μήτ'
οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ μήθ' ὑπὸ τῶν φυλετῶν
ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μηδ'[14] ὑπ' ἄλλου,
φησί, μηδενός,[15] ἢ ἄτιμον εἶναι τὸν κήρυκα.[16] 12. ὅταν οὖν 45
ἀποδείξῃ[1] τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ
βουλευτήριον ἀναρρηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφα-
νουμένοις[2] εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στε-
φανουμένοις καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τρα-
γῳδοῖς,[3] ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα
435 ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δ' ἐν τῷ νόμῳ μηδ'[4]
ὑπ' ἄλλου μηδενὸς[5] ἀνακηρύττεσθαι,[6] ὅταν δέ[7] τις ταῦτ'
436 ἀφέλῃ,[8] τί τὸ[9] καταλειπόμενόν[10] ἐστι πλὴν οἱ ξενικοὶ στέ-
φανοι;

Ὅτι δ' ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν[1] τούτου[2] ἐξ αὐ- 46
τῶν τῶν νόμων ἐπιδείξω.

Αὐτὸν γὰρ[3] τὸν χρυσοῦν στέφανον, ὃς[4] ἂν ἐν τῷ θεάτρῳ
τῷ[5] ἐν ἄστει ἀναρρηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς κελεύει ὁ

§. 44. 1) *συνειδὼς* ekl, *ἰδὼν* n. 2) *δὲ* dekl. 3) *μηδὲν* gmn. 4) *τῶν* h, *τῷ* om. a. 5) *περὶ* om. aekl. 6) *τοῦ* om. Vat. 7) *νόμοι* Flor. 8) *οὐ* ekl. 9) *ἠνωχλεῖτο* aeFgmz Laur. Barb. Flor. (Bk. Br. Di. Fr. Bens.), *ἐνωχλεῖτο* cdkl, *ἠνοχλεῖτο* cett. cf. Voemel. Prolegg. Dem. §. 67. 10) *οὐδὲ* h. 11) *νόμοις τιθεὶς*] *τίθησιν* ekl. 12) *τ. φυλ. κ. δημ.*] *τῶν δημοτῶν καὶ τῶν φυλετῶν* ekl. 13) *περὶ τῶν ἄνευ — δημοτῶν καὶ* om. q, pergit *τῶν περὶ τοὺς*. 14) *μήδ'* cum Saupp. Fr., *μηθ'* libri. 15) *μηθενὸς* cd. 16) *κηρύξαντα* kl.

§. 45. 1) *ἀποδείξῃ ὁ νόμος* cd Barb. Est scholion in Laur. 2) *εἰς τὸ βουλευτήριον — στεφανουμένοις* om. q, *στεφανουμένοις* hoc loco et paullo infra delet Cobet. l. c. 3) *τοῖς στρατηγοῖς* Vat., *τ. τραγῳδοῖς* delet Hamakerus l. c. 4) *μηθ'* e. 5) *τινὸς* d, *τινὸς μηδενὸς* Barb. 6) *ἀνακηρύττεσθαι*] *ἀνακηρύττ. ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν* libri (*καὶ δημοτῶν* om. q). *ἀπούσης — δημοτῶν* cum Tayloro Hamakerus pro glossa marginali habet. idemque etiam v. *ἀνακηρύττεσθαι* deleri vult. 7) *δὴ* vulg. 8) *ἀφέλῃ* eklz (Bk. Di. BS. Fr.), *ἀφέληται* cett. 9) *τὸ*] *τούτου τὸ* l. 10) *καταλιπόμενον* Vat.

§. 46. 1) *μέγα σημ. ὑμῖν*] *σημεῖον ὑμῖν μέγα* ekl. 2) *τούτους* Barb. 3) *γὰρ* om. q. 4) *ὃν* Barb. 5) *τῷ* om. cdFq Barb. (vulg. ante Rsk.).

νόμος,[6] ἀφελόμενος[7] τὸν στεφανούμενον.[8] καίτοι τίς ἂν ὑμῶν[9] τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι[10] τοῦ δήμου τῶν[11] Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις,[12] ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδ' εἷς[13] οὕτως ἀγεννὴς γένοιτο,[14] ὥστ' ὃν[15] αὐτὸς ἔδωκε στέφανον ἅμα καὶ[16] ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν. ἀλλ', οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ[17] καθιέρωσις[18] γίγνεται,[19] ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν[20] περὶ πλείονος ποιούμενος[21] τῆς πατρίδος χειρῶν γένηται τὴν
47 ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον[1] τὸν ἐν τῇ ἐκκλησίᾳ ἀναρρηθέντ'[2] οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτός, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ[3] ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται. καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης μὴ[4] κηρύττεσθαι τὸν ἀλλότριον[5] στέφανον[6] ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, 437
ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ[7] τῶν ὑμετέρων[8] στεφανοῦν πρέσβεις πέμψασα δεηθῇ τοῦ δήμου, ἵνα[9] κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφάνων[10] ὑμῖν ἢ τοῖς στεφανοῦσιν,[11] ὅτι κηρῦξαι ἐπετρέψατε.

Ὅτι δ' ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν[12] ἀκούσατε.

ΝΟΜΟΙ.[13]

48 Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσγέγραπται[1] ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετ'[2] αὐτοῖς ὑποβάλλειν·[3] ναί, εἴ γε σέ[4] τις ἄλλη πόλις στεφανοῖ· εἰ δ' ὁ δῆμος ὁ Ἀθηναίων,[5] ἀπο-

6) ὁ νόμος ante κελεύει ponunt ek (Bk. Br. Di.). 7) ἀφελούμενος ln, ἀφελόμενον dh. 8) στέφανον n. 9) ἡμῶν p. 10) καταγνῶναι post Ἀθηναίων ponunt ekl. 11) τοῦ ek (Bk.). 12) πολίτης el. 13) οὐδ' εἷς] οὐδεὶς ac. 14) ἀγ. γένοιτο] γένοιτο ἀγεννὴς a, ἀγενὴς γένοιτο dlnz Flor. 15) ὃν] ὃν ἂν e. 16) καὶ add. gmpz Vat. Laur. Flor. 17) ἡ om. Laur. 18) ἱέρωσις ekl. 19) γεγένηται cdFh Barb. 20) ἔννοιαν e. 21) ποιούμενος om. q.

§. 47. 1) οὐκ ἐκεῖνον] οὐ κἀκεῖνον p. 2) στέφανον ante ἀναρρηθέντα addunt agmnz Flor., ante οὐδὲν cett., delevi de coni. 3) τι mn. 4) μήτε ekl. 5) ἀλλότριον om. pr. h. 6) στέφανον om. Flor. 7) τινὰ] τῶν πολιτῶν τινα Hamaker. Mnemos. VIII. p. 4. 8) ἡμετέρων F Vat. Laur. Flor. Barb. 9) ἵν' ὁ Rsk. 10) τῶν στεφάνων z et γρ. m et sec. q (Rsk.), τῶν στεφανούντων cett. 11) ἢ τοῖς στεφανοῦσιν delevit primus H. Wolf. (Bk. Br. Di. BS. Fr. Bens.). 12) αὐτῶν om. ekl. 13) νόμος a et sec. Vat., titulum om. p et pr. Vat.

§. 48. 1) προσγέγραπται ekp Flor. (edd. cum Wolfio), προγέγραπται cett. 2) ὑπομνημονεύετε ekl. 3) ὑποβαλεῖν cdFhq Barb., ὑποβάλλων Mor. 4) σέ om. z Flor. 5) ὁ

438 δέδεικταί[6] σοι τόπος, ὅπου δεῖ[7] τοῦτο γενέσθαι,[8] ἀπείρηταί σοι[9] ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ "ἄλλοθι δὲ[10] μηδαμοῦ" ὅ τι ἔστιν, ὅλην τὴν[11] ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις, ὡς ἔννομα γέγραφας.[12]

13. Ἔστι δ' ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' 49
ᾧ[1] μάλιστα σπουδάζω· τοῦτο δ' ἔστιν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι· "καὶ τὸν κήρυκ' ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων
439 ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας," καὶ τὸ μέγιστον· "ὅτι δια- 50
τελεῖ λέγων[2] καὶ πράττων τἄριστα τῷ δήμῳ."[3] ἁπλοῦς δὴ[1] παντάπασιν ὁ μετὰ ταῦθ' ἡμῖν[2] λόγος γίγνεται, καὶ ὑμῖν[3] ἀκούσασι[4] κρῖναι εὐμαθής· δεῖ γὰρ δή που τὸν μὲν κατηγοροῦντ' ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι,[5] ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους[6] ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστ' οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν τοῦτ' ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράμματ'[7] ἐγγράφειν[8] ἐν τοῖς δημοσίοις ψηφίσμασι.
440 τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε[9] τῶν λόγων κριταί. ἔχει δ' οὕτως.

Ἐγὼ τὸν μὲν βίον τὸν[1] Δημοσθένους ἐξετάζειν μακροτέ- 51
ρου λόγου ἔργον ἡγοῦμαι εἶναι.[2] τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν[3] τοῦ τραύματος γραφὴν αὐτῷ[4] συμβεβηκότα, ὅτ' ἐγράψατ' εἰς Ἄρειον πάγον Δημομέλην[5] τὸν Παιανιᾶ[6] ἀνεψιὸν ὄνθ' ἑαυτῷ,[7] καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ τὴν[8] Κηφισοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν[9] τὸν εἰς[10] Ἑλλήσποντον, ὅθ' εἷς ὢν τῶν τριηράρχων[1] 52

Ἀθην δῆμος l. 6) ἀποδέδεικτό agmnp Vat. Laur. 7) δὴ d. 8) γίγνεσθαι ekl, γίνεσθαι Flor. 9) σοι] γάρ σοι dp. 10) δὲ om. a. 11) τὴν om. el. 12) γέγραφεν ekl.

§. 49. 1) ἐφ' ᾧ] ἐφ' ᾧ m, ἐφ' ὃ gn Flor. 2) καὶ λέγων ekl. 3) τῷ δήμῳ ante τὰ ἄριστα ponunt ekl.

§. 50. 1) δὲ h. 2) ὑμῖν d. 3) ἡμῖν Vat. 4) ἀκούσας Flor. 5) ὑποδεικνύναι e. 6) τοῦ δημ. cdFhq Barb. 7) γράμματα om. l. 8) γράφειν el Laur. Bakius l. c. γράμματα potius abesse vult Frank. cf. schol. ad h. l. 9) ἔσεσθαι Ald.

§. 51. 1) τοῦ cdeFn. 2) εἶναι om. z Flor. 3) τὴν om. nq. 4) αὐτῷ ante γραφὴν ponit el. 5) δημομέλ z Laur. Flor. (Rsk. Bk. Di.), δημοτέλη l, δημοτελῆ h, δημοτελῆ Fq Barb. 6) παιανιέα libri. „Didymum (p. 317 Schm.) h. l. παιανέα χωρὶς τοῦ ι scribi voluisse Harpocratio narrat" Frank. 7) ὄντα ἑαυτῷ om. l; ὄντα ἑαυτοῦ Laur. Bern. 8) τὴν om. n. 9) εἴσπλουν Laur. 10) τὸν εἰς] εἰς τὸν el.

§. 52. 1) τριηραρχῶν gln Laur.

Δημοσθένης καὶ περιάγων τὸν στρατηγὸν[2] *ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς*[3] *αὐτῷ*[4] *φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγ-* 441
γελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι· καὶ[5] *ταῦτ' ἤδη τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς*[6] *ὤν, καὶ*[7] *ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τ'*[8] *εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου.*
53 *ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις ὅμοι' ὑπερβήσεσθαι, οὐ προδιδοὺς*[1] *ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος,*[2] *ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ*[3] *δοκεῖν ἀληθῆ μὲν*[4] *λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα. καίτοι, ὦ Κτησιφῶν, ὅτῳ*[5] *τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως*[6] *ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε*[7] *τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ καὶ*[8] *λίαν προωμολογημένα,*[9] *πότερ'*[10] *αὐτὸν δεῖ*[11] *χρυσῷ στεφάνῳ*[12] *στεφανωθῆναι ἢ ψέγεσθαι;*[13] *καὶ σὲ τὸν ψευδῆ καὶ παράνομα*[14] *τολμῶντα γράφειν πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων ἢ δίκην τῇ πόλει διδόναι;*[15]

54 14. *Περὶ δὲ*[1] *τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην,* 442
ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς, ὡς ἄρα τῇ πόλει τέτταρες[2] *ἤδη γεγένηνται καιροί, ἐν οἷς αὐτὸς πεπολίτευται.*[3] *ὧν ἕνα μὲν καὶ πρῶτον,*[4] *ὡς ἔγωγ' ἀκούω, καταλογίζεται*[5] *ἐκεῖνον τὸν χρόνον,*[6] *ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται*[7] *τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἀγνούσιος*

et corr. F, *τριηράρχων* m. 2) *καὶ περιάγων τ. στρατηγ.*] *καὶ στρατηγῶν* el. 3) *πατρικὸν* Flor. 4) *αὐτῶν* ekl. 5) *ἦ* q (Rsk.). 6) *ὀρχ. χορηγὸς*] *ὀρχηστρατηγὸς* Flor. 7) *καὶ* om. g Laur. 8) *τήν τε*] *τε τὴν* vulgo.

§. 53. 1) *πρὸς διὸς* l. 2) *καταχειριζόμενος* h, *καταχειριζόμενος* d. 3) *τὸ* om. p Vat. 4) *ἀληθῆ μὲν* Cobet. N. LL. p. 351, *μὲν ἀληθῆ* libri. 5) *ὅτου* vel *ἐν ὅτῳ* C. Scheibius in Jahni Annall. 68. p. 160. 6) *οὕτως* om. ekl. 7) *ὥστε* ek et Laur., qui quod sequitur *τὸν* om. (Bk. Br. Di. BS. Fr. Bens.), *ὡς* cett. cf. Maetzn. ad Antiph. 1, 28. 8) *καὶ* om. Laur. 9) *προσωμολογημένα* Cobet. ad Hyperid. Epit. p. 31 cum cdFhq. 10) *πότερον* ehl et *γρ.* m. 11) *δὲ* Barb. 12) *στεφάνῳ* om. c. 13) „*ψέγεσθαι* languet. Sensui sufficeret *ἀπολέσθαι*. cf. §. 131". edd. Turicc. 14) *ψ. κ. παράν.*] *παράνομα καὶ ψευδῆ* egkl. 15) *δοῦναι* Bk. Br. Di. cum ekl.

§. 54. 1) *δὲ* om. l. 2) *τέσσαρες* c. 3) *πολιτεύεται* l. 4) *πρῶτον* cdFghmqz Laur. Flor. Barb. (BS. Fr.), *πρῶτον ἁπάντων* anp Vat. Bern., *πάντων πρῶτον* cum cett. Bk. Br., *πάντων* uncis incl. Di. 5) *καταλογίζεται — ἀκούω* (§. 55) om. pr. n. 6) *τὸν χρόνον* om. mg. n. 7) *ἀφορίζεται* ekl (BS. Fr.), *ἀφο-*

ἔγραψε καὶ αὐτὸς οὗτος[8] μετ' ἐκείνου,[9] ὡς ἐγὼ δείξω. δεύ- 55
τερον δέ φησι[1] γενέσθαι[2] ὃν ἡγομεν χρόνον[3] τὴν εἰρήνην,
δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρ-
χουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ[4] ἔγραψε τὸν
πόλεμον· τρίτον δ' ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυ-
443 χίας τῆς[5] ἐν Χαιρωνείᾳ, τέταρτον δὲ[6] τὸν νῦν παρόντα καιρόν. ταῦτα δὲ[7] καταριθμησάμενος, ὡς ἀκούω, μέλλει[8] με[9] παρακαλεῖν[10] καὶ ἐπερωτᾶν, ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν[11] κατηγορῶ[12] καὶ πότ' αὐτὸν[13] οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι, ἀλλ' ἐγκαλύπτωμαι[14] καὶ ἀποδιδράσκω, ἐκκαλύψειν[15] μέ φησι προσελθὼν καὶ ἄξειν[16] ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν[17] ἀποκρίνασθαι.

15. Ἵν' οὖν μήθ' οὗτος[1] ἰσχυρίζηται ὑμεῖς τε προειδῆτε,[2] 56
ἔγωγ' ἀποκρινοῦμαι[3] ἐναντίον σοι τῶν δικαστῶν, Δημόσθε-
νες,[4] καὶ τῶν ἄλλων πολιτῶν,[5] ὅσοι δὴ[6] ἔξωθεν[7] περιεστᾶσι,
444 καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγονεν ἐπακούειν[8] τῆσθε τῆς κρίσεως· ὁρῶ δ' οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε[9] μέμνηται[10] πρὸς ἀγῶνα δημόσιον παραγενομένους· ἀποκρινοῦμαι[11], ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρεῖς,[12] κἂν οἵ τε θεοὶ θέλωσι καὶ 57

ρίζεται τὸν (τὸν om. mg. n) χρόνον cett. 8) οὕτω el. 9) ἐκεῖνον l.

§. 55. 1) φησι gm (BS. Fr. Bens.), φησι καιρόν aepz Vat. Laur. Flor., καιρὸν φησι dFkl Barb. (Bk. Br. Di.), φήσει καιρὸν q, καιρὸν φήσει ch (Rsk.), χρόνον φησὶ n. 2) γενέσθαι om. Laur. 3) καιρὸν n. 4) ῥήτωρ ante οὗτος ponit m, οὗτος om. n. 5) τῶν eklz Flor. 6) δὴ δὲ om. Flor. 7) γὰρ h. 8) μέλλειν cdFgmnp Vat. Laur. Barb. 9) μὲν p Vat. Barb. 10) καλεῖν deF Barb. et pr. h. 11) αὐτοῦ καιρῶν] καίρων αὐτοῦ z, καιρῶν αὐτοῦ q Flor. 12) ὁποίου — κατηγορῶ om. ekl et pr. z. 13) αὐτῶν Laur. 14) ἐγκαλύπτομαι Fhkq Vat. Laur. Barb. Bern., ἐγκαλύπτεσθαι l. 15) ἐκκαλύψει el, ἐγκαλύψειν n, καὶ ἐκκαλύψειν Laur. 16) αὔξειν l, ἕλξειν Cobet. in Mnemos. VIII. p. 161. 17) ἀναγκάζειν cdeFkq Flor. Barb. (Ald. Wolf.).

§. 56. 1) οὕτως Laur. 2) προϊδητε dFhq Barb. (Ald. Wolf.). 3) ἔγωγ' ἀποκρινοῦμαι de coni., ἐγώ τε ἀποκρίνομαι dq Vat., ἐγώ τε ἀποκρινοῦμαι p, ἐγὼ τε ἀποκρίνωμαι cett. codd., ἐγὼ (ἔγωγε coni. Saupp.) ἀποκρίνομαι edd. Turicc., ἐγὼ τί ἀποκρινοῦμαι Bakius, deleri vult Hamaker. l. c. p. 4, haec duo τε ἀποκρίνωμαι deleta vult Frank. 4) δημοσθένει pr. F. 5) τῶν ἄλλων πολιτῶν] τῶν πολιτῶν καὶ τῶν ἄλλων ekl. 6) δὲ acdFq Laur. τε Barb., δε ghm, τε n: om. ekl Flor. 7) ἔξω kl Flor. 8) ὑπακούειν libri. ἐπακούειν Marklandus coniecit posuitque Bk. in ed. Oxon. cf. Bakius l. c. et Cobet. N. LL. p. 521. 9) ποτε ekl Flor. 10) μέμνηται ante πώποτε ponit h. 11) ἀποκρινοῦμαι agkmnz Laur. Flor. et corr. h, ἀποκρινῶμαι el, ἀποκρινοῦμεν Vat., ἀποκρίνομαι cett. 12) διαιρεῖς agmnp Vat. Laur., διαιρῇ cett., ut 2, 121. cf. ll. cc. apud C. Scheibium in Jahni Ann. 68. p. 154.

οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι κἀγὼ δύνωμαι[1] ἀπομνημονεῦσαι ἃ σοι[2] σύνοιδα, πάνυ προσδοκῶ ἐπιδείξειν[3] τοῖς δικασταῖς[4] τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς[5] θεοὺς αἰτίους[6] γεγενημένους καὶ τοὺς[6] φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους,[7] τῶν δ' ἀτυχημάτων ἁπάν- 445
των[9] Δημοσθένην.[10] καὶ[11] χρήσομαι τῇ τοῦ λόγου τάξει[12] ταύτῃ, ἣν[13] τοῦτον πυνθάνομαι ποιεῖσθαι μέλλειν,[14] λέξω[15] δὲ[16] πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς[17] καὶ τέταρτον περὶ τῶν νῦν[18] καθεστηκότων πραγμάτων. καὶ δὴ[19] ἐπανάγω[20] ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58 16. Ὑμῖν[1] γὰρ[2] ἐξεγένετ' ἄν, ὦ[3] Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην[4] εἰρήνην[5] ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς[6] εἴασαν περιμεῖναι τὰς[7] πρεσβείας, ἃς ἦτ' ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν 446
Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον,[8] καὶ προϊόντος[9] τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων[10] ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην[11] καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν[12] συ-
59 στάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. εἰ δέ τισιν ὑμῶν ἐξαίφνης[1] ἀκούσασιν ἀπιστότερος[2] προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως[3] τὴν ὑπόλοιπον ποιήσασθ'[4] ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθ'[5] ἐπὶ τοὺς λογισμούς. ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν

§. 57. 1) δύναμαι adFq Barb. 2) σοι om. agmn. 3) ἐπιδείξειν ἀπο aeklp Laur. Flor. et γρ. gm, ἐπιδείξειν ἐπιγράψειν Vat., ἀποδείξειν h, ἐπιγράψειν gmn, ἀποδείξειν cett. 4) τοὺς δικαστάς Barb. 5) τοὺς δὲ l. 6) αἴτιον t. 7) καὶ τοὺς] τῇ πόλει e. 8) χρησαμένους ἀνθρώπους Bern. 9) ἁπάντων om. an δὲ pr. Fhm. 10) Δημοσθένην Taylor. (prob. Bait.), δημοσθένην γεγενημένον αἴτιον ekl Flor., δημ. αἴτιον γεγ. cett. Omnia haec inde a vv. τῶν δὲ usque ad γεγενημένον om. q. 11) καὶ om. Laur. 12) τοῦ λόγ. τάξει] τάξει τοῦ λόγου ekl. 13) ἣ ekl. 14) ποιεῖσθ. μέλλειν] μέλλειν ποιεῖσθαι eklz Flor. (Bk. Br. Di.). 15) λέγω ekl. 16) δὴ el. 17) τοῦ ἑ.] τῶν ἐφεξῆς cdFq Barb., τοῦ τρίτου p. 18) νυνὶ ekl. 19) ἤδη ekl Bern. schedae Scrimg. mg. Steph. 20) ἐπανάγων l.

§. 58. 1) ἐμοὶ Laur. 2) δὲ n, om. q. 3) ὦ ἄνδρες Mor. 4) ἐκείνην om. ekl. 5) νίκην pr. g. 6) εἴ τινες ὑμ.] οἵτινες ἡμᾶς kl. 7) περιμείναντας Rsk. 8) vv. μετασχεῖν ἑλληνικοῦ συνεδρίου, quae codd. post ἐπὶ Φίλιππον praebent, cum Hamakero in Mnem. VIII. p. 5 probante Frankio delevi. Scholiasta fortasse ea non legit. cf. etiam §. 64. 9) προσιόντος cd. 10) ταύτην n. 11) Δημ. κ. Φιλ.] φιλοκράτην καὶ δημοσθένην el. 12) ἐδωροδόκουν e.

§. 59. 1) ὑμ. ἑξ.] ἐξαίφνης ὑμῶν e. ως 2) ἄπιστος eklBern. 3) ἐκεῖνος Vat. 4) ποιήσασθαι ae Vat. 5) καθε-

447 ἐνίοτε[6] δόξας ἔχοντες·[7] ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν[8] ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας[9] ἀληθὲς[10] εἶναι, ὅ τι[11] ἂν αὐτὸς[12] ὁ λογισμὸς αἱρῇ.[13] 17. οὕτω 60
καὶ νῦν[1] τὴν ἀκρόασιν ποιήσασθε.[2] εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἤκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν[3] δόξαν, ὡς ἄρ' ὁ Δημοσθένης οὐδὲν πώποτ' εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, — ὅστις οὕτω διάκειται,[4] μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἂν[5] ἀκούσῃ·[6] οὐ γὰρ δίκαιον. ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσηθ'[7] ὑπομιμνήσκοντος[8] τοὺς καιροὺς[9] καὶ τὸ ψήφισμα[10] παρεχομένου, ὃ[11] μετὰ Φιλοκράτους ἔγραψε[12] Δημοσθένης, ἐὰν αὐτὸς ὁ[13] τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ[14] τὸν Δημοσθένην[15] πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους[16] περὶ
448 τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ' ὑπερβολὴν δ' αἰ- 61
σχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέ-
449 σβεις,[1] αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ[2] μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων[3] ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα[4] Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα,[5] ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, — ἐὰν[6] ταῦθ'[7] ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον[8] τῶν τεττάρων καιρῶν μὴ καλῶς

ξόμεθα kl Vat. Flor. 6) *ἐνίοτε* ante *ψευδεῖς* ponunt ekl. 7) *κατὰ τὸν λογισμὸν* add. ekl, *κατὰ τῶν λογισμῶν* cett. libri post *ἔχοντες*. „*ἐπὶ τοὺς λογισμοὺς* et *κατὰ τῶν λογισμῶν* malim abesse. Priora maluit etiam Dobreeus". Saupp. 8) *ἡμῶν* z Flor. Steph. (Bk. Br. Di. Fr. Bens.), *ὑμῶν* cett., quod post *ἐστὶν* ponunt ekl. 9) *ἐπαινέσας* p, *καὶ ἐπινεύσας* om. ekl. 10) *ἀληθῆ* Laur. 11) *ὃ δ'* pr. F. 12) *αὐτὸς* om. ekl. 13) *αἱρῃ* pr. F.

§. 60. 1) *καὶ νῦν* om. kl, *καὶ* om. e. 2) *ποιήσασθαι* e. 3) *τὴν* om. q. 4) *διάκειται πρὸς αὐτὸν* k. 5) *πρὶν ἄν* Reisig. in coni. p. 66. (BS. Fr. Bens.), *πρὶν* libri. 6) *ἀκούσει* n, *ἀκούσει* agm, *ἀκούσοι* kl. *πρὶν — ἀκούσῃ* om. Laur. 7) *ἀκούσαντες* h et *γρ.* m, *ἀκούσαντε* pr. F. 8) *ὑπομιμνήσκοντες* Flor. 9) *τοὺς κ.*] *τοῦ καιροῦ* pr. h. 10) *τὸ ψ.*] *τὰ ψηφίσματα* ekl. 11) *ἅ* ekl. 12) *γέγραφε* ekl. 13) *αὐτὸς ὁ*] *ὁ αὐτὸς* ekl. 14) „*καταλαμβάνῃ*?" Frank. 15) *δημοσθένη* e. 16) *μετὰ φιλοκράτους* cdFghq Laur. Barb., *μετὰ* uncis inclus. Rsk.

§. 61. 1) *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις* H. Wolfius (BS. Fr. Bens.), *καὶ οὐκ ἀναμείναντα τοὺς πρέσβεις* ekl, *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐ παραμείναντα* a, *καὶ τοὺς παρ' ἐκεῖνον πρέσβεις οὐκ ἀναμείναντα* n, *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα* cett. 2) *τοῦ* om. ekl. 3) *τῶν ἑλλήνων* om. agmnz Flor. et pr. Laur., deleri vult C. Scheibius l. c. p. 154. 4) *Φιλ. πεποιηκ.*] *πεποιηκότα φιλίππῳ* ekl. 5) *τὸν Θρᾴκης βασιλέα* om. p. 6) *ἄν* e. 7) *τοῦθ'* kl. 8) *ἕνα* agklmnpz Vat. Laur. Flor. cf.

αὐτὸν[9] πεπολιτεῦσθαι. λέξω δ' ὅθεν μάλιστα παρακολουθήσετε.[10]

62 Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα[1] καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης·[2] τοῦτο[3] τὸ ψήφισμ' ἐγράφη παρανόμων.[4] ἦκον οἱ τῆς κρίσεως χρόνοι·[5] κατηγόρει μὲν Λυκῖνος[6] ὁ[7] γραψάμενος, ἀπελογεῖτο[8] δὲ[9] Φιλοκράτης,[10] συναπελογεῖτο δὲ[11] καὶ[12] Δημοσθένης· ἀπέφυγε Φιλοκράτης.[13] [14]

18. μετὰ ταῦτ' ἐπῆει χρόνος[15] Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' 451
εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν[16] ἅπαντα καὶ λέγοι καὶ πράττοι[17] Φιλοκράτει, ὡς 452
63 αὐτὸ ἔδειξε τοὔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης,[1] ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι ὡς[2] Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας[3] πέμπειν[4] ὑπὲρ τῆς[5] εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ[6] τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγελλε,[7] καὶ μόνος τῶν ἄλλων[8] βουλευτῶν ἔγραψε σπείσασθαι[9] τῷ κήρυκι τῷ ἀπὸ[10] τοῦ[11] Φιλίπ- 453
που καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων[12] Φιλοκράτει· ὁ μέν γε[13] τὴν ἐξουσίαν ἔδωκε[14] τοῦ δεῦρο κήρυκα[15] καὶ πρέ-
64 σβεις πέμπεσθαι, ὁ δὲ τῇ πρεσβείᾳ σπένδεται.[16] τὰ δὲ μετὰ ταῦτ' ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν.[1]

Scheibius l. c. 9) αὐτῶν Laur. 10) παρακολουθήσατε Barb.

§. 62. 1) κήρυκα ekl sched. Scrimg. (Bk. Br. Di. BS. Fr.), κήρυκας cett. 2) καὶ συμμαχίας post εἰρήνης add. codd. praeter ekl (Rsk. Bk. Br. Di. Bens.). Vulgatam defendit Benseler. ad h. l. cf. §§. 65, 68. 2, 14. 3) τουτὶ cdFh Laur. 4) παρὰ νόμον d. 5) νόμοι q. 6) λυκῖνος om. an Laur. et pr. gm. 7) ὁ om. ekl. 8) ἀπελογεῖτο om. c. 9) δὲ om. acFghmn Laur Barb. 10) ἐξεῖναι — Φιλοκράτης om. p et Vat. qui ea habet in mg. 11) Φιλοκράτης — δὲ om. Flor., Φιλοκράτης om. c.. 12) καὶ ὁ cp, καὶ om. ekl Laur. 13) συναπελογεῖτο — Φιλοκράτης om. d. 14) ἀπέφυγε Φιλ.] διέφυγεν ὁ φιλοκρ. ekl. 15) ὁ χρόνος gmn (Rsk. Bk. Br. Di.), ἐπῆει χρόνος delet Hamaker. l. c. p. 8. cf. Bakius l. c. p. 422. 16) ἀποδοχὴν cde, ὑπερδοχὴν q a manu pr., ὑπεγδοχὴν a sec. 17) λέγοι καὶ πράττοι] λέγῃ καὶ πράττῃ h, λέγει καὶ πράττει d.

§. 63. 1) ὁ φιλοκρ. ekl. 2) ὡς eklpz Vat. Laur. Flor., πρὸς cett. cf. 1, 51, 56, 57. 3) ὡς αὐτοκράτορας cp Vat. 4) ἀποστέλλειν ekl. 5) τῆς om. cdFhq Barb. 6) ταῦτα q Vat. Laur. (Ald. Wolf.). 7) ἀπήγγελε den, ἀπήγγειλε hq Barb. (Rsk. Bk. Br. Di.). 8) ἄλλων om. deFhklq Barb. 9) πείσασθαι Vat. 10) ἀπὸ ut est in q. cum Wolfio et Valckenario (Oratt. p. 352) Bk. Br. Di. BS. Fr. Bens., ὑπὸ cett. libri. 11) τοῦ om. ae. 12) γράφειν Laur. 13) δὲ q. 14) ἔδωκε ekl (Bk. Br. Di. Fr.). δέδωκε cett. 15) κήρυκας cdFhq Barb. 16) σπένδεσθαι ekl.

§. 64. 1) μοι — νοῦν] σφόδρα μοι τὸν νοῦν προσέχετε ekl (Bk. Br.

Ἐπράττετο[2] γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ
454 συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους,[3]
ἀλλὰ πρὸς Φιλοκράτην[4] καὶ Δημοσθένην,[5] εἰκότως, τοὺς ἅμα
μὲν πρεσβεύοντας, ἅμα δὲ[6] τὰ[7] ψηφίσματα γράφοντας, πρῶ-
τον[8] μὲν ὅπως μὴ περιμενεῖτε[9] τοὺς πρέσβεις, οὓς ἦτ' ἐκπε-
πομφότες παρακαλοῦντες[10] ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν
ἄλλων[11] Ἑλλήνων, ἀλλ' ἰδίᾳ[12] ποιήσησθε[13] τὴν[14] εἰρήνην·
δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην,[1] ἀλλὰ καὶ συμμα- 65
χίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον,[2] ἵν', εἴ τινες προσέ-
χοιεν[3] τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν
ἀθυμίαν[4] ὁρῶντες[5] ὑμᾶς[6] αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ
τὸν πόλεμον,[7] οἵκοι δὲ μὴ μόνον εἰρήνην,[8] ἀλλὰ καὶ συμμα-
χίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δ' ὅπως Κερσοβλέπτης
455 ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ[9] μετέσται τῆς
συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ. παρηγγέλλετο[10] δ' ἐπ' αὐ-
τὸν ἤδη[11] στρατεία.[12] 19. καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ 66
ᾐδίκει, πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέσητον
ἦν αὐτῷ πράττειν τὰ συμφέροντα, οἱ δ' ἀποδόμενοι καὶ κα-
τακοινωνήσαντες[1] τὰ[2] τῆς πόλεως ἰσχυρὰ μεγάλης ὀργῆς
ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι καὶ τότε
μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν[3] ἐμοὶ προφέρων τὴν
Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαι-
ρούμενος, ἐκκλησίαν ποιεῖν[1] τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱστα- 67
μένου[2] τοῦ ἐλαφηβολιῶνος μηνός, ὅτ' ἦν τῷ[3] Ἀσκληπιῷ ἡ
456 θυσία καὶ ὁ[4] προάγων,[5] ἐν τῇ ἱερᾷ ἡμέρᾳ,[6] ὃ[7] πρότερον οὐ-

Di.). 2) ἐπράττοντο c. 3) τοῦ δημοσθένους c. 4) φιλοκράτη cdFq Barb. 5) δημοσθένη cdFq Barb. 6) δὲ καὶ el. 7) τὰ om. cFhq Barb. 8) πρῶτον] hinc altera manus e. 9) περιμενεῖτε mg. Bern., Steph., Bk. in ed. Hal. vid. §. 65. cf. Cobet. N. LL. p. 65, Hamakerus l. c., περιμείναιτε coni. Saupp., περιμείνητε libri. 10) παρακαλοῦντας cum Marklando Cobet. l. c. coll. §. 68. cf. §§. 58. 65. 2, 60. 11) ἄλλων om. ekl. 12) ἀλλ' ἰδίᾳ] ἀλλὰ δίχα h et pr. F. 13) ποιήσαισθε Bk. in ed. Hal. 14) τὴν om. ekl.

§. 65. 1) δεύτερον — εἰρήνην om. q. 2) πρὸς Φίλιππον om. Laur. 3) προσεῖχον klp. 4) ἀτιμίαν h. 5) ὁρῶντας l, ὁρῶντας k. 6) ὑμᾶς post μὲν ponunt ekl, ἡμᾶς d. 7) τὸν πόλ.] τὸν πρὸς φίλιππον πόλεμον ekl. 8) τὴν εἰρήνην c. 9) μηδὲ Bk. Br. Di. BS. Fr. Bens., μήτε libri, quos Maetzn. ad Antiph. p. 196 sequitur. 10) παρήγγελτο Cobet. N. LL. p. 422., sed cf. §. 90". Frank. 11) ἐπ' αὐτὸν ἤδη] ἤδη ἐπ' αὐτὸν ekl (Bk. Br. Di.). 12) στρατία cdFh Barb.

§. 66. 1) κατακοινώσαντες k (Rsk.). 2) τὰ om. cd. 3) ξενιτείαν pr. Vat.

§. 67. 1) ποιεῖσθαι deklp, σθαι ποιεῖν Vat. 2) ἱσταμένῃ cdFq Barb. 3) τῷ om. ekl. 4) ὅτ' ἦν egklmnpz Vat. Flor. Mor. 5) προάγων gklmn, προαγὼν cett. cf. Arcad. p. 10[1], 20 et Dindorf. in Stephani thes. s. v. 6) vv. ἐν τῇ ἱερᾷ ἡμέρᾳ Bakio l. c. suspecta sunt. 7) ᾗ F Barb., ἥ c; om. a.

δεὶς μέμνηται γενόμενον,[8] τίνα πρόφασιν ποιησάμενος; ἵνα, 457
φησίν, ἐὰν ἤδη παρῶσιν[9] οἱ τοῦ[10] Φιλίππου πρέσβεις, βου-
λεύσηται ὁ δῆμος[11] ὡς[12] τάχιστα περὶ τῶν πρὸς Φίλιππον,[13]
τοῖς οὔπω[14] παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλη-
σίαν καὶ τοὺς χρόνους ὑμῶν[15] ὑποτεμνόμενος καὶ τὸ πρᾶγμα
κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων ἐπανελθόν-
των τῶν ὑμετέρων[16] πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε[17] τὴν
68 εἰρήνην. μετὰ δὲ[1] ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι,[2] ἦκον οἱ τοῦ[3] Φιλίπ-
που πρέσβεις· οἱ δ' ὑμέτεροι[4] ἀπεδήμουν.[5] ἐνταῦθ'[6] ἕτερον
ψήφισμα νικᾷ[7] Δημοσθένης,[8] ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ
τῆς[9] εἰρήνης, ἀλλὰ καὶ[10] συμμαχίας ὑμᾶς[11] βουλεύσασθαι,[12] 458
μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους,[13] ἀλλ' εὐ-
θὺς μετὰ τὰ[14] Διονύσια τὰ[15] ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἑνάτῃ
ἐπὶ δέκα.

Ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.[16]

ΨΗΦΙΣΜΑΤΑ.[17]

69 20. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι,[1] παρεληλύθει[2] τὰ Διο-
νύσια, ἐγίγνοντο[3] δ' αἱ[4] ἐκκλησίαι, ἐν τῇ[5] προτέρᾳ τῶν ἐκ-
κλησιῶν ἀνεγνώσθη δόγμα[6] κοινὸν[7] τῶν συμμάχων, οὗ τὰ 459
κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ[8] ἔγρα-
ψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμ-

8) γεγονὸς ehkl. 9) ἤδη παρῶσιν] παρῶσιν ἤδη ekl. 10) τοῦ om. ekl (Bk. Br. Di.). 11) φίλιππος ekl. 12) ὡς om. cdFp Vat. Barb. 13) φίλιππον πρέσβεων cdFhq Barb. 14) οὔτω Vat. 15) ἡμῶν ekl. 16) ἡμετέρων acdeFghlmnqz Vat. Flor. Barb. 17) ποιήσασθε Barb.

§. 68. 1) δὲ om. ek. 2) ὦ ἄνδρες Ἀθηναῖοι BS. Fr. Bens., ὦ ἄνδρες Ἀθ. cett. Nihil de suis libris annotavit Bk., mei vero omnes praebent ὦ Ἀθηναῖοι. 3) τοῦ om. ekl (Bk. Br. Di.). 4) ὑμέτεροι edd. cum Ald., ἡμέτεροι codd. 5) Post ἀπεδήμουν codd. dant vv. παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον, quae ut mala repetita ex §§. 64 et 65 delevi. cf. §. 67 extr. 6) ταῦθ' F. 7) ψ. ν.] νικᾷ ψήφισμα ekl. 8) δημοσθένους g. 9) τῆς om. dFhq Barb. 10) καὶ περὶ ekl. 11) ὑμᾶς pz Laur. et edd. cum Ald., om. ekl, ἡμᾶς cett. 12) βουλεύεσθαι t. 13) ἡμετέρους ekl Flor. 14) τὰ om. egmn Vat. Laur. 15) τὰ om. p. 16) ἀν. τ. ψ.] τῶν ψηφισμάτων ἀκούσατε ekl. 17) titulum om. ap Vat. Laur.

§. 69. 1) ὦ Ἀθηναῖοι om. ekl, post Διονύσια ponunt gmn. 2) παρελήλυθε ekl. 3) ἐγένοντο p Vat. αἱ 4) δὲ αἱ] δέκα h, δὲκα el, δὴ αἱ mg. n, δὲ k. 5) ἐν τῇ de coni. Frankii, ἓν δὲ τῇ libri. 6) ἀνεγνώσθη δόγμα Taylor. (Br. BS. Fr. Bens.) τῇ ὀγδόῃ ἐπὶ δέκα ἀνεγνώσθη δόγμα ekl, ἀνεγνώσθη δόγμα τῇ ὀγδόῃ ἐπὶ δέκα Rsk. cum cett. libris, ἀνεγνώσθη δόγμα [τῇ ὀγδ. ἐπὶ δέκα] Bk. ον Di. 7) κοινῶς Vat., κοινὸν post τ. συμμάχων ponit e. 8) γὰρ om.

μαχίας ὄνομ' ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι,[9] ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτ' ἀπήντησαν[10] ὀρθῶς ἰασόμενοι[11] τὸ Δημοσθένους δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βου- 70
λομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ[1] μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι[2] μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα[3] προκαταλαμβάνοντες,[4] πρῶτον μὲν[5] τὸν χρόνον τὸν[6] τῆς τριμήνου ταῖς τῶν[7] Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι[8] παρασκευάζοντες,[9] ἔπειτα τὴν τῶν Ἑλλήνων[10] εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου[11] κτώμενοι, ἵν' εἰ παραβαίνοιν' αἱ[12] συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν, ἃ νῦν ἡμῖν[13] παθεῖν συνέβη διὰ Δημοσθένην.

Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες, μαθήσεσθε.

ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.[14]

Τούτῳ τῷ δόγματι[1] συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν 71
τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς,[2] ὡς ἔσται μὲν ἡ[3] εἰρήνη, περὶ δὲ[4] συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλ-
461 λήνων παράκλησιν βουλεύσασθαι,[5] ἔσται δὲ κοινῇ[6] μετὰ τῶν Ἑλλήνων ἁπάντων.

21. Νὺξ ἐν μέσῳ, καὶ παρῆμεν[7] τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν.[8] ἐνταῦθα δὴ[9] προκαταλαβὼν[10] Δημοσθένης τὸ βῆμα,[11] οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον,[12] οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι[13] λόγων, εἰ ταῦθ'[14] οἱ Φιλίππου μὴ συμπεισθήσονται[15] πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη

gmn. 9) ἐπιλελημένοι Ald. 10) σὺ ἀπήτησαν p. 11) ἰασάμενοι h, ἰασάμενοι eFg.

§. 70. 1) τισὶ el. 2) ἀναγράφεσθαι ek, quod Bakius l. c. p. 321 mavult ἀναγεγράφεσθαι l. 3) τὰ μέγιστα ehkl. 4) προσκαταλαμβάνοντες cdFq Laur. Barb. 5) μὲν ehkl Flor., μὲν οὖν cett. 6) τὸν om. cdFpq Barb. 7) τῶν om. pr. m. 8) παραγενέσθαι ekl. 9) παρα κατασκευάζ. h, κατασκευάζοντες ekl. 10) τῶν Ἑλλήνων om. g. 11) τοῦ συνεδρίου e. 12) αἱ om. Vat. 13) ἡμῖν gkmn Flor., ὑμῖν cett. 14) titulum om. ap Vat.

§. 71. 1) ψηφίσματι ekl. 2) ὑπειληφὼς eklp Vat. Laur. 3) ἡ om. dlz Vat. (quiid in scholiis habet) et Flor. 4) δὲ τῆς a. 5) βουλεύεσθαι ekl. 6) κοινῇ gklmn. 7) παρῆμεν Cobet. V. LL. p. 34: vid. Schneidewini Philolog. XIII. p. 613. 8) εἰς τ. ἐ.] ἐν τῇ ἐκκλησίᾳ a. 9) δὲ h. 10) προκαταλαβὼν ekl Barb., προκαταλαμβάνων cett. Hamakerus l. c. et παραλείπων scribendum esse censet. 11) τὸ βῆμα ante Δημοσθένης ponit ekl. 12) λόγων d. 13) εἶναι om. pr. d, post λόγων ponit a. 14) εἰ ταῦθ'] ἐνταῦθ' mn. 15) πεισθήσονται Laur., συμπαθήσονται pr. q.

72 τὴν εἰρήνην ἀπούσης συμμαχίας. οὐ γὰρ ἔφη δεῖν, καὶ γὰρ τὸ[1] ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν[2] τοῦ λέγοντος ἅμα[3] καὶ τοῦ ὀνόματος, ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν,[4] οὐδὲ τὰ[5] τῶν Ἑλλήνων ἀναμένειν μελλήματα,[6] ἀλλ' ἢ πολεμεῖν αὐτοὺς[7] 462
ἢ τὴν εἰρήνην ἰδίᾳ[8] ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας[9] Ἀντίπατρον ἐρώτημά τι[10] ἠρώτα, προειπὼν μὲν[11] ἃ[12] ἐρήσεται,[13] προδιδάξας[14] δ' ἃ χρὴ κατὰ[15] τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτ' ἐνίκα,[16] τῷ μὲν λόγῳ προσ-
73 βιασαμένου[17] Δημοσθένους,[18] τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. ὃ δ' ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν[1] ἐπὶ Θρᾴκης τόπον[1] ἔκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ[2] ἐλαφηβολιῶνος μηνός,[3] πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν[4] οὑτοσὶ[5] ῥήτωρ δὶς ἐπρέσβευεν[6] ἐν Μακεδονίᾳ,[7] ἑξὸν μηδ' ἅπαξ, ὁ νυνὶ κε- 463
λεύων τῶν Μακεδόνων καταπτύειν.[8] εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω,[9] καθεζόμενος[10] βουλευτὴς ὢν ἐκ παρα-
74 σκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης[1] ἐν τῷ[2] ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων[3] παρεγγράψας,[4] ὁ δ' ἐπιψηφίσας, 464
Δημοσθένης[1 5] "ἀποδοῦναι[6] τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς[7] 465
παρὰ[8] Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων." παρὰ[8] δὲ[9] Κερσοβλέπτου[10] σύνεδρος οὐκ ἐκάθητο·

§. 72. 1) καὶ γὰρ τὸ] τὸ γὰρ eK. 2) ἀδικίαν h. 3) οἶμαι mn. 4) τ. εἰρ. τ. συμμ.] τὴν συμμαχίαν τῆς εἰρήνης ekl. 5) τά om. cdFq Barb. 6) μελήματα d Vat., μελετήματα el. 7) εὐθὺς Bakius, αὐτοὺς defendit C. Scheibius l. c. p. 160. 8) ἰδίαν lpq, ἰδείαν c. 9) καλέσας cdFhq Barb. 10) τι om. ekl. 11) μὲν om. t. 12) ἃ ante μὲν ponit Laur. 13) αἱρήσεται h, αἱρήσεται F Barb., εἰρήσεται gmn. pro 14) παραδιδάξας Vat. Laur. 15) περὶ a. 16) ἐνίκησε l. 17) προσβιασαμένου Reisk., προβιασαμένου codd. 18) τοῦ δημ. cdFhq Barb. Flor.

§. 73. 1) τὸν om., τόπον supra versum ponit h. 2) τοῦ om. z. 3) μηνὸς om. agmn Flor. (BS. Fr. Bens.). cf. §§. 27, 67, 98 cett. 4) ἡμῖν ekl. 5) οὑτοσὶ agmnp, οὑτωσὶ Vat., οὗτος cett. 6) ἐπρέσβευεν p Vat. et edd. ante Reiskium, ἐπρέσβευσεν cett. 7) εἰς Μακεδονίαν Bk. Br. Di. cum ekl prob. Frankio. 8) καταπλεῖν l. 9) λέγω om. n, post καθεζόμενος ponunt ag Laur. et γρ. m. 10) προκαθεζόμενος Bern. schedae Scrimg. et mg. Steph.

§. 74. 1) Φιλοκράτης et infra Δημοσθένης delet Bakius l. c. 2) τῷ coni. Frank., om. libri. 3) γραμμάτων τοῦτο Bern. 4) προγράψας q. 5) vv. ἐν ᾧ γέγραπται, quae codd. dant post Δημοσθένης cum Marklando probantibus Bait. et Frankio delevi. 6) ἀποδοῦναι δὲ Bk. Br. Di. cum ekl. 7) τοῖς om. αα el. 8) περὶ h. 9) δὲ om. gmn Vat. 10) τοῦ κερσοβλ. cdFhq Barb., κερσοβλέπτη e.

γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντ' ἐξέκλησε τῶν ὅρκων.

Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν[1] ὁ ταῦτα γρά- 75
ψας[2] καὶ τίς ἦν[3] ὁ ταῦτ' ἐπιψηφίσας.[4]

ΨΗΦΙΣΜΑ. ΠΡΟΕΔΡΟΣ.[5]

22. Καλὸν, ὦ ἄνδρες[6] Ἀθηναῖοι, καλὸν ἡ[6] τῶν δημοσίων γραμ-
466 μάτων[7] φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ συμμεταπίπτει[8] τοῖς αὐτομολοῦσιν[9] ἐν τῇ[10] πολιτείᾳ, ἀλλ' ἀπέδωκε[11] τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηροὺς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.

Ὑπόλοιπον δέ μοι ἐστὶ[1] τὴν κολακείαν αὐτοῦ[2] διεξελθεῖν. 76
Δημοσθένης γάρ, ὦ ἄνδρες[3] Ἀθηναῖοι, ἐνιαυτὸν βουλεύσας οὐδε-
μίαν πώποτε[4] φανεῖται[5] πρεσβείαν εἰς προεδρίαν καλέσας,[6]
ἀλλὰ τότε μόνον καὶ πρῶτον[7] πρέσβεις[8] εἰς προεδρίαν[9] ἐκά-
467 λεσε[10] καὶ προσκεφάλαι' ἔθηκε καὶ φοινικίδας περιεπέτασε[11]
καὶ ἅμα τῇ ἡμέρᾳ ἠγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε
καὶ συρίττεσθαι[12] διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν.[13] καὶ
ὅτ' ἀπῆσαν,[14 15] ἐμισθώσατ' αὐτοῖς τρία[16] ζεύγη ὀρικὰ[17] καὶ[18]
προὔπεμψεν εἰς Θήβας, καταγέλαστον[19] τὴν πόλιν ποιῶν.

§. 75. 1) ἦν om. h. 2) γράφων ekl. 3) τίς ἦν ekl Vat. Laur. Barb., τίς cett. cf. §. 165 extr. 4) πρόεδρος, quod habent libri post ἐπιψηφίσας ut e titulo ortum prob. Frankio delevi. 5) πρόεδροι deFkqt Barb., om. ap Vat. Laur. Flor. 6) ἡ om. Barb. 7) πραγμάτων acdeFgmnp Vat. Barb. Aristid. rhet. 1, 2 et Alex. fig. 13 (Bens.), γραμμάτων πραγμάτων h. 8) μεταπίπτει aegklmn Vat. Laur. Barb. Flor. (Ald. Steph.). 9) ἀντιμεταβαλλομένοις αὐτομολοῦσιν ekl. 10) τῇ om. agmnpz Vat. Laur. Flor. 11) ἀπέδωκε ekl Mor. (BS. Fr.), ἔδωκε Hamaker. Mnemos. VIII. p. 7, ἐπέδωκε cett.

§. 76. 1) δέ μοι ἐστί] δ' ἐστί μοι ekl (Bk. Br. Di.). cf. §. 103. 2) αὐτοῦ om. ekl, αὐτῷ Laur., αὐτῶν cp. 3) ὦ ἄνδρες Ἀθ. ekl (Bk. Di.): om. cett. 4) πώποτε om. ekl Mor. 5) φανήσεται ekl Mor. 6) παρακαλέσας h. 7) μόνον καὶ πρῶτον] πρῶτον καὶ μόνον ekl (Bk. Br. Di.). cf. §. 77. 8) πρέσβ. om. z. 9) προσεδρίαν a. 10) ἔθηκε dFq Barb. 11) περιεπέτασε om. h. 12) διασυρίττεσθαι Laur. 13) τὴν κολακείαν a. 14) ἀπῆσαν Frank. 15) εἰς Θήβας, quae vv. habent libri post ἀπῆσαν, cum Tayloro delent BS. Fr. Bens. 16) τρία om. ει Laur. 17) ὀρικὰ ghn, ὀρεικὰ e, βοῶν a. 18) τοὺς πρέσβεις, quae vv. habent codd. post καὶ, cum Tayloro delent BS. Fr. Bens. 19) ἐγκαταγέλαστον gmn; totum hoc καταγελαστον τ. π. π. ante ἐμισθώσατο ponit a, καταγελ. —

Ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λαβέ μοι τὸ ψήφισμα τὸ περὶ[20] *τῆς*[21] *προεδρίας.*

ΨΗΦΙΣΜΑ.[22]

77 23. *Οὗτος τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι,*[1] *ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου* 468
πυθόμενος τὴν Φιλίππου τελευτὴν τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ[2] *ἐνύπνιον κατεψεύσατο,*[3] *ὡς*[4] *οὐ*[5] *παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος,*[6] *ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι. καὶ τὰ μέλλοντ' ἔσεσθαι προλέγειν, ἑβδόμην δ' ἡμέραν*[7] *τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν*[8] *πενθῆσαι καὶ τὰ νο-* 469
μιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν[9] *ἐβουθύτει καὶ παρενόμει,*[10] *τὴν μόνην ὁ δείλαιος καὶ πρώτην*
78 *αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας.*[11] *καὶ οὐ τὸ δυστύχημ' ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος καὶ* 470
πονηρὸς πατὴρ[1] *οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδ' ὁ τὰ*[2] *φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων*[3] *οὐδέποθ' ὑμᾶς*[4] *περὶ πλείονος*[5] *ποιήσεται*[6] *τοὺς ἀλλοτρίους, οὐδέ γ'*[7] *ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν*[8] *γένοιτο δημοσίᾳ χρηστός, οὐδ' ὅστις ἐστὶν οἰκοφθόρος, οὐδέποτ' ἦν ἐν Μακεδονίᾳ*[9] *καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μόνον*[10] *μετήλλαξεν.*

79 24. *Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων, οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός, καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται, Δημοσθένης*

πόλιν om. Laur. 20) *ὑπὲρ* ekl. 21) *τῆς* om. q. 22) titulum om. p Vat.

§. 77. 1) *ὦ Ἀθηναῖοι* h. l. om. z Flor. et post *κόλαξ* inserunt. 2) *ἑαυτῶν* l. 3) *οὐ κατεψ.* h. 4) *ὃς* p. 5) *οὐ* om. cp Vat. 6) *πεπεισμένος* Vat. 7) *ἑβδόμην δ' ἡμ.*] *ἑβδόμῃ δ' ἡμέρᾳ* cdFq Barb. 8) *πρὶν ἢ* ekl. 9) *βαλὼν* dhq. 10) *παρενόμει* cFgkmn, *παρενόμει* g, *παρηνόμει* vid. Voemel. prolegg. grr. §. 73, Frank. lectt. Aesch. p. 446. 11) *ἀπολέσας* om. ah et pr. F.

§. 78. 1) *πονηρὸς πατὴρ* l, *πατὴρ πονηρὸς* cett. *καὶ* et *πονηρὸς* delet Bakius l. c. 2) *τὰ* om. pr. F. 3) *στέγων* cd Barb. 4) *ἡμᾶς* agm Vat. Laur. 5) *πολλοῦ* ekl. 6) *ποιήσαιτο* ekl, *ποιήσηται* pr. F. 7) *γε* om. t. 8) *ἄν ποτε* dFhq Barb. (Bk. Br. Di.). 9) vv. *κατὰ τὴν πρεσβείαν* post *ἐν Μακεδονίᾳ* addunt codd. praeter cp Vat., *οὐδ' ὅστις — κἀγαθὸς* ante vv. *οὐδὲ ὁ τὰ φίλτατα σώματα — χρηστὸς* ponit p. cf. 2, 23. 10) *μόνον* cum el om. Cobet. ad Hyperid. Epitaph. p. 36.

δ' ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' ἡμᾶς[1] εἰς
471 τὰς ἀτυχίας[2] ὁ μιαρὸς ἄνθρωπος[3] ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι.

Ὡς γὰρ τάχιστ' εἴσω Πυλῶν Φίλιππος[1] παρῆλθε[2] καὶ τάς 80
τ'[3] ἐν Φωκεῦσι πόλεις[4] παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δέ,[5] ὡς τόθ'[6] ὑμῖν[7] ἐδόκει, περαιτέρω τοῦ[8] καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν,[9] ὑμεῖς δ'[10] ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε,[11] ἐν ταῖς μεγίσταις δ'[12] ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ περὶ τῆς εἰρήνης[13] πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως[14] Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν,[15] ἀλλὰ καὶ τὰ[16] ψηφίσματα γεγραφέναι, συνέβη[1] ἐν τοῖς αὐτοῖς χρόνοις 81
διαφέρεσθαί τι τὸν Δημοσθένην[2] καὶ Φιλοκράτην σχεδὸν ὑπὲρ τούτων,[3] ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆ-
472 ναι· τοιαύτης δ'[4] ἐμπιπτούσης[5] ταραχῆς μετὰ τῶν συμφύτων αὐτῷ νοσημάτων[6] ἤδη τὰ μετὰ ταῦτ' ἐβουλεύετο, μετὰ
473 δειλίας[7] καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας,[8] καὶ ἠγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν[9] Φιλοκράτην προδήλως ἀπολεῖσθαι,[10] τοὺς δ' ἄλλους συμπρέσβεις[11] κινδυνεύσειν,[12] αὐτὸς δ' εὐδοκιμήσειν καὶ προδότης ὢν[13] τῶν φίλων[14] καὶ πονηρὸς πιστὸς[15] τῷ δήμῳ φανήσεσθαι.[16] κατιδόντες δ'[1] 82
αὐτὸν οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ[2] ἄσμε-

§. 79. 1) ὑμᾶς eckl Flor. 2) τὴν ἀτυχίαν ekl. 3) ὁ μιαρὸς ἄνθρωπος ante εἰς ponit a.

§. 80. 1) ὁ φίλιππος cp. 2) παρῆλθε ante Φίλιππος ponunt ekl. 3) τὰς μὲν Reisk. de coni. 4) φίλιππος k. 5) δὲ om. kl. 6) τοῦθ' το anp Vat. Laur. Flor., τοῦθ' gm. 7) ἡμῖν k. 8) τοῦ om. dFhq Barb. 9) παρεσκεύασεν gmn. 10) δὲ cd, τε vel τ' cett. 11) ἐσκευαγωγήσατε ekl Vat., ἐσκευαγωγήκατε cett. 12) δὴ q Bern. 13) περὶ τῆς εἰρήνης] τὴν εἰρήνην ekl (Bk. Br. Di.). 14) διαφερόντως om. pr. g. 15) πρεσβεῦσαι Rsk. ex q. 16) τὰ add. ekl (Bk. Br. Di. BS. Fr. Bens.).

§. 81. 1) συνέβη τε ekl, συνέβη δ' cett. δ' delevi de coni. 2) τὸν δημοσθένην acdFhz Vat. Barb. Flor. (Ald. BS. Bens.). Articulum om. cett. 3) τούτων καὶ cp. 4) δὲ delet Hamaker. l. c. 5) ἐπιπτούσης Ald., ἐπιπιπτούσης Wolf. 6) αὐτῷ (αὐτῷ pq Rsk.) νοσημάτων cum Fqz et scholiis Laur. g, αὐτῶν νοσημάτων pt Vat. Laur. Barb. Flor., νοσημάτων αὐτῷ cett. 7) δειλίας αμα Flor. 8) δωρ. ζηλοτ.] ζηλοτ. δωροδοκίας agmn Laur., vv. μετὰ δειλίας — ζηλοτυπίας delent Bakius l. c. p. 323. C. Scheibius l. c. p. 156. Hamakerus l. c. cf. scholia Vat. 9) μετὰ Flor. 10) ἀπολογεῖσθαι l. 11) πρέσβεις cdFh Barb. 12) κινδυνεύσειν k Flor., κινδυνεύειν vel κινδυνεύειν cett. 13) τε ὢν h. 14) τῶν φίλων om. pr. F. 15) καὶ πιστὸς h et pr. F. 16) φανήσεται p Vat., κληθήσεται ekl.

§. 82. 1) δ' om. q. 2) οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ Laur. (Rsk. Bk. Br. Di. BS. Fr. Bens.), οἱ τῇ τῆς πόλεως πολεμοῦντες ἡσυχίᾳ γρ. h, οἱ τῆς

νοι[3] παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· 25. ὁ δὲ παριὼν ἀρχὰς αὐτοῖς[4] ἐνεδίδου[5] πολε- 474
μόν καὶ ταραχῆς. οὗτός ἐστιν, ὦ Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέρρειον[6] τεῖχος καὶ Δορίσκον[7] καὶ Ἐργίσκην[8] καὶ Μυρτηνὸν[9] καὶ Γάνον[10] καὶ Γανιάδα,[11] χωρία, ὧν οὐδὲ τὰ ὀνόματ' ἤδεμεν[12] πρότερον. καὶ εἰς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις,[13] καταφρο- 475
νεῖν αὐτὸν ἔφη[14] τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους
83 πέμπειν, ἀλλ' οὐ[15] πρέσβεις. εἰ δ' ἐπιτρέπειν ἐθέλοι[1] πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. Ἁλόννησον[2] ἐδίδου· ὁ δ' ἀπη- 476
γόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ[3] ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενός. καὶ τὸ[4] τελευταῖον στεφανώσας 478
δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος[11] μέχρι δυομένου,[12] νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων[13] εἶναι διαγωνίζεται,[14] ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας;[15]
523 καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς[16] ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δέ, Θῆβαι,[1] πόλις ἀστυγείτων,[2] μεθ' 133
ἡμέραν μίαν ἐκ μέσης[3] τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δι-
524 καίως,[4] περὶ τῶν ὅλων οὐκ[5] ὀρθῶς βουλευσάμενοι,[6] ἀλλὰ τήν γε θεοβλάβειαν[7] καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως, ἀλλὰ δαιμονίως κτησάμενοι.[8] Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτ' ἀξιοῦντες
525 ἡγεμόνες[9] εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι[10] καὶ αὐτοὶ καὶ ἡ πατρὶς, ὅ τι ἂν ἐκείνῳ δόξῃ,[11] καὶ ἐν τῇ τοῦ[12] κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται.[13] ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ κατα- 134
φυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν[1] τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ[2] τῆς πατρίδος ἐδάφους. καὶ ταῦθ' ἡμῖν[3] συμβέβηκεν[4] ἐξ ὅτου Δημοσθένης πρὸς[5] τὴν πολιτείαν προσελήλυθεν.[6] εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς[7] ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς
τῶν δημαγωγῶν μὴ προσδέχεσθαι. λέξω[1] δὲ[2] κἀγὼ τὰ ἔπη. 135
43. διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς[3] παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς[4] χρώμεθα.
πολλάκι δὴ[5] ξύμπασα[6] πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,[7]

pr. t. 11) *δύνοντος* Flor. 12) *δυομένου*] *ἡλίου δυομένου* ehkl. 13) *ἑτέρων* om. agmnz Laur. Flor. (BS. Bens.). 14) *ἀγωνίζεται* p. 15) *εὐτυχίας* cdFq Barb. 16) *ἐν Δελφοῖς* om. ehklp Vat. Laur. cf. schol. Vat. ad h. l.

§. 133. 1) *Θῆβαι* om. acdFpq Vat. Laur. Barb. vulg. ante Reisk., in mg. pon. hz. cf. schol. Vat. 2) *ἀστυγειτόνων* ehl. 3) *μέσου* p. 4) *μὴ δικαίως* Wolf. 5) *οὐδὲν* Rsk. 6) *βουλευσαμένη* Bern. 7) *νεοβλάβειαν* ehl. 8) *χρησάμενοι* n, *κτησαμένη* Bern. 9) *ἡγεμόνες* om. p. 10) *ποιησόμενοι* Flor. 11) *δόξοι* h. 12) *τοῦ* om. Laur. 13) *κριθησόμενοι* ehkl (Bk. Br. Di.).

§. 134. 1) *ὑμῶν* ekl Vat. 2) *τοῦ* om. Laur. 3) *ὑμῖν* adFgmn Vat. Flor. 4) *ξυμβέβηκεν* q. 5) *εἰς* ehk. 6) *προελήλυθεν* el, *παρελήλυθεν* h. 7) *ὁ ποιητὴς* om. pr. t.

§. 135. 1) *λέγω* dq Barb. 2) *δὲ γὰρ* a. 3) *ἡμᾶς* post *ὄντας* ponit a. (Fr. Bens.). 4) *αὐτοῖς* Bk. Di. BS. 5) *δὲ* np vulg., *καὶ* h. 6) *σύμπασα* cFq. 7) *ἐπαυρεῖ* mg.

ὅς κεν[8] ἀλιτραίνῃ[9] καὶ ἀτάσθαλα μηχανάαται.[10] 526
τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα[11] Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν,[12] ἀποφθινύθουσι δὲ λαοί·[13]
ἢ τῶν[14] γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ[15] γε τεῖχος,
ἢ νέας[16] ἐν[17] πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς.[18]

136 ἐὰν δὲ[1] περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον τὰς γνώμας ἐξε-
τάζητε, οἶμαι ὑμῖν[2] δόξειν[3] οὐ ποιήμαθ' Ἡσιόδου εἶναι,
ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ ναυ- 527
τικὴ καὶ πεζὴ στρατιὰ[4] καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέ-
ναι[5] ἐκ τῆς τούτου πολιτείας.

137 Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας οὔτε Εὐρύβατος οὔτ' ἄλλος 530
οὐδεὶς πώποτε τῶν πάλαι[1] πονηρῶν τοιοῦτος μάγος καὶ γόης
ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι
βούλεσθ' ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέπων εἰς τὰ πρόσ-
ωπα τὰ ὑμέτερα,[2] ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν[3]
ἐποιήσαντ' οὐ διὰ τὸν καιρόν, οὐ[4] διὰ τὸν φόβον τὸν[5] περι-
138 στάντ' αὐτούς, οὐ[6] διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς
Δημοσθένους δημηγορίας. καίτοι πολλὰς μὲν τούτου[1] πρότε- 531
ρον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστ' οἰκείως ἐκεί-
νοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος[2] ὁ Κολλυτεύς,[3]
ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων
ὁ Ἐρχιεύς,[4] πρόξενος ὢν Θηβαίοις, Λεωδάμας[5] ὁ Ἀχαρνεύς,

ἦρα
Steph. Ask., ἐπαυρεῖ h. 8) μὲν n. 9) ἀλιτραίνει hp, ἀλιταίνῃ ek Mor. 10) μητιάαται deFklq Mor. (Bk. Br. Di.). 11) μέγ' ἐπήγαγε πῆμα h codd. Hesiodi op. 240 (Ald. Rsk. Fr. Bens.), μέγ' ἐπήλασε πῆμα Plutarch. de Stoicor. repugn. p. 1040C., μέγα πῆμα δῶκε acdFgmq Laur. Barb. et verbo supra addito n (BS. Bk. Br. Di.), πῆμα μέγα δῶκε p Vat., μέγα πῆμα ἔδωκε ekl Flor., μέγα ἔδωκε πῆμα Mor. 12) λιμὸν—λοιμὸν] λοιμὸν ὁμοῦ καὶ λιμὸν ek Flor. 13) λαοὶ] λαοί, οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι ξηνὸς φραμοσύνῃσιν ὀλυμπίου, ἄλλοτε δ' αὖτε h. 14) τόν gn Vat., ὃ ekl Mor. 15) ὅ om. a. 16) νέας a, νῆας cett. 17) ἐν ae, ἐνὶ cett. 18) ἀποτίνυται εὐρύοπα Ζεὺς edd. Turicc. (Fr. Bens.), τίνυται εὐρύοπα Ζεύς hpq Barb. (Bk. Br. Di.), τίνυται εὐρ. Z. Vat. Laur., τίνυται εὐρ. Z. acdFgmnz Flor., τείνηται εὐρ. Z. ekl, κρονίδης ἀποτίνυται αὐτῶν Ald. Rsk. De litera ν non geminata cf. Spitzner ad Il. π, 398.

§. 136. 1) δὲ om. cdeFhklq Barb. —2) ἡμῖν Vat. 3) δείξειν h, δόξιν Ald. 4) στρατιὰ cdF (Ald.). 5) ἀνηρπασμέναι ante εἰσὶν pon. Flor., εἰσὶν ἀνηρημέναι Bern.

§. 137. 1) πάλαι om. agmnz Flor. 2) ἡμέτερα ekl. proximum τὰ om. d. 3) ὑμῖν ptz et mei, ἡμῖν vulg. 4) οὐδὲ t. 5) τὸν om. d. 6) οὐ ah Vat., οὐδὲ cett.

§. 138. 1) τούτου post πρότερον ponunt ehl, om. a (BS. Fr. Bens.). 2) Θρασύβουλος agmnz Vat. (qui habet in mg. inter schol.: οὗτος στρατηγὸς) Laur. Flor., οὗν στρατηγὸς Θρ. h, οὗτος στρατηγὸς Θρασύβ. cett. 3) κολυτεὺς p, κολυττεὺς agmnz Flor. 4) ἀρχιεὺς acdeF (Ald.), ἀρχιερεὺς hl, ἐρχιεὺς cett. 5) εἶτα λεωδάμας ep.

οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοιγε καὶ 139
532 ἡδίων,[1] Ἀρχέδημος[2] ὁ Πήληξ, καὶ[3] δυνατὸς εἰπεῖν καὶ[4] πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ[5] διὰ Θηβαίους, Ἀριστοφῶν[6] ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, Πύρρανδρος[7] ὁ Ἀναφλύστιος,[8] ὃς ἔτι[9] καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτ' αὐτοὺς ἐδυνήθη[10] προτρέψασθαι εἰς τὴν[11] ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι[12] διὰ τὰς ἀτυχίας αὐτῶν. ἀλλ', οἶμαι, ἐπειδὴ[1] 140
Φίλιππος αὐτῶν ἀφελόμενος[2] Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς[3] Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον[4] ἐπήγαγε[5] διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν[6] ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο,[7] μετεπέμψαντ' Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῆτ'[8] εἰς τὰς Θήβας[9] ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς,[10] πρὶν περὶ[11] συμμαχίας μίαν μόνον[12] συλλαβὴν γράψαι Δη-
533 μοσθένην.[13] ὁ δ' εἰσάγων[1] ἦν ὑμᾶς[2] εἰς τὰς Θήβας[3] καιρὸς 141
καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης,
44. ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ[4] πάντων[5] μέγιστα Δημοσθένης εἰς ὑμᾶς[6] ἐξημάρτηκε, πρῶτον μέν, ὅτι Φιλίππου τῷ μὲν[7] ὀνόματι πολεμοῦντος ὑμῖν,[8] τῷ δ' ἔργῳ[9] πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ[10] τὰ[11] πλείω[12] λέγειν; ταῦτα μὲν τὰ τη-

§. 139. 1) ἥδιον Laur., ῥήτωρ καὶ οὗτος, quae vv. vulgo addunt post ἡδίων, om. agmnz et Vat. Laur. (qui habent in mg. inter scholia) Flor. 2) ἀρχίδημος cdFq. 3) καὶ om. n. 4) ὃς n, ὡς agm. 5) ἐν τῇ πολιτείᾳ om. Flor. 6) Ἀριστοφῶν] δημαγωγὸς ἀριστοφῶν codd., δημαγωγὸς διάσημος Vat. Laur. in schol. 7) ῥήτωρ ante Πυρρ. habent cdFq (Vat. Laur. in schol.: ῥήτωρ καὶ οὗτος.); πύρρανδρος aegmn Vat. Laur., πύρανδρος cett. 8) ἀναφλυάσιος q. 9) ἔστι F. 10) ἐδυνήθη aceq et mei. 11) τὴν om. p Vat. 12) δύναμαι Flor., δέομαι δύναμαι h.

§. 140. 1) ἐπεὶ p Vat. 2) ἀφελόμενος ante αὐτῶν pon. ehkl. 3) τῶν dFghkmnq Laur. Flor. 4) ὃν — πόλεμον om. el, in mg. ponit ἑ h. τ. αὐτὸν πόλεμ. om. q. 5) ἀπήγαγε h. 6) μεταλαβὼν n, καὶ καταλαβὼν t. 7) αὐτ. ἥπτετο] ἥπτετο αὐτῶν cdFq Barb. 8) εἰσῆειτε libri. 9) πόλεις gmn. 10) καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς ehkl (Bk. Br. Di.) ut §. 88, καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοὶ cett. 11) περὶ τῆς c, περὶ om. p. 12) μόνον p Vat., ut §. 192, μόνην cett. 13) Δημοσθένη Ald. Bk. Di.

§. 141. 1) εἰσαγαγὼν Bern. 2) ἡμᾶς ehkl Vat. 3) Ἀθήνας pr. Vat. 4) τὰ om. ehl. 5) πάντα Laur. 6) ἡμᾶς h. 7) τῷ μὲν] μὲν τῷ p. 8) ἡμῖν ehkl. 9) τῷ δ' ἔ.] τὸ δ' ἔργον Vat. 10) δὴ d. 11) τὰ om. cdFq Barb. 12) πλέω c.

λικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιούμενος[13] δὲ μέλ- 534
λειν τὴν συμμαχίαν γενήσεσθαι[14] οὐ διὰ τοὺς καιρούς, ἀλλὰ
142 διὰ τὰς αὐτοῦ πρεσβείας πρῶτον μὲν συνέπεισε τὸν δῆμον
μηκέτι βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιεῖσθαι[1] τὴν συμμαχίαν,[2]
ἀλλ' ἀγαπᾶν μόνον, εἰ[3] γίγνεται, τοῦτο δὲ προλαβὼν[4] ἔκδο-
τον μὲν[5] τὴν Βοιωτίαν πᾶσαν[6] ἐποίησε Θηβαίοις, γράψας ἐν
τῷ ψηφίσματι, ἐάν τις ἀφίστηται[7] πόλις ἀπὸ Θηβαίων, βοη-
θεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέ-
πτων[8] καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν, ὡς τοὺς
Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας τὴν τῶν ὀνομάτων σύνθε-
σιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς
143 κακῶς ἐπεπόνθεσαν[9] ἀγανακτήσοντας· δεύτερον δὲ τῶν εἰς
τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, 535
οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις,
δωροδοκῶν ἐφ' ἑκάστοις[1] τούτων, καὶ τὴν[2] ἡγεμονίαν τὴν
μὲν[3] κατὰ θάλατταν[4] ἐποίησε κοινὴν, τὸ[5] δ' ἀνάλωμ' ἴδιον
ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ[6] ληρεῖν, ἄρδην φέρων
ἀνέθηκε Θηβαίοις, ὥστε[7] παρὰ[8] τὸν γενόμενον πόλεμον μὴ
κύριον γενέσθαι Στρατοκλέα τὸν ὑμέτερον[9] στρατηγὸν βου-
144 λεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. καὶ ταῦτ'
οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ
λέγω καὶ πάντες ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζε-
σθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην·[1] συνείθισθ'
ἤδη τἀδικήματα τὰ τούτου[2] ἀκούειν, ὥστ' οὐ θαυμάζετε.[3]
δεῖ δ' οὐχ οὕτως, ἀλλ'[4] ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ
τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

145 45. Δεύτερον δὲ καὶ πολὺ τούτου[1] μεῖζον ἀδίκημ' ἠδί-
κησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρα-
τίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας[2]

13) προσποιούμενος p Vat. Laur., προσποιησάμενος cett. 14) γίγνε-
σθαι ehkl et sec. Vat.

§. 142. 1) ποιήσασθαι ehkl (Bk. Br. Di.). 2) τὴν συμμαχίαν ante δεῖ ponit h. 3) εἴ τις ehl. 4) προσλαβὼν n. 5) μὲν om. t. 6) ἅπασαν cdeFhkl Barb. (Rsk. Bk. Br. Di.). 7) ἀφίστηται z Vat. Laur. Flor. Bern., ἀφιστῆται cett. cf. Voemel. prolegg. gramm. ad Dem. §. 62. 8) βλέπων Vat., κρύπτων Bern. 9) ἐπεπόνθεσαν ekl (Fr.), πεπόνθασιν d, πεπόνθεσαν cett. ἀγαπήσοντας—ἐπεπόνθεσαν om. a.

§. 143. 1) ἕκαστον Barb. 2) τὴν μὲν ghl. 3) μὲν om. g. 4) θάλασσαν cdFgmnz. 5) τὴν a. τῆς dF Barb. 6) δεῖν hkl. 7) ὅθεν hl. 8) πρὸς hl. 9) ὑμέτερον pqt et mei omnes (Wolf. Reisk.), ἡμέτερον vulgo.

§. 144. 1) δημοσθένη dF, τὸν δημοσθένην h. 2) τὰ τούτου edd. Turicc. (Fr. Bens.), τούτου agmnpz Vat. Laur. Flor., τὰ αὐτοῦ Barb., τ' αὐτοῦ F, ἀὐτοῦ cett. 3) θαυμάζεσθε n. 4) ἀλλ' om. n.

§. 145. 1) τοῦτο ehl. 2) εἰς Θήβας delet Cobet. N. LL. p. 103.

εἰς τὴν Καδμείαν, τὴν[3] κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτ-
ἀρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ[4] δυναστείαν
κατεσκεύασεν, ὥστ' ἤδη παριὼν[5] ἐπὶ τὸ βῆμα πρεσβεύσειν[6]
μὲν ἔφη ὅπου[7] ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς[8] ἐκπέμπητε[9], εἰ 146
536 δέ τις αὐτῷ[1] τῶν στρατηγῶν ἀντείποι,[2] καταδουλούμενος[3]
τοὺς ἄρχοντας καὶ[4] συνεθίζων μηδὲν αὐτῷ[5] ἀντιλέγειν δια-
δικασίαν ἔφη γράψειν[6] τῷ βήματι πρὸς τὸ[7] στρατήγιον·[8]
πλείω πὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ[9] βήματος
πεπονθέναι ἢ[10] ὑπὸ τῶν στρατηγῶν[11] ἐκ τοῦ στρατηγίου.[12]
μισθοφορῶν δ' ἐν[13] τῷ ξενικῷ κεναῖς[14] χώραις, καὶ τὰ[15]
στρατιωτικὰ χρήματα κλέπτων,[16] καὶ τοὺς μυρίους ξένους
ἐκμισθώσας Ἀμφισσεῦσι πολλὰ διαμαρτυρομένου[17] καὶ σχε-
τλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ,[18] προσέμιξε φέρων ἀναρ-
537 πασθέντων τῶν[19] ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ[20] τῇ πό-
λει. τί γὰρ ἄν[1] οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξα- 147
σθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ'
ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ
τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς προγεγενημένης;[2]
καὶ τηλικούτων[3] κακῶν αἴτιος γεγενημένος[4] Δημοσθένης οὐκ
ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν,[5] ἀλλ' εἰ μὴ καὶ[6] χρυσῷ στε-
φάνῳ στεφανωθήσεται,[7] ἀγανακτεῖ· οὐδ' ἱκανόν[8] ἐστιν αὐτῷ
ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναν-
τίον ἀναρρηθήσεται, τοῦτ'[9] ἀγανακτεῖ. οὕτως, ὡς[10] ἔοικε,

3) *τὴν* om. cdFmq Barb. 4) *ἑαυτῷ* t. 5) *περιὼν* dF, *περιὼν* h, *περιιὼν* Ald. 6) *πρεσβεύειν* eFq Barb. (Ald. vulg. ante Reisk.), *πρεσβευτὸν* hl. 7) *ὅπου* aeghlmnp Vat. Laur. (BS. Bens.), *ὅποτ'* cdFq Barb., *ὅποι* Rsk. Bk. Br. Fr. cum cett. 8) *μὴ ὑ.*] *ὑμεῖς μὴ* z Flor. 9) *ἐκπέμποιτε* d.

§. 146. 1) *αὐτῶν* hl. 2) *ἀντείπῃ* hlp Vat. 3) *καταδουλομένος* c. 4) *καὶ* om. n. 5) *αὐτῷ* Sauppius (Fr. Bens.), *ἑαυτῷ* e et, ut Hofmanno visum est, pr. z, *αὐτῷ* cett. 6) *γράφειν* eFhklq Barb., *γράφην* d. 7) *τὸν* hl. 8) *στρατηγεῖον* cdF Vat. Laur. Barb. (Rsk. Bk. Br. Di.). cf. 2, 85 et Soph. Ai. 708, *τὴν στρατηγίαν* Plut. 2 p. 350 B. 9) *τοῦ* om. agmn Laur. Flor. et pr. Vat. 10) *δὲ* Laur. 11) *ὑπὸ — στρατηγῶν*] *ὑπὸ πάντων τῶν* Cobet. N. LL. p. 229. 12) *στρατηγείου* cdFgh Vat. Laur. Barb. (Rsk. Bk. Br. Di), *στρατηγίου* m. 13) *ἐν* om. p et pr. Vat. 14) *καιναῖς* aeghklmn Flor., *ἐν ταῖς* p, *ἐν ταῖς κεναῖς* c. 15) *τὰ* om. ehkl Flor. 16) *βλέπων* pr. Vat. 17) *διαμαρτυρομένου* h, *διαμαρτυρουμένου* glmnp Laur., *διαμαρτυραμένου* cdFkq Barb., *διαμαρτυρούμενος* e. 18) *ἐμοῦ* ante *ἐν τ. ἐκκλησίαις* ponit p. 19) *ἀναρπασθέντων τῶν*] *ἐκ τῶν ἀναρπασθέντων* cdeFhklpq Barb. et sec. Vat. 20) *παρασκεύῳ* Laur.

§. 147. 1) *ἂν* om. hl. 2) *προγεγενημένης* agmnpz Vat. Laur. Flor. Bern., *γεγενημένης* Rsk. Bk. Br. Di. cum cett. 3) *τοσούτων* h. 4) *γενόμενος* ekl. 5) *ἔδωκεν* p. 6) *μὴ καὶ*] *καὶ μὴ* amnpz Vat. Laur. Flor. (Rsk.). 7) *στεφανωθήσεσθαι* hkl. 8) *ἱκανὸς* hl. 9) *ἤδη* post *τοῦτ'* add. ehkl. (Bk. Br. Di.). 10) *ὡς* om. t.

πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.

148 46. Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος, ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας μικρῷ[1] μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι εἰρήνην[2] καὶ πρεσβείας[3] ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον, εἰκότως· οὐ γὰρ ῥᾴτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν[4] αὐτοὺς[5] ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος δεκαετὴς[6] γεγονὼς[7] ἀείμνηστον[8]

149 παιδείαν αὐτοὺς ἐπαίδευσε, τούτων δ'[1] ἐχόντων οὕτως 538
αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας[2] ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ[3] ποιεῖσθαι χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας,[4] ἀβίωτον ἡγησάμενος εἶναι, εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς[5] ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην[6] οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, τοῦτο[7] κήρυγμά τι[8] τοῖς Βοιωτάρχαις προκηρύττων ἀναφέρειν αὐτῷ[9] τὰ μέρη

150 τῶν λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν, ἥν, ὡς ἔοικε,[1] Φει- 539
δίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἢ μήν, εἴ τις[2] ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους[3] πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν[4] ἀνέστρεψαν[5]

151 ἐξεληλυθότας, ἵνα βουλεύσησθε[6] περὶ τῆς εἰρήνης, ἐνταῦθα[1] παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε,[2] καὶ γρά-

§. 148. 1) μικρῷ hk et mei (BS. Fr. Bens.), σμικρῷ cett. 2) τὴν εἰρήνην Bk. Di. BS. Fr. Bens., artic. om. mei omnes et pt, ut §§. 149. 150. 3) πρεσβείαν z. 4) τὴν τ.] τὰς τάξεις ehklp et sec. Vat. 5) αὐτὸς h. 6) δεκέτης ekl, δεκαέτης d. 7) προγεγενημένος ehk. 8) ἄμνηστον Barb.

§. 149. 1) δὴ Bern., δὲ om. ehklz Flor. 2) βοιωτάρχους h. 3) ἰδίᾳ om. ehkl. 4) λαβόντος Laur. 5) οὐθενὸς cF. 6) εἰρήνης ante πρὸς Φίλ. ponit a. 7) τοῦτο om. t. 8) τοῦτο κήρυγμά τι] τοῦτο κηρύγματι n, τούτῳ κηρύγματι Steph., κηρύγματι ταύτῳ ehkl, κήρυγμά τι τοῦτο z Flor. 9) αὐτῷ vulg. (Rsk.), ἑαυτῷ p (Bk. Di.).

§. 150. 1) ὡς ἔοικε] ᾧετο h. 2) εἴ τις] ὅς τι p. 3) τοὺς λακεδ. a. 4) πάλιν om. cdFq vulg. ante Reisk. 5) ἀνέτρεψαν ehl Mor. 6) „Fort. βουλεύσαισθε" Saupp.

§. 151. 1) ἐνταῦθ' ἤδη ehkl (Bk. Br. Di.). 2) ἀπεκάλει τοὺς βοιωτ.

ψειν[3] ἔφη[4] ψήφισμ' ὁ τοῖς πολεμίοις οὐδέποτ'[5] ἀντιβλέψας πέμπειν ὑμᾶς[6] πρέσβεις εἰς Θήβας αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δ' οἱ ἐν Θήβαις[7] ἄρ-
540 χοντες,[8] μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν[9] τῆς εἰρήνης ἀπετρέποντο,[10] ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

47. Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν[1] ἄξιόν ἐστιν 152
ἐπιμνησθῆναι,[2] οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων[3] ὄντων τῶν[4] ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς[5] ἐπὶ τὸν τάφον[6] τῶν[7] τετελευτηκότων[8] ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων[9] πάντων[10] ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς[11] λόγοις τόλμαν θαυμασιώτατε,[12] ἐπιχειρήσεις[13] αὐτίκα μάλα,[14] βλέπων[15] εἰς τὰ τούτων πρόσωπα, λέγειν, ὡς δεῖ σ' ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν[16] δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε,[17] καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη;[18] γένεσθε[1] δή[2] μοι μικρὸν 153
541 χρόνον τῇ διανοίᾳ[3] μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίγνεσθαι,[4] καὶ λογίσασθε, πότερ'[5] οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυ' ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς[6] πάθεσι[7] τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν[8] ἢ ἐπὶ τῇ τῆς πόλεως ἀ-

ehkl. 3) γράφειν dFq Barb. vulg. ante Rsk., γράφει ehkl. 4) ἔφη om. ehkl. 5) οὐδεπώποτ' ehkl. 6) ἡμᾶς Flor. 7) ταῖς Θήβαις ehkl. 8) ἄρχοντες om. z. 9) μὲν om. p. 10) ἀπετράποντο ehklp (Rsk. Bk. Br. Di. Fr.).

§. 152. 1) τ. ἀγαθ. ἀνδρῶν] τῶν ἀνδρῶν τῶν ἀγαθῶν ehkl (Bk. Br. Di.). cf. 1, 118. 2) ἀπομνησθῆναι Laur. 3) καλλιερήτων Laur. 4) τῶν om. Laur. 5) ἀναβῆναι d. 6) τὸν τ.] τῶν τάφων Laur. 7) τὸν τῶν k (Bk. Di.). 8) τελευτησάντων ehkl (Bk. Br. Di.). 9) σπουδαῖα τῶν πραγμάτων cdFq Barb., σπουδαῖα cett. libri., σπ. τῶν ἔργων Alexander Walzii VIII p. 476 et Zonaeus VIII p. 688, σπουδαῖα τ. ἔργων cum Sauppio Bens. 10) τῶν amn Flor., ἁπάντων cdF Barb. 11) τοῖς om. dg. 12) θαυμασιωτάτους l. 13) ἐπιχειρήσεις Rsk. BS. cf. C. Scheibius in Jahni Anall. 68 p. 157. ἐπιχειρήσειν ἐθέλεις ehl, ἐπιχειρήσειν τολμήσεις Bern., ἐπιχειρήσειν ἐθελήσεις cett. 14) μᾶλλον d. 15) βλέπων om. a. 16) ἂν e. 17) ὑμ. ὑπομεν.] ὑπομενεῖτε ὑμεῖς g Laur., καὶ ὑμεῖς ὑπομενεῖτε h. 18) γνώμη h.

§. 153. 1) γίνεσθε hl Bern., γένεσθαι Laur. 2) δὲ hl; om. Laur. 3) τῇ διανοίᾳ mg. Bern. „quod Baitero quoque praestare visum est". Frank., τὴν διάνοιαν cett. cf. §§. 157 et 186. 4) γενέσθαι agmn, γίνεσθαι ἀπαγορεύοι a Bern. 5) πότερον Bern. 6) εἰρηνικοῖς h. 7) πράγμασι h. 8) ἐπιοῦσιν dFhklq Laur. Barb. Mor., εἰσιοῦσιν z Flor., εἰσεπιοῦσιν p Vat.

154 γνωμοσύνῃ. τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ[1] παιδευθεὶς ἐλευθερίως,[2] ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν[3] ἕτερον, ὅτι ἐν[4] ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ[5] τῶν τραγῳδῶν[6] γίγνεσθαι, ὅτ' εὐνομεῖτο[7] μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις[8] ἐχρῆτο, προελθὼν[9] 542
ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν[10] ἐν τῷ πολέμῳ τετελευτηκότες,[11] νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς[12] ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε,[13] νυνὶ δὲ καθοπλίσας τῇδε τῇ[14] πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι[15] ἐπὶ
155 τὰ ἑαυτῶν,[16] καὶ καλεῖ εἰς προεδρίαν. 48. τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἀνερεῖ[1] ἢ τί[2] φθέγξεται; καὶ γὰρ ἐὰν[3] αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, 543
ἀλλ' οὐ[4] τό γ'[5] ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται,[6] ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος τῶν[7] Ἀθηναίων ἀρετῆς ἕνεκα[8] τὸν[9] κάκιστον καὶ[10] ἀνδραγα-
156 θίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα[11] τὴν τάξιν. μὴ πρὸς[1] 544
τοῦ[2] Διὸς καὶ τῶν ἄλλων[3] θεῶν, ἱκετεύω ὑμᾶς,[4] ὦ Ἀθηναῖοι, μὴ[5] τρόπαιον ἵστατ'[6] ἀφ'[7] ὑμῶν αὐτῶν[8] ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε[9] παρανοίας[10] ἐναντίον τῶν Ἑλλήνων

§. 154. 1) ἢ καὶ acdFgmnz Vat. Laur. Flor. Barb. 2) ἐλευθερίως Cobet. N. LL. p. 104, ἐλεύθερος p, ἐλευθέρως cett. 3) καὶ μηδὲν z. 4) ἐν addit Frank. 5) νῦν eghlpz Flor. 6) τραγῳδιῶν cp. 7) ἐννομεῖτο q. 8) προὸ ταύταις Laur. 9) προελθὼν Barb. (Bk. Br. Di. BS. Fr. Bens.), παρελθὼν ehl, προσελθ. cett. 10) ἧς Laur. 11) ἐν τῷ πολ. τετ.] τετελευτηκ. ἐν τῷ πολέμῳ h. 12) εἰς gmnp. 13) ἔθρεψε Bern. Cobet. N. LL. p. 114. 14) τῇ om. a. 15) τραπέσθαι p Vat. Bern. 16) αὑτῶν e.

§. 155. 1) ἀνερεῖ z Vat. Flor. et corr. n (Steph. Bk. Br. Di. ε εἰ BS. Fr. Bens.), ἂν αἱρῇ k, ἂν ἐρεῖ cett. 2) τί ποτε ehkl, ἢ τί φθέγξεται delet Cobet. ad Hyperid. Epit. p. 48. 3) ἐὰν aep Vat., ἂν cett. 4) αὐτὸ Bern. 5) τε l, om. cdFq Laur. Barb. 6) σιωπήσεται cdFq Barb. (Wolf.). 7) ὁ cdFq; om. ehkl. 8) ἀρετῆς ἕνεκα om. ap Vat. Laur., ante εἰ δὴ ponit n, ἕνεκα om. ehkl. „ἕνεκα fort. delendum". Saupp. 9) τὸν om. a. 10) καὶ om. cdeFhklq. 11) λελοιπότατον Flor.

§. 156. 1) πρὸ Vat. 2) τοῦ om. Barb. 3) τῶν ἄλλων om. ehkl, πρὸς Διὸς καὶ θεῶν coniecit Cobet. V. LL. p. 154, vid 1, 70. 4) ἱκετεύω ὑμᾶς post Ἀθηναῖοι ponunt ehkl, delet Cobet. l. c. 5) μὴ cum ehkl om. Cobet. l. c. 6) ἵστατε Flor. καθ' Barb. 7) ἀφ' ghm Bern. 8) αὐτῶν om. t. 9) ἀναιρεῖτε q. 10) πα-

τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε[11] τῶν ἀνιάτων καὶ ἀνηκέστων[12] κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φεύγοντας[13] διὰ τοῦτον[14] ὑποδέδεχθε[15] τῇ πόλει, ὧν ἱερὰ καὶ τείχη[16] καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν χρυσίον· ἀλλ' ἐπειδὴ τοῖς σώμασιν 157
οὐ παρεγένεσθε, ἀλλὰ[1] ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσαθ' ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφάς, ἐμπρήσεις οἰκιῶν,[2] ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας[3] τὴν ἐλευθερίαν, κλάοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τἀνθρώπῳ φυλάξασθαι.
545 οὔτε πόλις γὰρ[1] οὔτ' ἰδιώτης ἀνὴρ[2] οὐδεὶς πώποτε καλῶς 158
ἀπήλλαξε[3] Δημοσθένει συμβούλῳ[4] χρησάμενος. ὑμεῖς δ',[5] ὦ Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα[6] πορθμεύοντας νόμον ἔθεσθε, ἐάν[7] τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ[8] πλοῖον ἀνατρέψῃ,[9] τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα,[10] τοῦτον ἐάσετε[11] πάλιν ἐπευθύνειν[12] τὰ κοινά;

49. Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν 159
νυνὶ[1] καθεστηκότων πραγμάτων, ἐκεῖν' ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν[2] ἔλιπεν, ἀλλὰ καὶ τὴν [ἀπὸ τῆς πόλεως . . . . ἀπέδρα γὰρ] ἐκ[3]

ρανομίας e Mor., παροινίας Laur. 11) ὑπομνήσκετε Vat. 12) καὶ ἀνηκέστων om. p, ἀνιάτων καὶ delet Cobet. 13) φεύγοντας Frank., φυγόντας libri. 14) τούτων aehl. 15) ὑποδέχεσθε mn, ὑποδέδεχε kl. 16) τείχη de coni., τεμένη Cobet., τέκνα libri. cf. §. 157.

§. 157. 1) ἀλλὰ om. cdFq Barb. vulg. ante Reisk. 2) οἴκων, ἱερὰ συλώμενα Theon. Walzii I p. 153, 17. sed cf. Herodian. Walzii VIII p. 603, 4. 3) μεταλανθάνοντας Laur.

§. 158. 1) πόλις γὰρ] γὰρ πόλις ehkl (Bk. Br. Di.). 2) ἰδιωτ. ἀνὴρ] ἀνὴρ ἰδιώτης ehkl (Bk. Br. Di.). 3) ἀπήλλαγξαι Laur. 4) συμβούλῳ ante δημοσθένει pon. d. 5) δ' om. Vat. 6) πορθμέας — Σαλαμῖνα om. Flor. 7) ἂν e. 8) πόρρω t (πορθμῷ mg. t.) 9) ἀναστρέψῃ q. 10) ἀνατετραφότα deFgkpqz Vat. π Laur. Barb. Flor., ἀνατετραγότα h. cf. ad 1, 190 ann. 2. 11) ἐάσατε mn Vat. ἐ 12) ἀπευθύνειν h, ἀπευθύνειν ehklq (Rsk. Bk. Br. Di.).

§. 159. 1) νῦν Flor. 2) μόν. τάξ.] τάξιν μόνον Flor. 3) ἀπὸ schedae Scrimg.

τῆς πόλεως[4] τριήρη προσλαβὼν ὑμῶν, καὶ τοὺς Ἕλληνας[5] ἠργυρολόγησε.[6] καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου σωτηρίας τοὺς μὲν πρώτους χρόνους ὑπότρο-546
μος[7] ἦν[8] ἄνθρωπος,[9] καὶ παριὼν ἡμιθνὴς[10] ἐπὶ τὸ βῆμ' εἰ-
ρηνοφύλαχ' ὑμᾶς αὐτὸν[11] ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ[12]
κατὰ μὲν[13] τοὺς πρώτους χρόνους[14] οὐδ' ἐπὶ τὰ ψηφίσματ'
εἰᾶτε[15] τὸ[16] Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ
τοῦτο προσετάττετε· νυνὶ[17] δ' ἤδη καὶ[18] στεφανοῦσθαι ἀξιοῖ.
160 ἐπειδὴ δ' ἐτελεύτησε μὲν[1] Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν
ἀρχὴν κατέστη, πάλιν αὖ[2] τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο
Παυσανίου, εἰς αἰτίαν δ' εὐαγγελίων θυσίας[3] τὴν βουλὴν[4]
κατέστησεν,[5] ἐπωνυμίαν δ'[6] Ἀλεξάνδρῳ[7] Μαργίτην[8] ἐτίθετο,547
ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ[9] Μακεδονίας·
ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν[10] Πέλλῃ περιπατοῦντα καὶ τὰ
σπλάγχνα φυλάττοντα. καὶ ταῦτα[11] λέγειν ἔφη οὐκ εἰκάζων,548
ἀλλ' ἀκριβῶς εἰδώς, ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς
οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλε-
161 ξάνδρου φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ[12] ἀνανδρίας. ἤδη δ'
ἐψηφισμένων[1] Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν[2]
πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκότως,
ἐπειδὴ[3] περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ'
ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἦκεν
ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυ-
τὸν[4] παρέχων. καὶ τὸ πάντων δεινότατον, ὑμεῖς μὲν[5] τοῦτον

4) Illa [ἀπὸ τ. πόλεως ..... ἀπέδρα γὰρ ἐκ τῆς πόλεως] addidi de coni. „post πόλεως videtur aliquid deesse" Reisk. Bakius coll. §. 253 ὃς τότ' ἀπέδρα supplevit. cf. etiam §. 226 et Dinarch. 1, 80. Scriba videtur ab illo ἀπὸ τῆς πόλεως statim ad hoc ἐκ τῆς πόλεως oculis aberrasse. 5) καί τ. Ἕλληνας om. pr. Laur. 6) ἀργυρολογήσας schedae Scrimg. 7) ὑπότρομος usque ad χρόνους om. l, in mg. ponit h. 8) ἦν om. Laur. 9) ἄνθρωπος (Di. Fr. Bens.), ἄνθρωπος libri. 10) ἡμιθανὴς kmn et fort. g. 11) αὐτὸν Bk. Di. BS. Fr. Bens., αὐτὸν libri. Pronomen hoc loco ponunt aFgkmnp Vat. Laur. Flor. et mg. h, om. e, ἐκέλευεν αὐτὸν cett. 12) μὲν Barb. 13) μὲν om. Barb. 14) "κατὰ μὲν τοὺς πρώτους χρόνους cum Tayloro malimus abesse." edd. Turicc. 15) ἐᾶτε Laur. 16) τὸ τοῦ h. 17) νῦν Flor. 18) δ' ἤδη καὶ] δὲ καὶ Barb.

§. 160) 1) ἐτελεύτησε μὲν Bk. Br. Di. ex ehkl, ἐτελεύτησε cett. 2) αὐτὸς cdFgq Barb. 3) καὶ θυσίας agmnz Flor. (vulg. ante Rsk.). 4) ἀρχὴν ehk et sec. Vat. 5) κατέστησε ποιῆσαι cp (Rsk.). 6) δ' om. acdFgmz Laur. 7) ἀλεξάνδρου h. 8) μαργαρίτην d. 9) ἐκ om. cd. 10) ἔφη ἐνῇ ἔφησε ehkl. 11) ταῦτα agmnz Vat. Laur. Flor., ταυτὶ cett. 12) αὐτοῦ e.

§. 161. 1) ἐπεψηφισμένων gh, ἐπιψηφισμένων n, ἐπιψηφισμένων lm. 2) ἡμετέραν eghklz Flor. 3) ἐπεὶ g. 4) ὡς αὐτὸν. 5) μὲν οὖν

549 οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νῦν[6] προὔδωκεν,[7] εἴπερ ἀληθῆ ἐστιν ἃ[8] λέγεται. 50. ὡς γάρ φασιν οἱ Πάραλοι[1] καὶ οἱ 162
πρεσβεύσαντες πρὸς Ἀλέξανδρον, καὶ τὸ πρᾶγμ' εἰκότως
πιστεύεται, ἔστι τις Ἀριστίων[2] Πλαταϊκός, ὁ τοῦ Ἀριστοβού-
550 λου[3] τοῦ φαρμακοπώλου[4] υἱός, εἴ τις ἄρα καὶ ὑμῶν γιγνώ-
σκει.[5] οὗτός ποθ' ὁ νεανίσκος ἑτέρων[6] τὴν ὄψιν διαφέρων[7]
ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους[8] οἰκίᾳ· ὅ τι δὲ
πράττων ἢ πάσχων,[9] ἀμφίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμ' οὐδα-
μῶς[10] εὔσχημον ἐμοὶ[11] λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοη-
μένος ὅστις ποτ' ἐστὶ καὶ πῶς[12] βεβιωκώς, τὸν Ἀλέξανδρον
ὑποτρέχει καὶ πλησιάζει[13] ἐκείνῳ. διὰ τούτου[14] γράμματα[15]
πέμψας Δημοσθένης[16] ὡς Ἀλέξανδρον ἄδειάν τιν' εὕρηται
καὶ διαλλαγὰς[17] καὶ πολλὴν κολακείαν[18] πεποίηται. ἐκεῖθεν 163
δὲ θεωρήσατε,[1] ὡς ὅμοιόν ἐστι τὸ[2] πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ
551 τι[3] τούτων ἐφρόνει Δημοσθένης[4] καὶ πολεμικῶς εἶχεν, ὥσ-
περ καὶ φησί, πρὸς Ἀλέξανδρον,[5] τρεῖς αὐτῷ καιροὶ[6] κάλλι-
στοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. 51. εἷς
μὲν ὁ πρῶτος, ὅτ'[7] εἰς τὴν[8] ἀρχὴν οὐ[9] πάλαι καθεστηκὼς
Ἀλέξανδρος ἀπαρασκεύων[10] αὐτῷ[11] τῶν ἰδίων ὄντων εἰς τὴν
Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ
καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ,[12] ἄσμενος δ' ἂν[13] ὑμᾶς[14] εἰς
τὴν[15] συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους αὐτῷ[16]
κινδύνους. εἶπάς τιν' ἐνταῦθα λόγον,[17] Δημόσθενες, ἢ ἔγρα-
ψάς τι ψήφισμα; βούλει σε θῶ[18] φοβηθῆναι[19] καὶ χρήσασθαι

m. 6) *νυνὶ* ehkl. 7) *προὔδωκεν* e, *παρέδωκεν* c, *προσδέδωκεν* Ald., *προδέδωκεν* cett. 8) *ἃ* om. Laur.

§. 162. 1) *πάραλοι* agmnpz Vat. Laur. Flor. cum Harpocr., *παράλιοι* cett. 2) *ἀριστείων* k. 3) *ἀριστοφίλου* ehk, *ἀριστοφύλου* l. 4) *φαρμακοπούλου* Barb. 5) *γινώσκῃ* d. 6) *ἑταιρῶν* agmnz Laur. Flor. 7) *διαφέρων* d, *διαφέρων γενόμενος* cett. cf. 1, 75. *διαφ. ὀρφανὸς γενόμενος* Bakius. 8) *τοῦ δημοσθ.* gh. 9) *πάσχων* post *πράττων ἢ* pon. ehkl. 10) *ὁμοίως* Laur. 11) *ἐμοιγε* hl. 12) *ποτ' ἐστὶ καὶ πῶς* ehkl Mor. et corr. gm (Bk. Br. Di. BS. Fr. Bens.), *καὶ πῶς ποτ' ἐστὶ* cett. 13) *πλησιάζων* ehl. 14) *τοῦτο* Vat. 15) *γράμμα* Fq. 16) *πέμψας δημοσθένης* cdFq Barb., *Δημοσθ.* om. cett. 17) *καταλλαγὰς* ehkl. 18) *τὴν κολακείαν* ehkl.

§. 163. 1) *θεωρήσετε* ehkl. 2) *τὸ* om. n. 3) *τοι* ekl. 4) *Δημ.* ante *ἐφρόνει* pon. ehkl. 5) *τὸν ἀλέξανδρον* cdFq Barb. 6) *καιροὶ* om. Barb. 7) *ὅτι* h. 8) *τὴν* om. hl. 9) *οὐ* om. n. 10) *ἀπατασκεύων* hkl (Bk. Br. Di.). 11) *αὐτῷ* edd. Turicc. (Fr. Bens.). 12) *στρατείᾳ* dF Laur. Barb. 13) *ἂν δ'* agm. 14) *ἡμᾶς* ekl (Bk. Di.). 15) *τὴν κοινὴν* cdFq. 16) *αὐτῷ* edd. Turicc. (Fr. Bens.), *αὐτῷ* acdFq et mei, *ἑαυτῷ* cett. 17) *λόγον* om. p Vat. 18) *σε θῶ*] *σε θεῶ* glm, *σὺ θεὸν* h. 19) *καὶ φοβηθῆναι* cdFmnq Barb.

τῷ σαυτοῦ[20] τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. ἀλλ' ἐπειδὴ πάσῃ τῇ[1] δυνάμει Λαρεῖος κατεβεβήκει,[2] ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ[3] πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα μάλα δ'[4] ἤμελλεν,[5] ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι[6] ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολάς, ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ[7] τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων[8] ἀποκαλῶν καὶ κατεστέφθαι φάσκων, εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθ' ἔπραξας οὐδέν, ἀλλ' εἴς τινα καιρὸν ἀνεβάλλου[9] καλλίω. ὑπερβὰς τοίνυν ἅπαντα ταῦθ' ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω.

52. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ[1] καὶ διέφθειραν τοὺς περὶ Κόρραγον στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς συνεπελάβοντο[2] καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληνέων[3] καὶ Ἀρκαδία πᾶσα[4] πλὴν Μεγάλης πόλεως, αὕτη[5] δ' ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι,[6] ὁ δ' Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν[7] πάσης μεθειστήκει,[8] ὁ δ' Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον[9] ἄδηλον ἦν. ἐνταῦθ'[10] ἡμῖν ἀπόδειξιν[11] ποίησαι,[12] Δημόσθενες,[13] τί ποτ' ἦν ἃ ἔπραξας ἢ[14] τί[15] ποτ' ἦν ἃ[16] ἔλεγες· καὶ εἰ βούλει, παραχωρῶ σοι[17] τοῦ βήματος, ἕως ἂν εἴπῃς.[18] ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι, ἃ δὲ τότ' ἔλεγες,[1] ἐγὼ νῦν[2] λέξω. οὐ μέμνησθ' αὐτοῦ τὰ μιαρὰ[3] καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδηροῖ,[4] ἐκαρτερεῖτ' ἀκροώμενοι; ὅτ'

20) σαυτοῦ ez Flor. et corr. gh (Bk. Di.), αὑτοῦ am, αὐτῷ lp, αὐτοῦ edd. Turicc. (Fr. Bens.), ἑαυτοῦ cett.

§. 164. 1) τῇ om. pr. t. 2) κατεβεβήκει akmnp Vat. Laur. Flor. Barb. (BS. Fr. Bens.), καταβεβήκει cett. 3) ἀπειλημμ. ἐν Κιλ.] ἀπειλ. ἐν σικελίᾳ h, ἐν κιλικίᾳ ἀπειλ. a. 4) μάλα δ'] δὲ μάλα ehkl (Bk. Br. Di.), μᾶλλον δὲ d. 5) ἔμελλεν e. 6) συμπαθήσεσθαι Vat. 7) τι q et corr. F, τί Barb. 8) χρυσόκερον d. 9) ἀνεβάλου ek.

§. 165. 1) μάχῃς g et γρ. m. 2) συνεπελάβοντο Flor. et pr. z, συνεπιβάλλοντο rec. mg. t, συμμετεβάλοντο ekl Vat. (Bk. Br. Di. BS. Fr. Bens.), συμμετεβάλλοντο cett. 3) πελληνέων h, πελληναίων cett. cf. Steph. Byz. et Cobet. N. LL. p. 334 et ad Hyperid. Epit. p. 46. 4) Ἀρκ. π.] ἀρκάδα πᾶσαν eh. 5) αὕτη ehkl et mei (Bk. Br. Di. BS. Fr. Bens.), ταύτῃ αὐτὴ cett. 6) ἁλῶναι Vat. 7) μὲν c. 8) μεθεστήκει d. 9) ἑπόμενον Flor. 10) ἐνταῦθα δ' gmn. 11) ἀπόδειξιν om. ehl. 12) ποιῆσαι F Laur.; om. e. 13) ὦ δημόσθενες kl (Bk. Br. Di.), om. e. 14) καὶ cdehkl (Rsk. Bk. Br. Di.). 15) τὸ καὶ p. 16) ὃ hkl. 17) σοῦ el. 18) εἴποις ehklm.

§. 166. 1) καὶ εἰ (§. 165) — ἔλεγες om. a. 2) νυνὶ ehkl (Bk. Di.). 3) μικρὰ pr. h. 4) ὦ σιδηροῖ] vid. Cobet. V. LL. p. 202. N. LL. p. 528,

ἔφη[5] παρελθὼν "ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί[6] τινες τὰ κλήματα τοῦ[7] δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν
556 πραγμάτων, φορμορραφούμεθα, ἐπὶ τὰ στενά τινες ὥσπερ[8]
557 τὰς βελόνας[9] διείρουσι.[10]" ταῦτα δὲ τί[1] ἐστιν, ὦ κίναδος;[2] 167
ῥήματ' ἢ θαύματα; καὶ[3] πάλιν ὅτε κύκλῳ περιδινῶν[4] σεαυ-
558 τὸν[5] ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ "ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι,[6] ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς[7] ἀφισάναι." σὺ γὰρ[8] ἂν κώμην ἀποστήσειας;[9] σὺ γὰρ ἂν[10] προσέλθοις[11] μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰ-
559 κίαν, ὅπου[12] κίνδυνος πρόσεστιν;[13] ἀλλ' εἰ μέν που χρήματ' ἀναλίσκεται, προσκαθιζήσει,[14] πρᾶξιν δ' ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ,[15] προσποιήσει[16] καὶ σαυτὸν[17]
559 ἐπὶ[18] τὸ γεγενημένον ἐπιγράψεις·[19] ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσει·[20] ἐὰν[21] δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις[22] καὶ χρυσοῖς στεφάνοις[23] ἀξιώσεις στεφανοῦσθαι.[24]

53. Ναί, ἀλλὰ δημοτικός ἐστιν. ἐὰν[1] μὲν τοίνυν πρὸς[2] τὴν εὐφημίαν τῶν λόγων αὐτοῦ[3] ἀποβλέψητε,[4] ἐξαπατηθή- 168

ὡς σιδηρεοι k, ὡς σιδήρεα el, ὡς σιδήρεα h, ὥσι δὴ νέοι Barb., ὦ σιδήρεοι cett. 5) ἔφησε ehl. 6) ἀνατετολμήκασί el. 7) τὰ τοῦ degmp Laur. Flor. 8) φορμορραφούμεθα, ἐπὶ τὰ στενά τινες ὥσπερ edd. Turicc. cum Dion. Halic. VI p. 1126, 9. vid. Saupp. epist. crit. p. 56sq., φορμορραφούμεθα (φορμοραφούμεθα p) ἐπὶ τὰ στενὰ τινὲς (στενάν τινες Barb.) πρῶτον (πρῶκτον Bern., πρῶτον τον p) ὥσπερ vulg. vid. Phavorinus et Suid. s. v. φορμορραφούμεθα. cf. etiam Ztschrft. f. Alterthumsw. 1837 p. 256. 9) τὰς β.] τοὺς βελῶνας ehl, τὰς βελῶνας Vat., ταῖς βελόναις Bern. 10) διετόρασι h, διετιρασι l.

§. 167. 1) τί ehkl (Bk. Br. Di. BS. Fr. Bens.), τίνος cett. 2) κίναιδος acdFpq Laur. Barb., κί-
α
ναιδος gm. 3) καὶ om. ehl. 4) περιάγων h, περι l. 5) σαυτὸν e. 6) συστήσασθαι kp. 7) περαιβοὺς hkl. 8) σὺ γὰρ] σὺ θετταλοὺς ἀποστήσειας σὺ γὰρ c, σὺ θετταλοὺς ἀφιστάναι οὐ γὰρ ehk, σὺ θετταλοὺς ἀφιστάναι σὺ γὰρ l Laur. (illa σὺ θετταλοὺς ἀφιστάναι habet etiam mg. gm sed omissis σὺ γὰρ ἂν καὶ κώμην ἀποστήσειας), σὺ θετταλοὺς ἀποστήσειας Fq Barb., σὺ θετταλοὺς ἀφιστήσειας d. 9) ἀποστήσειας hkl, ἀποστήσαιο cp Vat., ἀποστήσαις cett. 10) ἂν om. l. 11) προσέλθῃς d. 12) ὅτου e. 13) πρόσεστιν; οὐκ ἔστιν Bern. 14) προσκαθιζήσει Lobeck. ad Phryn. p. 269 (Bk. Br. Di. BS. Fr. Bens.), προκαθεζήσει Vat., προσκαθίζεις εἰς k, προσκαθίσεις z, προσκαθίζεις Flor., προσκαθίζειν εἰς ehl, προκαθεστήσῃ dF, προκαθεσθήσῃ p, προσκαθεσθήσῃ cett. 15) καλῶς συμβῇ Bern. 16) προσποιήσῃ libri. 17) συνών cp, εἰς αὐτὸν Fq Barb. 18) ἔτι ad. 19) ἐπιγράψῃς dq. 20) ἀποδράσαις p, ἀποδράσῃ cett. 21) ἂν e. 22) αἰτήσῃς d Vat. 23) χρ. στ.] χρυσοῦς στεφάνους ehl. 24) ἀξιώσεις στεφανοῦσθαι ehkl Bern., στεφανοῦσθαι cett. cf. §§. 159. 226. 236. 253.

§. 168. 1) ἂν e. 2) εἰς eh et Cobet. V. LL. p. 274. 3) τ. λόγ. αὐτοῦ] αὐτοῦ τῶν λόγων cdeFhkl Barb. (Rsk. Bk. Br. Di.). 4) ἀποβλέψητε cdF Barb. Vat., ἀποβλέπητε cett.

σεσθε, ὥσπερ καὶ πρότερον, ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν[5] ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε.[6] ἐκείνως δ' ἀπολάβετε[7] παρ' αὐτοῦ τὸν[8] λόγον. ἐγὼ μὲν[9] μεθ' ὑμῶν[10] λογιοῦμαι, ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω, ποιόν τιν'[11] εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς δ' ἀντιθέντες[12] ἑκάτερα τούτων θεωρήσατ' αὐτόν, μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου[13] τοῦ βίου ἐστίν.

169 οἶμαι τοίνυν ἅπαντας ἂν ὁμολογήσειν ὑμᾶς[1] τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν ἐλεύθερον αὐτὸν[2] εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς[3] μητρός, ἵνα μὴ διὰ τὴν περὶ[4] τὸ γένος ἀτυχίαν[5] δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν δημοκρατίαν, δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τιν'[6] αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τό 560
γ' ἀναγκαιότατον μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν[7]
170 προγόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ[8] ποιεῖν τὴν πόλιν. τρίτον σώφρονα καὶ μέτριον[1] χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, τέταρτον[2] εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι[3] τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν[4] τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν γ'[5] εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμπτον ἀνδρεῖον αὐτὸν[6] εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς πολέμους[7] ἐγκαταλείπῃ[8] τὸν δῆμον.[9] τὸν δ' ὀλιγαρχικὸν πάντα δεῖ[10] τἀναν- 561
τία[11] τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι;[12] σκέψασθε δή,[13] τί τούτων ὑπάρχει Δημοσθένει·[14] ὁ[15] δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

5) εἰς τὴν ek. 6) ὥσπερ — ἐξαπατηθήσεσθε om. l. 7) ἀπολάβητε el. 8) τὸν om. ehkl. 9) δὲ q. 10) ἡμῶν Barb. 11) τι e. 12) ἀντιτιθέντες ante Reisk. 13) προτέρου n.

§. 169. 1) ὁμολογ. ὑμ.] ὑμᾶς ὁμολογῆσαι ehkl (Bk. Di.), ὑμᾶς ὁμολογήσειν cdFz Barb. Flor. (Rsk. Br.). 2) ἐλεύθ. αὐτὸν] αὐτὸν ἐλεύθερον ceFhklp Barb., αὐτῷ ἐλεύθερον d. 3) πρὸς om. acdFgmnq Vat. Barb. Flor. 4) πρὸς acdgmnz Laur. Flor. (Ald. Steph.). 5) ἵνα μὴ διὰ τὴν — ἀτυχίαν] ἵνα τῇ — ἀτυχίᾳ ehkl. 6) τινα om. p, ἀνὰ Vat. 7) τῶν om. c. 8) ἐπιχειρεῖν l.

§. 170. 1) μετρίως t (μέτριον rec. mg. t.). 2) τέταρτον δὲ gmn. 3) προορᾶσθαι Wolf. 4) τὸν λόγον πείθειν om. dFq (habet in mg.) Barb. 5) δὲ a, γ' om. eFhklqz Barb. Flor. 6) αὐτὸν Laur., καὶ αὐτὸν ceklp Vat., καὶ αὐτὴν h, om. cett. cf. §. 169. 7) κινδύνους ehkl. 8) ἐγκαταλίπῃ cdeFhklq Barb. (Rsk. Bk. Br. Di.). 9) τὸν δ.] τὴν τάξιν a. 10) δεῖ om. dF Barb., δὴ habet g Bern. 11) τοὐναντίον Laur. 12) ἐξιέναι l. 13) δὲ p. 14) δημοσθένης pr. h. 15) ὅτι Laur.

54. Τούτῳ πατὴρ μὲν ἦν[1] Δημοσθένης ὁ Παιανιεύς, 171
ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι·[2] τὰ δ' ἀπὸ τῆς
μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει αὐτῷ;[3]
ἐγὼ φράσω.[4] Γύλων[5] ἦν ἐκ Κεραμέων.[6] οὗτος προδοὺς τοῖς
πολεμίοις Νύμφαιον[7] τὸ ἐν τῷ[8] Πόντῳ, τότε τῆς πόλεως
ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ' εἰσαγγελίας[9] ἐκ τῆς πό-
562 λεως[10] ἐγένετο[11] τὴν κρίσιν οὐχ ὑπομείνας,[12] καὶ ἀφικνεῖται
εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων
τοὺς ὠνομασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν 172
μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν[1] δὲ τὸ
γένος, ἐξ ἧς γίγνονται[2] αὐτῷ[3] θυγατέρες δύο,[4] ἃς ἐκεῖνος[5]
δεῦρο μετὰ πολλῶν χρημάτων στείλας[6] συνῴκισε[7] τὴν μὲν
ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ' ἑτέ-
ραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ
563 Παιανιεύς, ἐξ ἧς ὑμῖν[8] ὁ περίεργος καὶ συκοφάντης Δημο-
σθένης γεγένηται.[9] οὐκοῦν[10] ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς
μητρὸς[11] πολέμιος[12] ἂν εἴη τῷ δήμῳ, θάνατον[13] γὰρ αὐτοῦ
τῶν προγόνων κατέγνωτε, τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης,
βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ[14] τὴν πυνθάνεσθαι οὐκ[15]
ἐπιχώριός ἐστι. 55. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς[1] 173
ἐστιν; ἐκ[2] τριηράρχου λογογράφος ἀνεφάνη, τὰ[3] πατρῷα κα-
ταγελάστως[4] προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας
εἶναι[5] καὶ τοὺς λόγους[6] ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν

§. 171. 1) ἦν om. p Vat. Laur. 2) ψεύσασθαι d. 3) αὐτῶν l. 4) ἐγὼ φράσω om. ehkl. 5) γύλλων p. 6) κεραμέων ἀπόδημος g et mg. hm. 7) νυμφαῖον ekl, νύμφαιον h. 8) τῷ om. aehl (Bk. Br. Di.). 9) ἀπ' εἰσαγγελίας ceklp Vat. et mg. Fm (Bern. ante τὴν κρίσιν), ἐπ' εἰσαγγελίας h, ἀπὸ ἀγγελίας g, om. cett. cf. §. 79. 10) ἐχούσης — πόλεως om. Barb. 11) θανάτου (θανάτω e) καταγνωσθέντος αὐτοῦ (αὐτῷ Barb.), quae vv. add. codd. post ἐγένετο, cum Bakio l. c. p. 328 sq. delevi. 12) τ. κρίσ. οὐχ ὑπομ.] οὐχ ὑπομείνας τὴν κρίσιν a.

§. 172. 1) σκῦθιν h, σκῆθιν l. 2) ἐξ ἧς γίγνονται] γίνονται δ' cdFq Barb., ἧς om. Laur. 3) αὐτῷ ante γίγνονται pon. ehkl Laur. 4) θυγ. δ.] δύο θυγατέρες ehkl, θυγατέραις δύο Laur. 5) ἐξ ἧς — ἐκεῖνος om. Vat., ἐξ ἧς δύο θυγατέρας γεννήσας, καὶ ταύτας p. 6) στείλας agmnz Vat. Laur. (BS. Bens.), om. Flor., ἀποστείλας cett. 7) συνῴκησε d, συνῴκισε δὲ a. 8) ἡμῖν pt Laur. Flor. 9) δημοσθένης γεγένηται achklpz Vat. Laur. et mg. Flor. (BS. Bens.), δημοσθένης γεγέννηται e, γεγένηται δημοσθ. cett. 10) νόμους — οὐκοῦν] νόμους ἐξ ἧς δημοσθένης ὁ παιανιεὺς γεγένηται οὐκοῦν dFq Barb. 11) ταῦ πρὸς μητρὸς om. ehkl. 12) πόλεμος Flor. 13) θανάτου e. 14) κατὰ mg. n, καὶ om. e. 15) οὐκ om. p Vat.

§. 173. 1) τι q. 2) ἐκ τοῦ cp Vat. 3) καὶ τὰ q. 4) καταγ. ante τὰ πατρῷα pon. ehkl. 5) εἶναι om. t (add. rec. mg.). 6) τοῖς λό-

ἐπὶ τὸ βῆμα· πλεῖστον δ'[7] ἐκ τῆς πόλεως[8] εἰληφὼς ἀργύριον
ἐλάχιστα περιεποιήσατο.[9] νῦν μέντοι τὸ βασιλικὸν χρυσίον 564
ἐπικέκλυκε[10] τὴν δαπάνην αὐτοῦ, ἔσται[11] δ' οὐδὲ τοῦθ' ἱκα-
νόν· οὐδεὶς γὰρ πώποτε[12] πλοῦτος τρόπου πονηροῦ[13] περιε-
γένετο· καὶ τὸ κεφάλαιον, τὸν βίον[14] οὐκ ἐκ τῶν ἰδίων προσ-
174 όδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. περὶ δ'
εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινὸς[1] λέ- 565
γειν, κακὸς[2] βιῶναι.[3] οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώ-
ματι καὶ παιδοποιίᾳ[4] ὥστ' ἐμὲ μὴ[5] βούλεσθαι λέγειν[6] ἃ
τούτῳ[7] πέπρακται· ἤδη γάρ ποτ' εἶδον μισηθέντας τοὺς τὰ
τῶν[8] πλησίον[9] αἰσχρὰ λίαν[10] σαφῶς λέγοντας. ἔπειτα τί
συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα.
175 56. πρὸς δ' ἀνδρίαν[1] βραχύς μοι λείπεται λόγος. εἰ μὲν[2]
γὰρ[3] ἠρνεῖτο μὴ[2] δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνήδετε,[4] διατρι-
βὴν ὁ λόγος[5] ἂν μοι παρέσχεν·[6] ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ
ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς
περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων ὁ παλαιὸς νομο-
θέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν[7] ἀστρά- 566
τευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως·
εἰσὶ γὰρ[8] καὶ[9] δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις
ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί.[10] εἰσίν. τίνος ἕνεκα; ἵν' ἕκα-
στος ἡμῶν[11] τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ
τοὺς πολεμίους ἀμείνων[12] ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος
176 ὑπάρχῃ.[13] ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν
δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιρραντηρίων
τῆς[1] ἀγορᾶς ἐξείργει, καὶ[2] οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι

γοις el Mor. 7) δ' om. n. 8) πολιτείας ehkl et mg. gm (Bk. Br. Di.). cf. §. 23. 9) ἐποιήσατο n. 10) ἐπικέκληκε ghlmn Laur. 11) ἔστι cdq (edd. ante Rsk.). 12) πώποτε om. cdFq Barb. (Ald. Steph.). 13) τρόπ. πονηρ.] πονηροῦ τρόπου ehl. 14) τὸν βίον om. a.

ω

§. 174. 1) δεινὸς h, δεινῶς dghmnp. 2) κακὸς ekz Vat. Flor. Bern., κακῶς cett. 3) ὅσ. βιῶν mg. ghm. 4) καὶ παιδοπ.] ἐκ παιδὸς cp. 5) ὥστ' ἐμὲ μὴ Bk. Di. BS. Fr. Bens., ὥστε μή με ehkl, ὥστε μὴ n, ὥστε με μὴ cett. 6) λέγειν om. Barb. 7) τούτῳ om. n. 8) τῶν om. de. 9) πλησίων F Vat. Flor. 10) λέγειν Barb.

§. 175. 1) ἀνανδρίαν mg. Steph., ἀνδρείαν Barb. 2) μὲν — μὴ] μὴ — μηδὲ e. 3) γὰρ om. t. 4) συνήδητε Vat., συνείδητε q, συνήδειτε cett. libri, συνῆστε Fr.; αὐτῷ post συνήδ. add. cdFl Barb. 5) εἰ — λόγος om. l, in mg. ponit h. 6) παρεῖχεν ehkl (Bk. Br. Di.). 7) καὶ τὸν p (Rsk.). 8) δὲ el. 9) καὶ om. l. 10) καίτοι — γραφαί om. ekl. 11) ἡμῶν ehkl, ὑμῶν cett. 12) μᾶλ' ἀμείνων cdF Barb. 13) ὑπάρχοι acF Vat. Laur., ὑπάρχοι
χει Barb., ὑπάρχει dq, γίγνηται ehkl Flor.

§. 176. 1) καὶ τῆς Bern. 2) καὶ

εἰς τὰ ἱερὰ τὰ[3] δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον[4] ἐκ τῶν νόμων κελεύεις ἡμᾶς[5] στεφανοῦν, καὶ τῷ σαυτοῦ[6] ψηφίσματι, τὸν οὐ προσήκοντ' εἰσκαλεῖς[7] τοῖς[8] τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν[9] τὰ ἱερὰ δειλίᾳ[10] προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι· θεωρεῖτ' αὐτοῦ μὴ τὸν
567 λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε, μὴ τίς φησιν[11] εἶναι, ἀλλὰ τίς ἐστιν.

57. Ἐπεὶ δὲ[1] στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως[2] 177
ἔτι μέμνημαι, προλέγω ὑμῖν, ἄνδρες[3] Ἀθηναῖοι, εἰ μὴ καταλύσετε[4] τὰς ἀφθόνους ταύτας δωρεὰς[5] καὶ τοὺς εἰκῇ[6] διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματ' ἐπανορθωθήσεται·[7] τοὺς[8] μὲν γὰρ[9] πονηροὺς οὐ μή ποτε[10] βελτίους ποιήσετε,[11] τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν[12] ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων[13] οἶμαι σημεῖα δείξειν[14] ὑμῖν. εἰ γάρ 178
τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν[1] ἐνδοξοτέρα δοκεῖ ἡ πόλις[2] εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ[3] ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε,[4] ἐπὶ[5] τῶν προγόνων.[6] ἄνδρες δὲ πότερον τότ'[7] ἀμείνους ἦσαν ἢ νυνί;[8] τότε μὲν διαφέροντες, νυνὶ[8] δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις[9] ἐν πρυτανείῳ πότερον[10] τότ' ἦσαν πλείους[11] ἢ νυνί; τότε[12] μὲν ἦν[13] σπάνια τὰ καλὰ[14] παρ' ἡμῖν[15]
568 καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν[16] δ' ἤδη καταπέπλυται[17] τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας

om. e. 3) τὰ om. l. 4) στεφάνωτον Ald. 5) ὑμᾶς l. 6) ἑαυτοῦ σαυτοῦ ekl, ἑαυτῷ h. 7) ἐκκαλεῖς Laur. 8) ἐν τοῖς p (Rsk.). 9) τὸν om. ehkl. 10) δειλίᾳ p Vat., διὰ δειλίαν cett. 11) φασὶν Flor.

§. 177. 1) δὴ l, δὴ δὲ d. 2) ἕως ἂν ehl. 3) ὦ ἄνδρ. ehkl (Bk. Br. Di.). 4) καταλύσεται q. 5) δωρεὰς ante ταύτας pon. a. 6) ἐκεῖ Laur. 7) οὐδέποτ' ἐπανορθωθήσεται kl, οὐδέποτ' ἐπανορθώσετε h. 8) καὶ τοὺς c. 9) γὰρ om. eghklmn. 10) μὴ ποτε] δὲ ποτε a, om. ehkl. 11) ποιήσητε cdF. 12) ἀτιμίαν Laur. 13) νῦν cdFq Barb. (edd. ante Rsk.). 14) δεῖξαι t.

§. 178. 1) ὑμῖν om. cdFq Barb. 2) πόλις ὑμῶν k, πόλ. ἡμῶν aegmnpz Vat.Laur.Flor.(Fr.Bens.), πόλ. δοκεῖ (non omisso superiori δοκεῖ) l. 3) καὶ Laur. 4) ὁμολογήσετε cdFlpq Vat. Laur. Barb., ὁμολογήσητε agm, ὁμολογήσοιτε h. 5) ὅτι ἐπὶ h (Bk. Br. Di.), cf. §. 208 in. 6) ἅπαντες — προγόνων om. n. 7) πότε Vat. 8) νῦν ehk. 9) σιτίσεις acp Vat. Laur. Barb. Flor. (Rsk.). 10) πότερον om. p. 11) πλείους ante ἦσαν pon. e. 12) τοῦτο l. 13) οὖν t, ἦν οὖν rec. mg. t. 14) ἀθλα Markland. 15) ὑμῖν Flor. 16) νυνὶ ehk. 17) καταλέλυται a et γρ. Laur., καταπεπάτηται h, καταπέπληται p, καταπέπληται Vat., καταπέπτυσται Rsk.

179 ποιεῖσθε. οὐκ[1] οὖν ἄτοπον οὑτωσὶ διαλογιζομένοις[2] τὰς μὲν
δωρεὰς[3] νῦν[4] πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως
τότε μᾶλλον ἰσχύειν,[5] καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι,
τότε δ'[6] ἀμείνους; ἐγὼ δὲ[7] τοῦθ' ὑμᾶς[8] ἐπιχειρήσω διδά-
σκειν. 58. οἴεσθ' ἄν[9] ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τιν' 569
ἐπασκεῖν εἰς τὰ Ὀλύμπι'[10] ἢ εἰς[11] ἄλλον τινὰ τῶν στεφανι-
τῶν ἀγώνων παγκράτιον ἢ καὶ[12] ἄλλο τι τῶν βαρυτέρων
ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ
180 διαπραξαμένῳ; οὐδεὶς ἄν[13] ποτ' ἠθέλησεν ἐπασκεῖν. νῦν
δ', οἶμαι,[1] διὰ τὸ σπάνιον καὶ τὸ[2] περιμάχητον καὶ τὸ[3] καλὸν
καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες[4] τὰ σώματα
παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναν-
τες[5] διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι[6]
ἀγωνοθέτας πολιτικῆς[7] ἀρετῆς, κἀκεῖν' ἐκλογίσασθε,[8] ὅτι,
ἐὰν μὲν[9] τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους
διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βου-
λομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς
181 φύσεις διαφθερεῖτε.[10] ὅτι δ' ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέ-
στερον ὑμᾶς βούλομαι[1] διδάξαι. πότερον ὑμῖν[2] ἀμείνων ἀνὴρ 570
εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας, ὅτ' ἐν[3] τῇ Σαλα-
μῖνι[4] ναυμαχίᾳ τὸν Πέρσην[5] ἐνικᾶτε,[6] ἢ Δημοσθένης ὁ[7] τὴν
τάξιν[8] λιπών; Μιλτιάδης δ' ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς
βαρβάρους νικήσας,[9] ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύ-
γοντα[10] τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος
182 ἐπικαλούμενος,[11] ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει;
ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς

§. 179. 1) *οὐκ* om. l. 2) *οὑτωσὶ διαλ.*] *οὕτως ἰδίᾳ λογιζ.* hkl, *οὑτωσὶ διαλογιζόμενος* p Vat. 3) *δωρεὰς μὲν* Laur. 4) *νυνὶ* k, om. el. 5) *ἰσχύειν* Bk. Di. cum ehkl et Cobet. V. LL. p. 291, *ἢ νῦν ἰσχύειν* cett. 6) *τὸ δ'* Vat. 7) *δὲ* om. ehkl. 8) *ὑμῖν* p. 9) *ἄν* om. acdFgmnz Laur. Barb. Flor. 10) *παναθήναια* vulgo. 11) *εἰς* om. ehkl. 12) *καὶ* om. c. 13) *οὐδεὶς ἄν*] *οὐδὲ* cdFq Barb. (Rsk.)

§. 180. 1) *οἶμαι* om. ehkl. 2) *τὸ* om. ehkl. 3) *τὸ* om. hl. 4) *τε* p Vat. 5) *ὑπομείνατε* d. 6) *εἶναι* om. hl. 7) *τῆς πολιτ.* cp (Rsk.). 8) *ἀναλογίσασθε* cp, *λογίσασθε* ehkl. 9) *μὲν* om. ehkl. 10) *διαφερεῖτε* Ald.

§. 181. 1) *βούλομαι* ante *ὑμᾶς* pon. n. 2) *ὑμῖν* om. Flor. 3) *ἐν* om. cum cdFq Laur. Barb.: Ald. edd. Turicc. et C. Scheibius l. c. p. 160. 4) *σαλαμῖνι* p Vat. (BS. Fr. Bens.), *παρὰ σαλαμῖνι* gmn, *περὶ σαλαμῖνι* acdFz Laur. Barb. Flor., *περὶ σαλαμῖνα* Rsk. Bk. Br. Di. cum cett., *ἐν Σαλαμῖνι* coni. C. Scheibius l. c., *ἐν* hic et infra (*ἐν Μαρ.*) delet Cobet. 5) *τὸν Π.*] *τοὺς πέρσας* p. 6) *νενικήκατε* ehkl. 7) *ὁ νῦν* k, *ὁ νυνὶ* el. 8) *τὴν τ.*] *τὰς τάξεις* cdFh Laur. Barb., *τὰς ταξεῖς* Vat. 9) *νικήσας* ante *τοὺς βαρβάρους* pon. ehkl. 10) *φεύγοντες* ehklq Mor. 11) *ἐπικαλούμενος* om. agmn (BS. Fr. Bens.). cf. praefat.

571 ἡμέραις ἄξιον ἡγοῦμαι[1] μεμνῆσθαι τοῦ θηρίου τούτου κἀκείνων[2] τῶν ἀνδρῶν. 59. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ[3] λόγῳ, εἴ που γέγραπταί τινα τῶν ἀνδρῶν τούτων[4] στεφανῶσαι. ἀχάριστος ἆρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ μεγαλό-
572 φρων, κἀκεῖνοί[5] γ' οἱ μὴ[6] τετιμημένοι τῆς πόλεως ἄξιοι·[7] οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ'[8] ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον, ἄξιόν[9] ἐστι μνησθῆναι.[10]

Ἦσάν[1] τινες[2] κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν[3] πόνον 183
ὑπομείναντες[4] καὶ μεγάλους κινδύνους ἐπὶ[5] τῷ Στρυμόνι[6] ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρ' ἀφικόμενοι τὸν δῆμον ἠτήσαν δωρεάν, καὶ[7] ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν
573 τῇ στοᾷ τῇ[8] τῶν Ἑρμῶν, ἐφ' ᾧτε[9] μὴ ἐπιγράφειν[10] τὰ ὀνόματα τὰ[11] ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ[12] εἶναι τὸ ἐπίγραμμα.

60. Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσε- 184
σθε.[1] ἐπιγέγραπται γὰρ[2] ἐπὶ[3] τῷ μὲν[4] πρώτῳ τῶν Ἑρμῶν

ἦν[5] ἄρα[6] κἀκεῖνοι ταλακάρδιοι,[7] οἳ ποτε Μήδων
παισὶν[8] ἐπ' Ἠϊόνι,[9] Στρυμόνος ἀμφὶ ῥοάς,
574 λιμόν[10] τ' αἴθωνα κρατερόν[11] τ' ἐπάγοντες Ἄρηα[12]
πρῶτοι δυσμενέων εὗρον[13] ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ

§. 182. 1) ἡγοῦμαι εἶναι ehk. 2) κἀκείνων e (Bk. Di. Fr.), καὶ ἐκείνων cett. 3) ἑαυτοῦ ehk, αὐτῷ m. 4) τ. ἀνδρ. τούτ.] τούτων τῶν ἀνδρῶν cdeFhklq Barb. (Rsk. Bk. Br. Di.). 5) κἀκεῖνό agmnp. 6) οἱ μὴ] εἰ μὴ a, οἱ μὲν n, οἱ μὴ οὕτω Rsk. cum cdFq Barb., οἱ μὴ τετιμημένοι delet Hamaker. Mnemos. VIII p. 14. 7) ἀνάξιοι cdFq Barb. 8) ὑπ' h. 9) ἄξιον cdFq Barb., quam lectionem Frank. cum Bakio l. c. p. 329 et Cobet. ad Hyperid. Epit. p. 36 restitui vult, ὧν ἄξιον cett. 10) μεμνῆσθαι Laur.

§. 183. 1) ἦσαν δέ gmn. 2) Post τινες addunt Bk. Di.: ὦ ἄνδρες Ἀθην. ex ehkl 3) πολλοὺς q. 4) πόνον ὑπομείναντες] πόνον ὑπομείναντες χρόνον agmn Laur., ὑπομείναντες χρόνον cdFpq Vat. Barb., πόνον corr. Bern. 5) ἐν gmn. 6) στρυμμόνι p. 7) καὶ om. ehkl. 8) τῇ om. ehkl. 9) ἐφ' ᾧτε] ἔφη τε cgmnp Vat. Laur. (Ald.), ἔφην τε a, ἔφησε dFq Barb. 10) ἐπιγράψειν cp. 11) τὰ om. qt. τὰ ὀν. τὰ] τὸ ὄνομα τὸ ehkl, ut §. 185 extr. 12) δοκεῖ d.

§. 184. 1) γνώσεσθε ehkl. 2) δὲ t, γὰρ om. hkl. 3) ἐν hl. 4) τῷ μὲν amn Vat. Laur. Barb., μὲν τῷ cett. (Rsk. Bk. Br. Di.). cf. Cobet. N. LL. p. 351. et Frank. ad 1, 177, 6. 5) ἦσαν ehklq schedae Scrimg. 6) ἄρα om. h, δ' ἄρα rec. h. 7) τλησικάρδιοι cp. 8) πᾶσιν Vat. 9) ἐπ' Ἠϊόνι] ἐπὶ ἰόνι d, ἐπὶ κίονι Vat. 10) υ λιμὸν n. 11) καρτερὸν e Mor., κρατερὰν p. 12) ἔριν cp. 13) τεῦ-

ἠγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ'[14] ἔδωκαν[15]
ἀντ' εὐεργεσίης[16] καὶ μεγάλης ἀρετῆς.[17]
μᾶλλόν[18] τις τάδ'[19] ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει[20]
ἀμφὶ περὶ ξυνοῖς[21] πράγμασι μόχθον[22] ἔχειν.
185 ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ 575
ἔκ ποτε τῆσδε πόληος[1] ἅμ' Ἀτρείδῃσι[2] Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον,[3]
ὃν ποθ'[4] Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων[5]
κοσμητῆρα[6] μάχης[7] ἔξοχον ἄνδρα[8] μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς[9] Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς[10] πολέμου τ'[11] ἀμφὶ καὶ ἠνορέης.
ἔστι[12] που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ[13]
τοῦ δήμου.

186 61. Προσέλθετε[1] δὴ[2] τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἅπάντων γὰρ ὑμῖν[3] τῶν καλῶν ἔργων τὰ ὑπομνήματ' ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθ' ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν 576
ἦν ὁ στρατηγός; οὐτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες[4] ἀποκρίναισθ' ἄν,[5] ὅτι Μιλτιάδης, ἐκεῖ δ' οὐκ[6] ἐπιγέγραπται. πῶς;[7] οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην;[8] ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν,[9] ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ

κρον F. 14) τάγ' ehkl Mor. χάριτος 15) δῶκαν cdq. 16) ἀμοιβῆς a. 17) μεγ. ἀρετῆς] μεγάλων ἀγαθῶν Bern. sched. Scrimg. 18) ὡς μᾶλλον cp. 19) ταῦτ' el. 20) ἐθελήση p. 21) ἀμφὶ περὶ ξυνοῖς cum Plut. Cim. 7: edd. Turicc. Bens., χαίρων ἀμφὶ ξυνοῖσι ehkl; ἀμφὶ ξυνοῖσι vulg. Pro ξυνοῖσι habet h: ξεινοῖς, q: ξενοῖσι (ἀμφιξεν. uno vocᵉ), Bern.: τοῖς ξυνοῖς. 22) μόθον l, πόνον a.

§. 185. 1) πόλεως cdFgm Vat. Barb. 2) ἀτρείδαισι e Mor., ἀτρείδεσι l, ἀτρείδεσσι h. 3) ἄμπεδίον edd. Turicc. (Fr. Bens.), ἐς πεδίον hkl Bern., ἀμπεδίον vulg. 4) περ a. 5) θωρηκτάων supra vs. ghm, mg. Bern. Plutarch. l. c., περ φρονεόντων a. 6) κοσμητῆρα ehkl Vat. Barb. Mor. Bern. sched. Scrimg. (Bk. Br. Di. BS. Fr. Bens.), κοσμήτορα agm, κοσμήτορα cdFp Laur., κοσμήτορα n, κοσμήτωρα cett. 7) μάχην h. 8) ὄντα Bern. 9) ἀεικεσθ' pr. F. 10) κοσμηταῖς Plut. 11) τ' om. ehkl. 12) ἐνταῦθ' ἔστι cp (Rsk.). 13) τὸ om. cdp Vat.

§. 186. 1) προέλθετε deFhklq Barb. cf. Bakius l. c. et Cobet. ad Hyperid. Epit. p. 31. 2) δὴ om. p. 3) ἡμῖν ehkl. 4) ἅπαντες om. Vat. cf. §§. 178. 243. 5) ἀποκρ. ἂν] ἀποκρίνεσθε ἄν Fpq Vat. Laur. Barb., ἀποκρίνασθε ἄν n, ἀποκρίνασθε ἂν d, ἀποκρίνασθε ἂν m, ἀποκρίνεσθε ἄν g, ἀποκρινεῖσθε ἄν Flor., ἀποκρινεῖσθε ehl, ἄν ἀποκρινεῖσθε k. 6) οὐκ om. q. 7) πῶς οὖν e. 8) τὴν δωρ. ταύτ.] ταύτην τὴν δωρεὰν ehkl. 9) ᾔτησεν — ἔδωκεν

γραφῆναι,[10] παρακαλοῦντι[11] τοὺς στρατιώτας. ἐν τοίνυν τῷ 187
μητρῴῳ,[1] ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα[2] τὸν
δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ[3] ὁ τὸ[4] ψήφι-
σμα γράψας καὶ[5] νικήσας Ἀρχῖνος[6] ὁ ἐκ Κοίλης, εἷς τῶν κα-
ταγαγόντων[7] τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν[8] αὐτοῖς[9] εἰς
θυσίαν[10] καὶ ἀναθήματα[11] δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ'
ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ[12] κατ' ἄνδρ' ἕκαστον,[13] ἔπειτα
κελεύει στεφανοῦσθαι[14] θαλλοῦ στεφάνῳ αὐτῶν[15] ἕκαστον,
577 ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ[16] τοῦ θαλλοῦ στέφανος[17]
τίμιος,[18] νυνὶ[19] δὲ καὶ ὁ[20] χρυσοῦς[21] καταπεφρόνηται. καὶ[22]
οὐδὲ τοῦτ' εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν
σκεψαμένην, ὅσοι αὐτῶν[23] ἐπὶ Φυλῇ[24] ἐπολιορκήθησαν,[25]
ὅτε[26] Λακεδαιμόνιοι[27] καὶ οἱ τριάκοντα προσέβαλλον[28] τοῖς
καταλαβοῦσι[29] Φυλήν,[30] οὐχ ὅσοι τὴν τάξιν ἔλιπον[31] ἐν Χαι-
ρωνείᾳ τῶν πολεμίων ἐπιόντων.

Ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν[32] τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ[33] ΑΠΟ ΦΥΛΗΣ.[34]

578 62. Παρανάγνωθι[1] καὶ[2] ὃ γέγραφε Κτησιφῶν Δημο- 188
σθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.[3]

ΨΗΦΙΣΜΑ.[4]

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν[5] κατάγαγόντων
τὸν δῆμον[6] δωρεά. εἰ τοῦτ'[7] ἔχει καλῶς, ἐκεῖν'[8] αἰσχρῶς·[9]

om. el. 10) γραφῆναι ante πρώτῳ α pon. ehkl. 11) παρακαλοῦντι ghm. §. 187. 1) παρὰ τὸ βουλευτήριον, quae vv. addunt codd. (παρὰ om. et) post μητρῴῳ, cum Bakio l. c. C. Scheibius l. c. p. 157 et Hamaker. l. c. p. 15 delent. 2) φεύγοντας Fq Barb. 3) γὰρ om. c. 4) τὸ om. mn. 5) γράψας καὶ om. ehkl. 6) ἀρκῖνος ehl. 7) καταγόντων p Vat., ἀγαγόντων cdFq Barb. 8) μὲν post αὐτοῖς ponit Barb. 9) αὐτοῖς post θυσίαν ponit a. 10) θυσίας p. 11) ἀναθύματα d. 12) δραχμὰς Barb. 13) ἕκαστον om. ehkl. 14) στεφανῶσαι ehkl (Bk. Br. Di.). 15) αὐτὸν ek. 16) καὶ ὁ ehklz Flor. 17) στεφάνου am. 18) οὐ τίμιος n. 19) νῦν ehkl. 20) ὁ om. t. 21) χρυσὸς cdFt Barb. (Ald. Steph.), χρυσοῦς rec. mg. t. 22) καὶ om. el. 23) αὐτῶν om. ehkl. 24) φυλῆς cdeFhkl Barb. (Rsk. Bk. Br. Di.). cf. Lys. 12 §. 52. 25) ἐπολιωρκήθ. q. 26) οἵ τε aehk. 27) οἱ λακ. z Flor. 28) προσέβαλον el. 29) καταβάλλουσι Vat. 30) τοῖς καταλ. Φυλὴν delet Hamaker. 31) ἔλειπον d. 32) ἡμῖν el. 33) τῆς cq Barb., τοῖ F. 34) titulum om. a Vat. Laur., περὶ — φυλῆς om. mn.

§. 188. 1) ἀνάγνωθι n, προαναγνωθι Bern. 2) δὴ καὶ z Flor., δὲ καὶ e. 3) αἰτίῳ ante κακῶν pon. ehkl. 4) titulum om. Vat. 5) ἡ τῶν] ἡμῶν hl. 6) τὸν δῆμον om. ehkl. 7) εἰ τοῦτ'] εἶτ' cdF Barb., εἶτ' Ald. 8) ἐκεῖνο a. 9) post

εἰ ἐκεῖνοι[10] κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

189 Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια[1] ποιῶ παραβάλλων αὐτῷ τὰ[2] τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνά[3] φησι[4] τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον[5] τὸν παλαιὸν ἐκεῖνον[6] πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν[7] ἀγωνιστάς, ὥσπερ ὑμᾶς[8] ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ἀγὼν[9] πρὸς ἀλλήλους, τοῖς[10] δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν,[11] ἧς καὶ[12] ἕνεκα στεφανοῦνται.[13] δεῖ γὰρ τὸν κήρυκ' ἀψευδεῖν, ὅταν[14] τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται[15] πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν, ὦς Παταικίωνος[16] ἄμεινον πεπολίτευσαι,[16] διέξιθι, 579
ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον[17] ἀπαίτει.

190 Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν. 580

ΕΠΙΓΡΑΜΜΑ.[1]

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς[2] ἀδίκοις[3]
θεσμοῖς ἄρξαντας[4] πόλεως πρῶτοι[5] καταπαύειν
ἦρξαν,[6] κίνδυνον σώμασιν ἀράμενοι.

191 Ὅτι τοὺς παρὰ τοὺς νόμους[1] ἄρξαντας[2] κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν

αἰσχρῶς habet Laur. vv.: εἰ ἐκεῖνο αἰσχρῶς. 10) ἐκεῖνο l, δ' ἐκεῖνοι cept.

§. 189. 1) δίκαιον p. 2) αὐτῷ μ τὰ] αὐτὰ Vat. 3) φιλάμονα q, φιλάμμονα dF. 4) φήσει cdF η Barb. (Rsk. Bk. Br. Di.), φασὶ h, φασὶ elq. 5) τὸν γλαῦκον z Flor. 6) ἐκεῖνον om. ehkl. 7) ἑαυτῶν d Vat. 8) ἡμᾶς cdeFhklq Barb. (vulg. ante Rsk.). 9) ἀγὼν cdFq Barb., ὁ ἀγὼν cett. 10) οἷς p. 11) ἀρετὴν hl. 12) καὶ om. ehkln. 13) στεφανοῦται Laur. Barb. 14) ὅτε q. 15) ποιεῖται Laur. Barb., ος ποιεῖτε Vat. 16) παταικίωνα — σαι πεπολίτεύκασι h. 17) τὸν δ.] τῷ δήμῳ a.

§. 190. 1) titulum om. ap Flor. 2) τοῖς l. 3) ἀδίκους c. 4) ἄρξαντας κατέλυσαν cp. 5) πόλεως πρῶτοι coni. Frank., πόλιος πρῶτοι hk (Bk. Br. Di.), πόληος πρῶτοι el, πρῶτοι τε πόλεως p, πρῶτοι πόλεως cett. 6) εἵρξαν p.

§. 191. 1) π. τ. νόμ.] παρανόμους l, παρανόμως hk, παρὰ τὸν νόμον n. 2) ἄρξαντες l.

ἔτι[3] τότε πᾶσιν, ὅτι[4] τηνικαῦθ' ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. 63. καὶ γάρ τοι,[5] ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντ' ἐτελεύτησεν, ἅπάντων μετασχὼν[6] τῶν πόνων τῇ πόλει, ὃς[7] πολλάκις πρὸς ἐμὲ διεξῄειν[8] ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτ' ἀρτίως κατεληλύθει[9] ὁ δῆμος, εἴ τις
581 εἰσίοι[10] γραφὴν[11] παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τοὔνομα καὶ τοὔργον. τί γάρ ἐστιν[12] ἀνοσιώτερον[13] ἀνδρὸς
582 παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς 192
ἐκεῖνος ἀπήγγελλεν,[1] οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο,[2] ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ[3] δικασταὶ τοῖς τὰ[4] παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον[5] τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἠλίσκοντ' οἱ παράνομα[6] γράφοντες, οὐκ εἰ πάντας παραπηδήσειαν[7] τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον[8] συλλαβὴν παραλλάξειαν.[9] τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμ' ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ[10] γραμματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμ'[11] ἀκροώμενοι πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν 193
583 τῶν[1] Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. μετενήνεκται[2] γὰρ ὑμῖν[3] τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται,[4] ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοθ' ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ[5] περὶ τούτων ἀναγκάζονται τὴν[6]

3) ἔτι om. a (Fr.). 4) ὅτε ehkl. 5) τι ante Rsk. 6) συμμετασχὼν Bern. 7) ὡς t Bern., οὓς Markland. 8) διεξῄει libri. 9) κατελύθη elp. 10) εἰσῄει ehkl, διεξίοι coni. Frank. 11) γραφὴ q Bern. (Rsk. Bk.), ut §. 197. vid. Isaeus 8 §. 44, Demosth. 28 §§. 17. 59, 121. 12) οὐδέν ἐστιν l, ἄν ἐστιν q, ἐστιν om. Barb. 13) ἀνοσιώτατον n.

§. 192. 1) ἀπήγγειλεν del, ἀπήγγειλεν h. 2) ἐποίουν dFq Barb. 3) πολὺ χαλεπώτεροι οἱ] πολλοὶ ehl; articulum om. k. 4) τὰ om. cdeFhklq Barb. (Bk. Br. Di.). 5) ἀνεπόδιζον g, ἐνεπόδιζον h et mg. m. 6) τὰ παράνομα ehkl. 7) παραπηδήσειαν Fr., ὑπερπηδήσαιεν Bern., παραποιήσαιεν h, παραπηδήσαιεν cett. 8) μόνην h. cf. §. 140. 9) παραλλάξειαν dFq Barb., παραλλάξαιεν cett. 10) γὰρ om. cghlm Barb. 11) πρᾶγμα om. Laur.

§. 193. 1) τοῦ ehklq. 2) μετήνεγκται e, μετήνεκται l. 3) ὑμῖν cum Marklando Bk. Br. Di. Fr. Bens., ἡμῖν ehk mg. Steph., ὑμῶν cett. libri, ὑφ' ὑμῶν Rsk., del. Sauppius. 4) ἀπολεῖται cF Barb., ἀπωλεῖται d. 5) δικασταὶ, quod v. codd. add. post εἰσὶ, delevi cum Cobeto N. LL. p. 103. cf. 1, 175. 6) τὴν

ψῆφον φέρειν.[7] λέγει δ' ὁ φεύγων, ἂν[8] ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ[9] καὶ πρότερον ἕτερος[10] τοιαῦτα[11] γράψας ἀπέφυγεν. ἐφ' ᾧ
194 καὶ νυνὶ[12] μέγα φρονεῖν[13] ἀκούω Κτησιφῶντα. 64. ἐτόλμα δ' ἐν ὑμῖν[1] ποτε[2] σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς[3] λέγων, ὅτι γραφὰς παρανόμων πέφευγεν[4] ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ[5] ὁ[6] Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματ' οὐδεμίαν πώποτε γραφὴν πέφευγε[7] παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι,[8] ἀλλὰ καὶ οἱ φίλοι τοὺς 584
195 φίλους, εἴ τι[9] ἐξαμαρτάνοιεν[10] εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριᾶ[1] ἕνα[2] τῶν συγκατελθόντων 585
αὐτῷ ἀπὸ Φυλῆς,[3] καὶ εἶλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσανθ'[4] οἱ δικασταί· ἠγοῦντο γάρ, ὥσπερ τότ' αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας[5] ἐξελαύνειν παρὰ τοὺς νόμους
196 γράφοντά τι.[6] ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν[1] τοὐναντίον γίγνεται· οἱ γὰρ ἀγαθοὶ[2] στρατηγοὶ[3] ὑμῶν[4] καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν πρυτανείῳ[5] ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε·[6] εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ[7]

om. n. 7) ἐκφέρειν g et γρ. m. 8) ἐὰν e (Bk. Br. Di.). 9) ποτὲ om. cd. 10) ἄλλος vulg. 11) τοσαῦτα ehkl. 12) τῶν deFhkl. 13) μεγαλοφρονεῖν hkl.

§. 194. 1) ἡμῖν ehl. 2) ποτε om. e. 3) ἀξηνιεὺς p. 4) ἀπέφυγεν cum ehkl: Cobet. N. LL. p. 443. Vulgatam defendit Arn. Schaefer Demosth. T. 1 p. 160, 5. 5) οὐχ ehkl. 6) ὁ om. z Flor. 7) ἔφευγε ehkl, ἔφυγε Cobet. l. c. 8) πολιτευόμενοι q. 9) τοι Laur. 10) ἐξαμάρτοιεν h (Bk. Di.), ἐξαμάρτανεν pr. q.

§. 195. 1) σταριέα d. γράψαντά τι (τι om. ehkl) παρὰ τοὺς νόμους, quae vv. add. libri post στειριέα, cum Hamakero delevi. 2) ἕνα dq Barb. et pr. F (στεφανοῦν est glossa in F), στεφανοῦν ἕνα cett. libri, ἑνὶ de coni. Orelli Bens., [στεφανοῦν] ἕνα Bk. Br. Di. cf. Plut. vit. Lys. p. 835 et schol. nostr. 3) συγκατελθ. — Φυλῆς] ἀπὸ φυλῆς αὐτῷ συγκατελθ. ehl. 4) ὑπελογίζοντο c Barb., ἐλογίζοντο dFq. 5) μέλλοντας dq Barb. et pr. F. 6) γράφοντά τι ante π. τ. νόμους pon. ehkl (Bk. Di.), τοὺς παράνομον γράφοντάς τι. p.

§. 196. 1) ἀλλὰ πᾶν ehkl Vat. Bern. (Bk. Br. Di.), ἀλλ' ἅπαν cett. 2) ἀγαθὸν q. 3) στρατιῶται cdFq Barb. 4) ὑμῖν ek (Bk. Di.), ἡμῖν hl, ἡμῶν p, delet Saupp. 5) τῷ πρυτανείῳ libri. cf. §. 178. 2, 80. Dem. 19, 330. Maetzn. ad Din. 1, 43. 101. 6) ὑπολαμβάνητε kln Laur., ὑπολαμβάνετε Barb., ὑπολαμβάνηται h. 7) τετιμημ. ἐν τοιαύτῃ om. q. Pro τοιαύτῃ habet

πολιτείᾳ,[8] ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν
τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς
586 τετίμηται. 65. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ συνηγόρῳ 197
δικαίῳ[1] καὶ σώφρονι;[2] ἐγὼ λέξω.

587 Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ πα-
ρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον
ὕδωρ[3] τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ
δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ
τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ[4] λυθῇ
τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ[5] ἐγχεῖται τῇ τιμήσει καὶ
τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις μὲν οὖν ἐν τῇ τι- 198
μήσει τὴν ψῆφον αἰτεῖ,[1] τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖ-
588 ται·[2] ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ,[3] ὅρκον
αἰτεῖ,[4] νόμον αἰτεῖ,[5] δημοκρατίαν[6] αἰτεῖ, ὧν οὔτ' αἰτῆσαι
οὐδὲν[7] ὅσιον οὐδενὶ οὔτ' αἰτηθέν' ἑτέρῳ δοῦναι. κελεύσατ'
οὖν αὐτούς, ἐάσαντας ὑμᾶς τὴν πρώτην[8] ψῆφον κατὰ τοὺς
νόμους διενεγκεῖν, ἁπαντᾶν[9] εἰς τὴν τίμησιν.

66. Ὅλως δ' ἔγωγε,[1] ὦ Ἀθηναῖοι, ὀλίγου δέω εἰπεῖν, 199
ὡς καὶ νόμον δεῖ[2] τεθῆναι[3] ἐπὶ ταῖς γραφαῖς μόνον[4] τῶν[5]
παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρα-
σχέσθαι[6] μήτε τῷ[7] φεύγοντι.[8] οὐ γὰρ ἀόριστόν ἐστι τὸ δί-
καιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ
γὰρ[9] ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ
869 τὸ μή, τὸν κανόνα προσφέρομεν, ᾧ διαγιγνώσκεται, οὕτω 200
καὶ ἐν ταῖς γραφαῖς τῶν[1] παρανόμων παράκειται κανὼν τοῦ
δικαίου τουτὶ τὸ σανίδιον, τὸ ψήφισμα[2] καὶ οἱ παραγεγραμ-

Vat. et mg. Steph.: τῇ αὐτῇ. 8) πόλει ln.

§. 197. 1) συνηγόρῳ δικαίῳ gmn (BS. Fr. Bens.), συνηγόρῳ om. p, δικαίῳ συνηγόρῳ cett. 2) καὶ σώφρονι om. ehkl. 3) ὕδωρ om. p Vat. 4) μὴ om. ehkl. 5) ὕδωρ om. pr. h.

§. 198. 1) αἰτεῖ] αἰτεῖ νόμον αἰτεῖ Vat., αἰτεῖ τὸν νόμον αἰτεῖ p. 2) αἰτεῖται gmn. 3) τὴν ὀργὴν — αἰτεῖ om. e. 4) ὅρκον αἰτεῖ om. agmn Vat. Laur., post νόμον αἰτεῖ ponunt ehklz Flor. 5) νόμον αἰτεῖ om. Laur. 6) λόγῳ — αἰτεῖ om. p, pergit δημοκρατεῖ. 7) οὐδὲν ἐστιν ehkl Flor. 8) ὑμ. τ. πρ.] τὴν πρώτην ὑμᾶς ehkl. 9) ἔπειτα ἁπαντᾶν p (Rsk.,) ἅπαντα Barb.

§. 199. 1) δέ γε Flor. 2) δεῖ om. p. 3) τιθέναι l. 4) μόναις k; om. n. 5) ταῖς h (Bk. Br. Di.). 6) παρέχεσθαι cdq Barb., παρασχεῖν Bern. 7) τὴν γραφὴν τῶν παρανόμων, quae vv. post μήτε τῷ add. codd., primus delenda vidit Frank. 8) γράφοντι hl. 9) γὰρ om. t.

§. 200. 1) ταῖς τῶν k (Bk. Br. Di.) 2) καὶ quam partic. add. codd. ante τὸ ψήφισμα, delendam esse vidi

μένοι νόμοι.[3] ταῦτα συμφωνοῦντ' ἀλλήλοις ἐπιδείξας κατάβαινε·[4] καὶ τί δεῖ σε Δημοσθένην[5] παρακαλεῖν;[6] ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον[7] ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν,[8] βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

201 67. Τίς οὖν ἐστιν[1] ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ.[2]

Ἐπειδὰν προσελθὼν[3] ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ[4] τὸ συντεταγμένον αὐτῷ[5] προοίμιον, ἔπειτ' 590
ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου[6] τὸ σανίδιον λαβεῖν[7] καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι.[8] ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδ' ὑμεῖς ἐκείνου[9] ἐθέλετ' ἀκούειν·[10] οὐ γὰρ τῶν φευγόντων τὰς οὐ[11] δικαίας ἀπολογίας εἰσεληλύθατ' ἀκροασόμενοι, ἀλλὰ
202 τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην[1] παρακαλῇ,[2] μάλιστα μὲν[3] μὴ προσδέχεσθε[4] κακοῦργον ἄνθρωπον,[5] οἰόμενον[6] ῥήμασι[7] τοὺς νόμους ἀναιρήσειν,[8] μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν[9] μηδεὶς καταλογιζέσθω, ὃς ἂν[10] ἐπανερομένου[11] Κτησιφῶντος, εἰ καλέσῃ[12] Δημοσθένην, πρῶτος ἀναβοήσῃ[13] "κάλει, κάλει."[14] ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ 59
τὴν δημοκρατίαν καλεῖς.[15] ἂν δ'[16] ἄρ' ὑμῖν[17] δόξῃ[18] ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι,

Saupp. cf. §. 201. 3) τὸ ψήφ. — νόμοι] τῷ ψηφίσματι καὶ τοῖς παραγεγραμμένοις νόμοις Bk. 4) κατέβαινε Vat. 5) δημοσθένη a Laur. Flor. (Bk.). 6) παρακαλεῖς Ald. Wolf., παρακαλῇς Steph. 7) πανοῦργον Bern. 8) τ. ἀκρόασιν om. p.

§. 201. 1) ἐστιν om. t. 2) δὲ ἐρῶ c, προερῶ ekl, προσερῶ h. 3) προελθὼν ekl. 4) γὰρ h, om. l. 5) αὐτὸ Vat. 6) ἄνευ θορύβου] ου ἀθορύβως ekl, ἀγαθορύβως (in mg. posita ἄνευ) h. 7) λαβὼν a. 8) παραγνῶναι c Vat. 9) ἐκεῖνον eh. 10) ἐθέλετε ἀκούειν delet Cobet. N. LL. p. 103. 11) οὐ om. Flor., delet Hamaker.

§. 202. 1) δημοσθένην eghklmnp Vat. Laur. Flor. Barb., δημοσθένει Fq, δημοσθένη Bk. cum cett. 2) παρακαλῇ ante Δημοσθένην ponunt ehkl. 3) δὲ Vat. 4) προσδέχεσθαι ek. 5) κακοῦργ. ἄνθρ.] σοφιστὴν ehkl, σοφιστὴν κακοῦργον ἄνθρωπον z Flor. 6) οἰόμετοι Laur. 7) ῥήμασι om. ehkl. 8) κακοῦργον — ἀναιρήσειν Bakius ut ex §. 16 repetita delet. 9) ὑμῖν ehl. 10) ἄν om. ghl Laur. 11) ἐπανερωμένου q (Ald.), ἐανπερομένου n. 12) εἰ καλέσῃ Bk. Di. Fr. coll. 2, 64 et 68, εἰ καλέσω agmnp Vat. Laur. Bern. Ioann. Sic. (Bens.), εἰ καλέσει cdFqz (Br.), εἰ καλέσεις ehklz Flor., ἐκαλέσει Barb., εἰ καλέσοι Ald. Rsk., ἢ καλέσω edd. Turicc. 13) ἀναβοήσει hkl, ἀναβοήσεις Ald. Coll. Eman. 14) κάλει om. ehl. 15) ἐπὶ τοὺς — δημ. καλεῖς om. cd, in mg. ponit h, ἐπὶ δὲ τοὺς l, τὴν ante δημ. om. ekl. 16) δ' om. cdFnq Barb. 17) ἡμῖν d. 18) δό-

592 ὅνπερ κἀγὼ κατηγόρηκα.[19] ἐγὼ δὲ[20] πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς. 68. οὔτε τὸν ἴδιον[1] βίον τὸν[2] Δη- 203
μοσθένους πρότερον διεξῆλθον οὔτε τῶν δημοσίων ἀδικημά-
των[3] οὐδενὸς πρότερον[4] ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ
ἔχων[5] λέγειν,[6] ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶ-
τον μὲν τοὺς νόμους[7] ἐπέδειξα[8] ἀπαγορεύοντας μὴ στεφα-
νοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορ' ἐξήλεγξα[9] γρά-
ψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδὲν προ-
βαλλόμενον,[10] οὐδὲ προσεγγράψαντα[11] "ἐπειδὰν δῷ τὰς
εὐθύνας," ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπε-
593 φρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα[12] προφάσεις εἶπον,
ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν διεξῆλ- 204
θον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην
ἀπείρηται[1] τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττε-
σθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων[2] τὴν γραφὴν
οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν
τῆς[3] ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλη-
σίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίγνεσθαι, οὐδ'[4]
ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσ-
ιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων[5] εἶπον,
τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων.[6] 69. οὕτω 205
594 δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατ' ἀπολογεῖσθαι[1] πρὸς τὸν
τῶν ὑπευθύνων νόμον[2] πρῶτον καὶ[3] τὸν[4] περὶ τῶν κηρυγ-
μάτων δεύτερον, τρίτον δὲ τὸ[5] μέγιστον λέγω, ὡς οὐδ'
ἄξιός[6] ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι[7]
αὑτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος, ὡς ἐπὶ
τῇ τελευτῇ[8] τῆς ἀπολογίας[9] λύσει[10] τὸ παράνομον, μὴ συγ-

ξει q. 19) κατηγόρηκα om. cdF Laur. Barb. 20) ἐγὼ δὲ] ὧδέ cdF Barb.

§. 203. 1) δίον d, Taylor. in alio exemplo deesse Meadiano (q) τὸν, in alio deesse ἴδιον annotarat. 2) τοῦ ehkl Barb. 3) τῶν ἀδικημ. τῶν δημ. ehkl. 4) οὐδ. πρ.] πρότερον οὐδενὸς a. 5) ἔχω q. 6) λέγειν ante ἔχων pon. ehkl, ἔχω λέγ. Laur., λέγ. om. q. 7) τοὺς νόμους post ἐπέδ. ponunt ehkl. 8) ἀπέδειξα h (vulg. ante Rsk.). 9) ἐξέλεγξα q (Ald.). 10) προβαλόμενον Steph. Bk. Br. Di. cf. §. 209. 11) προσγράψαντα hq, quod mavult Frank. 12) ταύτας acFgmnq Laur. Barb.

§. 204. 1) ἀπόρηται Vat. 2) φυγὼν cdFq Barb. 3) καὶ τῆς Laur. 4) οὐκ ehkl. 5) οἰκείων a. 6) λέγω post ἀδικημάτων add. codd. praeter cdFq Barb., deleri voluit Märkland., deleverunt BS. Bens.

§. 205. 1) ἀπολογ. ante ἀξιώσατε pon. g Laur. 2) νόμων lm. 3) πρὸς ehkl; om. cdFq Barb. 4) τῶν Laur.; om. Fq Barb. 5) τὸν a; Bekk. mavult ὅ. 6) οὐδ' ἄξιος] οὐκ ἀνάξιος F, οὐδὲν ἀνάξιος ehl et γρ. q, οὐδὲ ἀνάξιος cum k Bakius, ἄξιος Markl. cf. Thuc. 108, 2. Funkhaenel. in Jahni Ann. 21 p. 204. 7) συγχωρεῖτε ehl. 8) τῇ τ.] τῆς τελευτῆς t (τῇ τελευτῇ rec. mg. t). 9) ἐπαγγελίας ehl. 10) λύσῃ d.

χωρεῖτε,[11] μηδ' ἀγνοεῖθ',[12] ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστη-
ρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται[13] πρὸς τὸ παράνομον
ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρ- 595
εμβολῇ πραγμάτων εἰς[14] λήθην ὑμᾶς βούλεται τῆς κατηγο-
206 ρίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε
τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις[1] διαγωνιζομένους,
οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ[2] τῆς
τάξεως αὐτῷ τοῦ λόγου[3] μάχεσθε, καὶ μὴ ἐᾶτ' αὐτὸν ἔξω 596
τοῦ παρανόμου[4] περιίστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνε-
δρεύοντες ἐν τῇ ἀκροάσει[5] εἰσελαύνετ' αὐτὸν εἰς τοὺς τοῦ
πράγματος[6] λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ[7] τῶν λόγων ἐπι- 597
207 τηρεῖτε. ἀλλ' ἃ δὴ[1] συμβήσεται ὑμῖν, ἐὰν[2] τοῦτον τὸν τρό-
πον τὴν ἀκρόασιν ποιῆσθε,[3] ταῦθ'[4] ὑμῖν ἤδη δίκαιός εἰμι
προειπεῖν.

Ἐπεισάξει γὰρ[5] τὸν γόητα καὶ[6] βαλλαντιοτόμον[7] καὶ δια-
τετμηκότα τὴν πολιτείαν.[8] οὗτος κλάει[9] μὲν ῥᾷον[10] ἢ ἄλλοι[11]
γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα[12] 70. οὐκ ἂν
θαυμάσαιμι δέ, εἰ μεταβαλλόμενος τοῖς ἔξωθεν[13] περιεστη- 598
κόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς
τῆς ἀληθείας διηριθμημένους[14] ἥκειν πρὸς τὸ τοῦ κατηγόρου
208 βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύγοντος. ὅταν δὴ 599
ταῦτα[1] λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖν'

11) συγχωρῆτε Fpq Vat. 12) μηδ' ἀγνοεῖθ' om. aF Laur., μηδ' ἀνῆθ' p Vat., μηδ' ἀγνοῆθ' q. 13) βούλοιτ' ἄν ehklz Flor. et γρ. gm. βουλεύεται F, βουλεύσεται dq Barb., βουλήσεται Bern. 14) ὡς Flor.

οις

§. 206. 1) ἀλλήλους h, ἀλλήλοις amnp Laur., πρὸς ἀλλήλοις cdFq Barb. 2) καὶ περὶ cdF Barb. 3) ῶ αὐτοῦ τοῦ λόγου g, τοῦ λόγου αὐτῷ ehkl. 4) ἔξω τοῦ παρανόμου ut coni. Frank. in actt. soc. Gr. II, 1, 28, Vat. Laur. (BS. Bens.), ἔξω (ἑαυτοῦ Barb.) τοῦ παρανόμου λόγου dFq Barb., ἔξω τοῦ παρανόμου λόγους acgmnp, εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους cett. Locum laudat Plin. ep. IX, 26. 5) ἐκκλησίᾳ ehkl. 6) παρανόμου ehkl. 7) αὐτῷ Laur.

§. 207. 1) ἀλλ' ἃ δὴ] ἀλλὰ δὴ Vat. Laur., ἀλλ' οὐ t. ἀλλὰ om. ehkl, δὴ om. cdFq, ἃ δὴ om. Barb. 2) ἐὰν μὴ Bern. et Taylorus post Lambinum. 3) ποιήσησθε ehkl. 4) τοῦθ' ehkl. 5) γὰρ om. hkln. 6) καὶ om. d. 7) βαλλαντιοτόμον aF, βαλαντιοτόμον cett. 8) ἐπεισάξει — πολιτείαν Bakius l. c. p. 331 post vv. ἐπὶ τὴν δημοκρατίαν καλεῖς (§. 102) collocari vult. 9) κλάει p et γρ. m (Bk. Di. Fr.). 10) ῥᾷον] ῥᾳδίως acdFgmnpz Vat. Laur. Barb. Flor. (Ald.), ῥᾴδιον C. Scheibius in Jahni Annall. 68 p. 161. 11) οἱ ἄλλοι k. 12) προχειρότατα ἀνθρώπων cdFq Barb. 13) ἔξωθεν coll. §. 56. et 2, 5. Dem. 18, 196 Kleynius in Mnemos. VIII p. 97, ἔξω τῆς πόλεως cdFq Barb., ἔξω cett. cf. schol. Laur. 14) ἠναγκασμένους γρ. e.

§. 208. 1) τὰ τοιαῦτα ehkl (Bk.

αὐτῷ[2] ὑποβάλλετε· "ὦ[3] Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι[4] οἱ ἀπὸ Φυλῆς[5] φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ' ἡ[6] δημοκρατία κατέστη. νῦν δ' ἐκεῖνοι μὲν μεγάλων κακῶν συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δ' ἑλκοποιεῖς,[7] καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν[8] λόγων ἢ τῆς σωτηρίας τῆς πό-
600 λεως." ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν διὰ[9] τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖν' ἀπομνημονεύσατ' αὐτῷ, ὅτι[10] τῷ[11] πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ[12] μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι δυοῖν θάτερον[13] ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι[14] Δη-
601 μοσθένει ὑπάρχον,[15] ἢ τοὺς θεοὺς καινοὺς[16] ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς 209
φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ "ποῖ φύγω,[1] ἄνδρες[2] Ἀθηναῖοι; περιγράψατέ[3] μ' ἐκ τῆς πολιτείας·[4] οὐκ ἔστιν ὅποι[5] ἀναπτήσομαι,[6]" ἀνθυποβάλλετ' αὐτῷ "ὁ δὲ δῆμος ὁ Ἀθηναίων[7] ποῖ καταφύγῃ,[8] Δημόσθενες; πρὸς[9] ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος[10] ὑπὲρ τοῦ δήμου πεπολίτευσαι;[11] ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ[12] βεβούλευ-
602 σαι, ἅπαντες[13] ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν[14] Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ[15] τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα." 71. ὅλως δὲ τί τὰ δάκρυα; 210
τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς;[1] οὐχ ὁ μὲν τὴν γρα-
605 φὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ'

Br. Di.). 2) σαυτῷ Laur. 3) ὅτι ὦ cdeFhklq Laur. Barb. (Rsk. Bk. Br. Di.). 4) σοὶ ἦσαν ὅμοιοι] ὅμοιοι ἦσαν σοι ehkl. 5) ἀπὸ Φυλῆς post δῆμον ponit Laur. 6) ποθ' ἡ] ποτε Fq Barb., ποτε ἤδη g. 7) λογοποιεῖς cdFq Barb. 8) αὐθημέρων ceFl Barb., αὐθημέρων h, αὐθημερὸν k. 9) τὴν διὰ] διὰ τὴν Laur., τὴν ἀπὸ ehl. 10) ὅτι om. n. 11) τῷ om. p. 12) ἀεὶ δὲ Dobreeus (Fr.), ἀεὶ δὲ πρὸς τοὺς αὐτοὺς libri. 13) δυοῖν θάτερον] ἓν τοῖν δυοῖν ehkl. 14) ἐστι om. Laur. 15) ὧν — ὑπάρχον delet Cobet. N. LL. p. 103. 16) καινοὺς hm, κενοὺς cdFq Barb.

§. 209. 1) καταφεύγω e, καταφύγω cdFhklq Barb. Flor. (Rsk. Bk. Br. Di.). 2) ὦ ἄνδρ. Bk. 3) περιεγράψατέ hk, περιεγράψετέ el, εἰ περιγράψετέ Rsk. et Bakius. cum mg. Bern. 4) ἐκ τῆς πολιτείας om. ehkl. 5) ὅπη p. 6) ἀναπτήσομαι m, ἀναπτήσωμαι n. 7) ὁ δὲ δῆμ. ὁ Ἀθ.] ὁ δὲ δῆμος Ἀθηναίων ek, ὁ δὲ Ἀθηναίων δῆμος hl. 8) καταφύγοι a. 9) ἢ πρὸς acdFgmnqz Barb. Flor. 10) προσβαλλόμενος c. 11) τί πεπολίτευσαι eFhkl. 12) σαυτοῦ e. 13) πάντες ehkl. 14) ἐν τῷ h. 15) τῇ σ. ἀνανδρίᾳ] τῆς σ. ἀνανδρίας ehl.

§. 210. 1) κραυγῆς p Vat. cf.

οὔτε περὶ τῆς οὐσίας[2] οὔτε περὶ τοῦ[3] σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζει;[4] ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ[5] σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ
211 τοὺς νόμους· ὃν ἐχρῆν, εἰ[1] καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντ' εἰς τὴν ἐκκλησίαν εἰπεῖν· "ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ[2] δεῖ, ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο,[3] ἐπὶ τούτοις ἐμὲ στεφα- 606
νοῦσθαι.[4]" ἀλλ' οἶμαι, ταῦτα μὲν ἂν[5] εἶποι ἀνὴρ ὄντως[6] βεβιωκὼς[7] μετ'[8] ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα[9]
212 ζηλοτυποῦν ἀρετήν.[10] οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γ'[1] ὑμῶν[2] οὐδεὶς φοβήσεται,[3] μὴ ὁ[4] Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ[5] διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων οἴκαδ' ἐπανελθὼν[6] ἑαυτὸν διαχρήσηται·[7] ὃς τοσοῦτον κατα- 607
γελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ τοὺς[8] νόμους γέ- 608
γραφε στεφανῶσαι, μυρίακις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε[9] τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ[10] κατακεκονδύλισται, ὥστ' αὐτὸν[11] οἶμαι[12] τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι[13] φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ[14] πρόσοδον[15] κέκτηται.

213 72. Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην 609
βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν λάβω,[1] εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν·[2] ὃ δ'[3] ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ.

§. 209. 2) οὔτε περὶ τῆς οὐσίας post ἐπιτιμίας ponunt ehkl. 3) τοῦ om. e. 4) ἀγωνίζει Barb. (Fr.), ἀγωνίζῃ libri. 5) ἡ om. cd.

§. 211. 1) εἰ om. Laur. 2) γὰρ om. t. 3) ἐπένθησε κ. ἐκείρατο] ἐκείρετο καὶ ἐπένθησε ehkl. 4) ἐμὲ στεφαν.] ἐμ' ἐστεφανῶσθαι l. 5) ἂν om. an. 6) ὄντος c, οὕτω ehl. 7) βεβιωτικὼς c. 8) ἐπὶ μετ' l. 9) καθαρμόζῃ Laur. 10) ἃ — ἀρετὴν om. Barb.

§. 212. 1) γε om. ehkl. 2) ἡμῶν p Vat. 3) φοβηθήσεται gmnpq (Rsk. Bk. Br. Di.). 4) ὁ om. ehkl. 5) πολιτικὰ Barb. 6) ἐπανελθὼν ante οἴκαδε pon. ehkl, οἴκαδε ἐλθὼν p. 7) διαχρήσεται ehl (Ald.). 8) πάντας τοὺς cdeFhklq Barb. (Bk. Di.). 9) εἴληχε a. 10) ἢ t. 11) αὐτῶν Laur. 12) οἶομαι c, οἶμαι om. t. 13) ἔτι om. Flor. 14) ἀλλ' ἢ G. Hermann. vid. Westermann. in Jahni Ann. 12 p. 191. 15) πρόσωδον d, κεφάλαιον Toupius. ἀλλὰ πρόσοδον] κεφαλὴν ἀλλὰ πρόσοδον Orellius ap. Bremium, quod probat Frank., modo articulus addatur. vid. de h. l. C. Scheibius in Jahni Ann. 68 p. 161.

§. 213. 1) καὶ πεῖραν λάβω BS. Fr. Bens., ὑμῶν καὶ πεῖραν λάβω ehkl, καὶ πεῖραν λάβω ὑμῶν gmn, καὶ πεῖραν ὑμῶν λάβω cett. 2) ἐπιγινώσκειν h. 3) δ' om. Laur.

Περιέρχονται γὰρ[4] *κατὰ τὴν*[5] *ἀγορὰν ἀληθεῖς κατ' ἀλ-*
λήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέγοντες. ὁ μὲν 214
γὰρ Κτησιφῶν οὐ τὸ[1] *καθ' ἑαυτόν*[2] *φησι φοβεῖσθαι, ἐλπί-*
ζειν[3] *γὰρ δόξειν ἰδιώτης εἶναι, ἀλλὰ τὴν τοῦ*[4] *Δημοσθένους*
ἐν τῇ πολιτείᾳ δωροδοκίαν[5] *καὶ τὴν ἐμπληξίαν*[6] *καὶ δειλίαν·*
ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων θαρρεῖν φησιν,
610 *τὴν δὲ τοῦ*[7] *Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυ-*
ρῶς δεδιέναι. τοὺς δὴ[8] *κατεγνωκότας ἀλλήλων ἀδικεῖν*[9] *μη-*
δαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε.

73. *Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλο-* 215
μαι προειπεῖν.[1]

Πυνθάνομαι γὰρ λέξειν Δημοσθένην,[2] *ὡς*[3] *ἡ πόλις ὑπ'*
αὐτοῦ μὲν[4] *ὠφέληται πολλά, ὑπ' ἐμοῦ δὲ*[5] *καταβέβλαπται,*
καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων
αἰτίας[6] *ἀνοίσειν*[7] *ἐπ'*[8] *ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δει-*
νὸς δημιουργὸς λόγων, ὥστ' οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολί-
τευμαι παρ' ὑμῖν[9] *ἐγὼ*[10] *ἢ εἴ τινας δημηγορίας εἴρηκα,*
τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου[1] *τοῦ βίου* 216
διαβάλλει καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ
τόπος[2] *ἀσυκοφάντητος παραλείπηται,*[3] *καὶ τὰς ἐν τοῖς*[4] *γυ-*
μνασίοις μετὰ τῶν νεωτέρων[5] *μου διατριβὰς*[6] *καταμέμφεται,*
καὶ[7] *κατὰ τῆσδε τῆς*[8] *κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου*
φέρει τιν' αἰτίαν, λέγων, ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς
611 *πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν*[9]
πρὸς αὐτὸν ἔχθραν. καὶ νὴ Δί', ὡς[1] *ἐγὼ πυνθάνομαι, μέλ-* 217
λει[2] *μ' ἀνερωτᾶν,*[3] *διὰ τί τὸ μὲν κεφάλαιον*[4] *τῆς πολιτείας*
αὐτοῦ[5] *ψέγω, τὰ δὲ καθ' ἕκαστ'*[6] *οὐκ ἐκώλυον οὐδ' ἐγρα-*

4) γὰρ om. gmn (vulg. ante Reisk.). 5) κατὰ τὴν eh, om. cd, τὴν cett. cf. Kleynius in Mnemos. VIII. p. 93.

§. 214. 1) οὐ τὸ] αὐτὸν h. 2) καθ' ἑ.] κατ' αὐτὸν e. 3) ἐλπίζει ante Rsk. 4) τοῦ om. pr. d. 5) δωροδοκίαν Hamaker., δωροδοκίαν φησὶ φοβεῖσθαι libri, ἐλπίζειν — φοβεῖσθαι (βοφεῖσθαι F) om. a. 6) ἐκπληξίαν n. 7) τοῦ om. Laur. 8) δὲ δὴ agmz (BS. Fr. Bens.), δὲ n. 9) ἀδικεῖν om. p Vat. cf. 2, 6.

§. 215. 1) προσειπεῖν egklmnz. 2) δημοσθένη e. 3) ὅτι kl. 4) μὲν om. ehkl. 5) δὲ ante ὑπ' ἐμοῦ ponit cFq Barb., δὲ om. d. 6) καὶ τὰς — αἰτίας om. Flor. 7) ἀνήσειν hklp, ἀνύσειν Vat. 8) ὑπ' l 9) ὑμῶν ehl. 10) κἀγὼ mn et corr. h.

§. 216. 1) αὐτὴν cdFq Barb. 2) τρόπος h. 3) παραλίπηται acdF ghmn Flor. et corr. z (Bens.). 4) τοῖς om. Vat. 5) νέων hl. 6) διατριβὰς om. n. 7) καὶ om. hl. 8) τῆς om. Laur. 9) τὴν τοῦ c, om. n.

§. 217. 1) ὡς om. t. 2) μέλλειν cFgmnqt Vat. Barb. 3) ἐρωτᾶν n. 4) τὸ μ. κεφ.] τὰ μὲν κεφάλαια gmp Laur. 5) αὐτοῦ ante τῆς πολ. pon. ehkl. 6) καθ' ἕκαστα

φόμην, ἀλλὰ διαλιπὼν[7] καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα[8] τὴν γραφήν. 74. ἐγὼ δ' οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα,[9] οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ[10] αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι βουλοίμην,[11] οὔτε ταὐτὰ τούτῳ[12] δημηγορήσας 612
218 ἐδεξάμην ἂν ξῆν. τὴν δ' ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ[1] τοῦ βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ[2] καὶ λέγω βουλευσάμενος, ἀλλ'[3] οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ', οἶμαι, λαβὼν μὲν σεσίγηκας,[4] ἀναλώσας δὲ κέκραγας. λέγεις δ' οὐχ ὁπόταν[5] σοι δοκῇ[6] οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν[7] οἱ μισθοδόται σοι[8] προστάττωσιν· οὐκ αἰσχύνῃ δ'[9] ἀλαζονευόμενος, ἃ παραχρῆμ' ἐξελέγχει[10] ψευδό-
219 μενος. ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή,[1] ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς εἰς[2] Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον[3] εἰς τὴν ἀρχὴν[4] καταστῆναι, οὔπω[5] σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου.[6] πῶς ἂν οὖν[7] ἐγὼ προενε- 613
δεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταὐτὸν[8] ἐνύπνιον ἐγὼ[9] καὶ
220 Δημοσθένης εἴδομεν.[10] 75. ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ[1] διαλείπων πρὸς[2] τὸν δῆμον προσέρχομαι,[3] καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν[4] μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολιτείας. ἐν[5] μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ' ὁ δυναστεύων δημηγορεῖ,[6] ἐν δὲ ταῖς

Fpqz Vat. Laur. Flor. Barb. (Rsk.), καθ' ἕκαστα t, καθ' ἕκαστον cett. cf. 2, 25. 7) διαλείπων z Flor. cf. §. 220. 8) ἐπήνεγκα p. 9) ἐζήλωσα hl. 10) ἐπ' αὐτοῦ Laur. 11) deest ἂν Bekk. vid. Frank. actt. soc. Gr. II, 1. p. 35 sq. Maetzner ad Lyc. p. 169. 12) τούτων Barb. (Ald.).

§. 218. 1) ἡ om. d Barb. 2) σιωπῶ hkl. 3) ἀλλ' om. ehkl. 4) σιγήσας l, σιγήσαις h. 5) ὅταν ehkl. 6) δοκεῖ Ald. Wolf. 7) ὅταν ehkl, ὁπόσα p, ὁπόταν καὶ ἃ Bern. 8) οἱ σοὶ eh. 9) γὰρ cdFq Barb. 10) ἐξελεγχθήσῃ ehk Bern. et γρ. gm, ἐξελεχθήσῃ l, ἐξελέγχῃ cett.

§. 219. 1) ἀρχὴ p Vat. 2) πρὸς ehkl (Bk. Br. Di.) improbantibus Bernhard. (gr. Synt. p. 217) et Frank. actt. soc. Gr. II, 1 p. 29. 3) ἐνδείξεως — ἀλέξανδρον om. pr. Laur. 4) βουλὴν a. 5) εἶπω cq. 6) διειλεγμένου p. 7) οὖν ante ἂν pon. hl. 8) ταὐτὸν, ut est in schol. Laur., Cobet. N. LL. p. 436. ταὐτὸ codd. 9) προενεδεικνύμην — ἐγὼ om. c. 10) ἴδομεν Ald. Wolf.

§. 220. 1) ἀλλὰ καὶ n. 2) εἰς h. 3) εἰσέρχομαι hl. 4) λανθάνειν amnz Flor., λανθάνειν ὑμᾶς Barb. λανθάνειν ἡμᾶς Rsk. Bk. Br. Di. cum cett. 5) εἰ e. 6) δημηγορεῖ coni. Bekk. (Di. Fr. Bens.), κατη-

δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ.[7] καὶ[8] τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ[9] τοῦ
614 συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν[10] ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. ὑπὲρ δὲ 221
τοῦ μηδέπω[1] κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ[2] τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς[3] τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου,[4] ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς 222
τριηράρχους[1] ἁρπάγματα τίς[2] ἂν ἀποκρύψαι χρόνος[3] δύναιτ' ἄν,[4] ὅτε νομοθετήσας[5] περὶ τῶν τριακοσίων[6] καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε[7] νεῶν ταχυναυτουσῶν[8] τριηράρχους[9] ὑφῃρημένος,[10] πλέον[11] τῆς πόλεως[12] ἀφανίζων ναυ-
615 τικὸν, ἢ ὅτ'[13] Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν[14] ἐνίκησαν; οὕτω δὲ ταῖς αἰτίαις ἐνέ- 223
φραξας τὰς κατὰ[1] σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι,[2] ἀλλὰ τοῖς ἐπεξιοῦσι,[3] πολὺν[4] μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον[5] ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιρούς, ἀεὶ τὸ[6] παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος.
616 76. οὐ τὸ[7] τελευταῖον εἰσαγγέλλεσθαι μέλλων[8] ὑπ' ἐμοῦ,

γορεῖ libri. 7) δόξῃ cdFgmnq Flor. Barb. (Rsk. Bk. Br. Di.). cf. §. 218. 8) καὶ om. n. 9) καί ἐστι Bern. 10) παραλείπειν ehklp, παραλιπεῖν Bens. cum cett.

§. 221. 1) μήπω deFhkl Barb. (Bk. Di.), σε μηδέπω Bern. cf. 1, 61. 134. 2) μήτε ehkl. 3) τοὺς om. hkl. 4) ὑπ' ἐμοῦ — ἐξηλ.] φανερῶς ὑπ' ἐμοῦ ἐξελέγχου q.

ους

§. 222. 1) τριηράρχας a. 2) τί Barb. 3) ἀποκρ. χρ.] χρόνος ἀποκρύψαι ehkl. 4) ἄν om. e. 5) ὅτε νομοθ.] ὅτ' ἐνομοθέτησας t. 6) νεῶν post τριακοσίων addunt cdeFkl Barb. Flor. (Rsk. Bk. Br. Di.). cf. Hyperides ap. Harpocr. p. 172, 14. Dinarch. 1 §. 42. 7) καὶ σαυτὸν — πέντε om. l, in mg. ponit h. 8) ταχυ-
α
νουσῶν ehl. 9) τριηράρχους h. 10) ὑφῃρημένους acdF Barb. 11) πλέον anpz Vat. Laur. Barb. Flor., πλεῖον Rsk. Bk. Br. Di. cum cett. 12) πόλεως ehkl (edd. Turicc.), πόλεως ἡμῶν cett. 13) ὁπότε ehkl, ὅτω Cobet. N. LL. p. 124. 14) πόλιν cdelnpq Vat. Barb. (Ald.), π...λλιν a.

§. 223. 1) κατὰ om. pr. t. 2) ἀλκήσαντι c, ἀλκίσαντι d. 3) ἀπαξιοῦσι p Vat. 4) πολὺν] σὺ δὲ ὁ πολὺν p (Rsk.). 5) τὸν Φίλ. ehkl (Bk. Br. Di.). 6) δὲ τὸ p (Rsk.). 7) οὐ τὸ] οὕτω cdFq Barb. 8) μέλλον

τὴν Ἀναξίνου[9] σύλληψιν τοῦ Ὠρείτου κατασκευάσας,[10] τοῦ
224 τὰ ἀγοράσματ' Ὀλυμπιάδι[11] ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄν-
δρα διαστρεβλώσας[1] τῇ σαυτοῦ χειρί, ἔγραψας[2] αὐτὸν θα-
νάτῳ ζημιῶσαι; καὶ παρὰ ταὐτῷ[3] ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ
τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας,[4] καὶ τὴν
δεξιὰν ἐνέβαλες[5] ἄνδρα φίλον καὶ ξένον ποιούμενος.[6] καὶ
τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτων[7] ἐν ἅπασιν Ἀθηναίοις
ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημ'
ἠρνήσω, ἀλλ' ἀπεκρίνω,[8] ἐφ' ᾧ ἀνεβόησεν[9] ὁ δῆμος καὶ ὅσοι
ξένοι περιέστασαν[10] τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς
πόλεως ἅλας περὶ πλείονος ποιεῖσθαι[11] τῆς ξενικῆς τραπέζης.
225 ἐπιστολὰς δὲ[1] σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ
βασάνους ἐπ' αἰτίαις[2] ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ
πόλει νεωτερίζειν[3] βουλομένου. ἔπειτ' ἐπερωτᾶν[4] με, ὡς 617
ἐγὼ πυνθάνομαι, μέλλει,[5] τίς ἂν[6] εἴη τοιοῦτος ἰατρός, ὅστις
τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι,[7] τε-
λευτήσαντος δ' αὐτοῦ[8] ἐλθὼν εἰς τὰ ἔνατα[9] διεξίοι πρὸς τοὺς
226 οἰκείους, ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο.[10] σαυτὸν δ' οὐκ 618
ἀντερωτᾷς,[1] τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν
δῆμον θωπεῦσαι[2] δύναιτο, τοὺς δὲ καιρούς, ἐν οἷς ἦν σώζε-
σθαι τὴν πόλιν, ἀπόδοιτο,[3] τοὺς δ' εὖ φρονοῦντας κωλύοι[4]
διαβάλλων συμβουλεύειν,[5] ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ
τὴν πόλιν ἀνηκέστοις κακοῖς[6] περιβαλὼν ἀξιοίη[7] στεφανοῦ-
σθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδέν,[8] πάντων δὲ
τῶν[9] κακῶν αἴτιος γεγονώς, ἐπερωτῴη δὲ τοὺς[10] συκοφαντη-

Vat. 9) ἀναξίου e. 10) κατεσκεύασας cdeFlnq (Bk. Br. Di.). 11) ὀλυμπιάσιν ehl, ὀλυμπιᾶσιν q.

§. 224. 1) διαστρεβλώσας p Vat. Laur. (Rsk. Fr. Bens.), δὶς στρεβλώσας agmnz Flor., διεστρέβλωσας Bk. Br. Di. cum cett. 2) γράψας cdeFhklq Barb. (Bk. Br. Di.). 3) καὶ — ταὐτῷ] καὶ παρὰ τῶν αὐτῶν Vat., καίτοι παρ' αὐτῷ p, παρ' ᾧ (infra om. καὶ ante τοῦτον) Cobet. N. LL. p. 103. 229. 4) ἔπεισας Vat. 5) ἀνέβαλες d. 6) ἄνδρα — ποιούμενος] κατ' ἀνδρὸς φίλου καὶ ξένου ehkl. 7) τούτου p. 8) απεκρίνω ehkl (Bk. Br. Di.), ἐπεκρίνου Vat. 9) ἂν ἐβόησεν ὁ δ. n, ὁ δῆμος ἀνεβόησεν ehkl. 10) περιέστησαν h, περιέστησαν eklq. 11) ποιεῖσθαι recepi ex hkl, ut 2, 23, ποιήσασθαι cett.

§. 225. 1) γὰρ e Mor., μὲν (omisso σιγῶ) n. 2) αἰτίοις h. 3) νεωτ. ante ἐν τῇ πόλ. pon. ehkl. 4) ἐρωτᾶν hkl, ἐρωτᾷ e. 5) μέλλειν ghl, om. e. 6) ἂν οὖν a. 7) συμβουλεύει a, συμβουλεύει e. 8) αὐτοῦ om. ehkl. 9) ἔνατα adeqz Laur. Flor., ξνατα, F, ἔννατα cett. 10) ἂν ἐγέν.] ἐγένετο ἂν ehkl.

§. 226. 1) ἀνερωτᾷς adeFklq Barb. (vulg. ante Reisk.), ἐρωτᾷς h. 2) παιδεῦσαι h et γρ. m. 3) ἀποδοῖτο aez Flor., ἀπόλλυσιν cp, ἀπόλοιτο Vat. vid. 1, 147. 4) κωλύει gkm. 5) συμβουλεύων n. 6) συμφοραῖς ehkl. 7) ἀξιοῖ libri. 8) μηδὲν ante πεποιηκ. pon. ehkl. 9) τῶν om. cd. 10) τοὺς om. n (Ald. Steph.).

θέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτ' ἐνῆν
619 σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν, ἀπο- 227
κρύπτοιτο[1] δὲ τὸ[2] πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγε-
νομένης[3] οὐκ ἐσχολάζομεν[4] περὶ τὴν σὴν εἶναι τιμωρίαν,[5]
ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν.[6] ἐπειδὴ
δ' οὐκ ἀπέχρη[7] σοι δίκην[8] μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς
αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ'
ἐνέστην[9] καὶ τὴν γραφὴν ἀπήνεγκα.

77. Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν[1] ἐγὼ πυν- 228
θάνομαι Δημοσθένην[2] λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγα-
620 νακτῶ μάλιστα.[3] ἀφομοιοῖ γάρ μου[4] τὴν φύσιν ταῖς Σειρῆ-
σιν, ὡς ἔοικε.[5] καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι[6] τοὺς
ἀκροωμένους, ἀλλ' ἀπόλλυσθαι,[7] διόπερ οὐδ'[8] εὐδοκιμεῖν
621 τὴν τῶν Σειρήνων[9] μουσικήν· καὶ δὴ καὶ[10] τὴν τῶν λόγων
ἐμπειρίαν[11] καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ[12] τῶν
622 ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγ' οὐδενὶ
πρέπειν[13] ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν
τὸν αἰτιώμενόν ἐστι τοὔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ' ἦν 229
ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν[1] ὁ λόγος, ἀλλ' ἀν-
δρὸς στρατηγοῦ μεγάλα[2] μὲν τῇ πόλει[3] κατειργασμένου, λέ-
γειν δ' ἀδυνάτου[4] καὶ τὴν τῶν[5] ἀντιδίκων διὰ τοῦτ' ἐξηλω-
κότος φύσιν, ὅτι[6] σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρα-
κται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ[7] δυνάμενον καὶ
τὰ μὴ πεπραγμέν' ὑφ' αὑτοῦ[8] παριστάναι τοῖς[9] ἀκούουσιν
ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος,

§. 227. 1) ἀποκρίνοιντο cdFnq Barb., ἀποκρίνοιτο mg. n. 2) τῶν hl. 3) ἐπιγινομένης ehkl, γενομένης a. 4)) ἐσχόλαζον gm. 5) τὴν μωρίαν k. 6) ἐπρεσβεύσαμεν q. 7) ἐπέχρη n. 8) νίκην Barb. 9) ἀνέστην h, ἔνεστι d Laur.

§. 228. 1) ὧν dFnBern., ὡς cett. 2) δημοσθένη acde F Laur. (Bk.). 3) ἀγανακτῶ μάλιστα, ut est in Laur. (etiam schol. Laur.) Flor et in correcto sed eadem manu correcto z esse dicitur, Brodaeus (Bk. Br. Di. BS. Fr. Bens.), μάλιστα ἀγανακτῶ l, ἀγανακτῶ est etiam in Bern., μάλιστα ἀγανακτῶν ehk, ἀγανακτῶν μάλιστα cett. 4) μου om. dF Barb. 5) τ. Σ., ὡς ἔ.] ὡς ἔοικε ταῖς σειρῆσιν ehkl, "ὡς ἔοικε malim abesse." Bait. 6) ὑπ' ἐκείνων — φησι] ἐκείνας φησὶν οὐ κηλεῖν ehkl. 7) ἀπόλλυσθε a. 8) οὐδ' ehklnp Vat. (Bk. BS.), οὐδ' om. pr. t (οὐκ rec. t.), οὐκ cett. 9) εἰρημένων dFnq Barb. (Ald. Wolf.). 10) καὶ om. ehl. 11) λόγων ἐμπειρίαν Saupp. Fr., ἐμῶν εὐπορίαν λόγων ehkl, ἐμῶν λόγων εὐπορίαν γρ. gm, ἐμῶν λόγων ἀπορίαν a, ἐμῶν λόγων ἐμπειρίαν Rsk. Bk. Br. Di. Bens. cum cett. codd., ἐμὴν λόγων ἐμπειρίαν Bakius, ἐμὴν τῶν λόγων ἐμπειρίαν Hamaker. 12) βλάβην n. 13) τρέπειν l.

§. 229. 1) ἐστὶν a (Bens.). 2) μεγάλω Barb. 3) τῇ π.] τὴν πόλιν ehkl (Bk. Br. Di.). 4) ἀδύνατον c. 5) τῆντῶν] διὰ τοῦτο pr. g. 6) ὅτι οὐ h. 7) ὁρᾶν cp Vat. 8) ὑφ' αὑτ.] ὑπ' αὐτοῦ eghklm, ὑφ' ἑαυτοῦ dn. 9) τοῖς

καὶ τούτων πικρῶν[10] καὶ περιέργων, ἔπειτ' ἐπὶ τὴν ἁπλό- 623
τητα καὶ τἄργα καταφεύγῃ,[11] τίς ἂν[12] ἀνάσχοιτο; οὗ[13] τὴν γλῶτταν[14] ὥσπερ τῶν αὐλῶν[15] ἑάν τις ἀφέλῃ, τὸ[16] λοιπὸν οὐδέν ἐστιν.

230 Θαυμάζω δ' ἔγωγ' ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ ζητῶ,[1] πρὸς τί ἂν ἀποβλέποντες[2] ἀποψηφίσαισθε[3] τὴν γραφήν. πότερον[4] ὡς τὸ ψήφισμ' ἐστὶν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη[5] παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ[6] τὸ ψήφισμα γράψας οὐκ[7] ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὔθυναι[8] βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρὸν, εἰ πρότερον μὲν ἐνεπίμπλαθ'[9] ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς[10] ὁ δῆμος ἐστεφανοῦθ' ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν[11] Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκή-
231 ρυκτοι γίγνεσθε,[12] οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις 624
τῶν τραγικῶν ποιητῶν τῶν[1] μετὰ ταῦτ' ἐπεισαγόντων[2] ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος[3] ἄνανδρον αὐτὸν[4] εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον[5] ἄνθρωπον[6] στεφανῶτε,[7] οὐκ οἴεσθ' ἐν[8] ταῖς τῶν Ἑλλήνων δόξαις[9] συρίττεσθαι; οἱ μὲν[10] γὰρ πατέρες ὑμῶν[11] τὰ μὲν ἔνδοξα[12] καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ[13] καταδεέστερ' εἰς τοὺς ῥήτορας τοὺς[14] φαύλους[15] ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δή-

om. p Vat. 10) τῶν πικρῶν ehkl. 11) καταφεύγει q. 12) ἂν om. dFq. 13) οὗτος e, οὐ dp. 14) γλῶσσαν cdn. 15) τῶν αὐλῶν] τὸν αὐλὸν p Vat. Laur. 16) ἀφέλῃ τὸ] ἀφέλοιτο n.

§. 230. 1) ζητῶ πυθέσθαι cdFq Barb. 2) ἂν ἀποβλέψαντες ez Flor., ἀναβλέψαντες hkl, ἀποβλέποντες n. 3) ἀποψηφίσαισθε Bern. Stephanus idque est in Flor. et in z esse narratur, fortasse etiam in c est (Rsk. Bk. Br. Di. BS. Fr. Bens.), ἀποψηφίσεσθε eFgmnq Laur. Barb., ἀποψηφίσησθε p Vat., ἀποψηφίσεσθαι a, ἀποψηφίσασθε k, ἀποψηφίσασθαι l, ἀπεψηφίσασθε h, ἀποψηφίζεσθαι d. 4) πότερ' ehkl (Bk. Br. Di.). 5) γνώμη om. Barb. 6) ὁ om. q Laur. 7) οὐκ om. a. 8) εὐθῦναι libri. 9) ἐνεπίπλατο acdqz. 10) οὗς ehkl. 11) τοῦ c. 12) γίγνεσθε Vat., γίγνεσθαι Flor.

§. 231. 1) τῶν om. pr. m. 2) ἐπεισαγαγόντων e, ἐπεισιόντων Wolf. 3) Ὅμηρος om. p. 4) αὐτὸν ante Ὅμηρος pon. ehkl. 5) τ. τοιοῦτον] τῶν τοιούτων l, τὸν om. Vat. 6) ἄνθρωπον om. z. 7) στεφανοῦτε ehl Barb., στεφανῶτε gm. 8) ἐν om. p Vat. 9) ταῖς δόξαις] δόξαις ταῖς τῶν ἑλλήν. k, δόξαις τ. ἑλλήν. ehl. 10) μὲν om. d. 11) ἡμῶν c. 12) τὰ μὲν ἔνδοξα Fpqtz Vat. Laur. Flor. (Rsk.), τὰ ἔνδοξα cett. 13) καὶ om. q. 14) καὶ h. 15) φαυλοτέρους q.

μῳ. 78. καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ[1] ἐστὲ καλῶς 232
ποιοῦντες, ψηφιεῖσθε[2] δ'[3] ὑπὸ[4] μὲν τῆς τύχης ἐγκαταλε-
625 λεῖφθαι, ὑπὸ Δημοσθένους δ' εὖ πεπονθέναι; καὶ τὸ πάν-
των ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς
τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μι-
σθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν
κριτὰς τοὺς ἐκ τῶν[5] Διονυσίων, ἐὰν[6] μὴ δικαίως τοὺς κυ-
κλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δ' οὐ[7] κυκλίων[8] χο-
ρῶν[9] κριταὶ[10] καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρε-
τῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς[11] νόμους οὐδ' ὀλίγοις καὶ τοῖς
ἀξίοις, ἀλλὰ[12] τῷ διαπραξαμένῳ[13] δώσετε; ἔπειτ' ἔξεισιν ἐκ 233
τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πε-
ποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ[1] ἰδιώτης ἐν πό-
626 λει δημοκρατουμένῃ νόμῳ[2] καὶ ψήφῳ βασιλεύει· ὅταν δ'
ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν αὐτὸς τὴν[3] αὑτοῦ δυνα-
στείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρα-
κολουθῶν[4] αὐτὸν[5] λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ
ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαριζετ' ἄδηλος γεγένηται·
ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.

79. Δοκοῦμεν δ' ἔμοιγε,[1] ὦ Ἀθηναῖοι, ἀμφότερα καὶ[2] 234
κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σω-
627 φρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν[3] καιρῶν οἱ πολλοὶ τοῖς
ὀλίγοις[4] προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ·
ὅτι δ' οὐ[5] γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα
καὶ τολμηρῶν,[6] εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύ-
628 σεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω[7] κατέλυσαν[8] τὸν
δῆμον· ἔχαιρε γὰρ[9] κολακευόμενος, ἔπειτ' αὐτὸν[10] οὐχ οὓς
ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν[11] ἐνεχείριζε, κατέλυσαν· ἔνιοι 235

§. 232. 1) καὶ om. el. 2) ψηφιεῖσθαι q. 3) μὲν l. 4) περιθεῖναι (§. 232) — ὑπὸ om. n. 5) ἐκ τῶν a Laur. (BS. Fr. Bens.), ἐκ cett. 6) ἂν e. 7) δὲ οὐ] οὐ δὲ q. 8) οὐ κυκλίων] οὐκ ἐγκυκλίων ehkl. 9) χορῶν om. l. 10) κριταὶ om. edd. Turicc. cum cdFmq Barb., post καθεστηκότες ponunt ehkl (Bk. Br. Di.). 11) τοὺς om. e. οὐδ' 12) ἀλλ' k. 13) τῷ δ.] τῶν διαπραξαμένων cp Vat.

§. 233. 1) δὲ h, γε n. 2) νόμοις z Flor. 3) αὐτὸς τὴν] τὴν αὐτὸς ehkl (Bk. Br. Di.), αὐτοῖς τὴν Laur. 4) παρακολουθῶν p. 5) αὐτοῦ h et γρ. m, αὐτῶν Laur.

§. 234. 1) ἐμοὶ p. 2) καὶ om. lq; καὶ hic et infra om. pr. m. 3) νυνὶ ehkl. 4) ὀλιγάρχοις t (corr. rec. m). 5) δ' οὐ om. Laur. 6) φορὰ — τολμηρῶν] καθ' ἡμᾶς φορὰ ῥητ. τολμηρῶν ἅμα καὶ πονηρῶν ehkl. 7) οὕτω om. ehkl. 8) κατέλευσαν ehkl. 9) μὲν n. 10) αὐτὸν om. q. 11) αὐτῶν z, ἑαυτὸν om. g.

δὲ[1] καὶ αὐτοὶ τῶν τριάκοντ' ἐγένοντο,[2] οἳ[3] πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν πρὶν καὶ[4] τὰς αἰτίας ἀκοῦσαι, ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων[5] τοὺς προσήκοντας παραγενέσθαι.[6] οὐχ ὑφ'[7] ὑμῖν[8] αὐτοῖς ἔξετε[9] τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ',[10] ὅτι οὐδεὶς πώποτ' ἐπέθετο πρότερον[11] τῇ τοῦ[12] δήμου καταλύσει, πρὶν ἂν μεῖζον[13] τῶν δικαστηρίων ἰσχύσῃ;[14]

236 80. Ἡδέως δ'[1] ἂν ἔγωγε, ὦ Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην[2] πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας 629
εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι.[3] εἰ μὲν γὰρ λέξεις,[4] ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω,[5] ὅτι τὰς[6] τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτ' ἐξεργασθῆναι[7] καλῶς τὸ γεγενῆσθαι τούτων[8] αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ[9] 630
τὰ τείχη[10] οὐδὲ τὰς δημοσίας ταφὰς[11] ἀνελόντα[12] τὸν ὀρθῶς 631
πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γε- 632
227 γενημένον[13] τῇ πόλει. εἰ δ' ἤξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ[1] λέγων καὶ πράττων[2] τἄριστα τῷ δήμῳ τῶν[3] Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις. τὰς μὲν γὰρ περὶ[4] τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοᾶς[5] δωροδοκίας παραλείπω·[6] ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰ-

§. 235. 1) δὲ αὐτῶν ehkl. 2) οἱ ἐγένετο m. 3) καὶ h, καὶ dFlnq Barb., ἢ Laur. 4) καὶ add. agmz Flor. et supra versum h (BS. Fr. Bens.). 5) εἶργον h, εἴρων l. 6) παραγενέσθαι acdFnq Laur. Barb., παραγίνεσθαι cett. 7) ὑφ' om. ap Vat. et pr. Laur. 8) ὑμῶν c. 9) εἴξετε e. 10) μεμνήσεσθ' Cobet. N. LL. p. 245. 11) ἐπέθ. πρ.] πρότερον ἐπέθετο np. 12) τῇ τοῦ om. ehkl (Bk. Di.). 13) μεῖζον hkl Laur., μείζω cett. (Br.) cf. Dind. ad Xen. Hell. II, 2, 16. 14) ἢ ἰσχύσει n, ἰσχύσει Vat. Laur., ἰσχύσοι h, ἰσχύσειν l. — πρὶν — ἰσχῦσαι Cobet, l. c. p. 271.

§. 236. 1) δ' om. dhl. 2) ἐν. ὑμ. ἀναλογ.] ἀναλογ. ἐναντίον ὑμῶν n, ἐναντίον ὑμῶν ὁμολογησαίμην (ὁμολογισαίμην Barb. Flor., ἀναλογησαίμην Ald.) acgmp Vat. Laur. cf. schol. Laur. 3) στεφανοῦν p, στεφανωθῆναι ehkl. 4) λέξεις ehkl, λέγετε Laur., λέγεις cett. cf. §. 237: εἰ δ' ἥξεις. §. 241: εἰ — τολμησει. 5) ἐποίησας e. 6) τοὺς Barb. 7) ἐξειργάσθαι k (Bk. Br. Di.), ἐξεργάσασθαι el, ἐξεργάσθῆναι h. 8) τοῦτον p (Rsk.). 9) δεῖ a. 10) τείχη οὐδὲ τοὺς τὰς τάφρους c, τείχη οὐδὲ τὰς (τοὺς F) τάφρους dFnq Barb. 11) τὰς — ταφὰς] ταφὰς δημοσίας ehkl. 12) ἐνελόντα m. 13) αἴτιον γεγεν.] γεγενημένου ehl.

§. 237. 1) διατελῇ q. 2) πράττοντα Barb. 3) τῷ Fnq (Bk. Br.). 4) ἐπὶ cpq. 5) εὐβοέας libri. 6) πα-

τίας[7] ἀνατιθῇς[8] Δημοσθένει, τοὺς μὲν[9] ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ αἰσθανομένους[10] ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένεθ' ἡ[11] συμμαχία, οἷει λανθάνειν[12] ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς.[13] 81. ἡλίκον δ'[1] ἐστὶ τὸ ἀλαζόνευμα[2] τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ[3] διδάξαι. 238

Ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ χρόνῳ[4] πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλ' ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε[5] δὴ ἄλλα καὶ μάλ'[6] ἀπαιδεύτως[7] διελέχθη,[8] καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν,[9]
633 "ἐγὼ" φησὶν "ὑμῖν χρυσίον οὐ δώσω· μή μ'[10] αἰτεῖτε· οὐ γὰρ λήψεσθε." οὗτος[1] μέντοι[2] ὁ αὐτὸς ἐγκαταληφθεὶς[3] ὑπὸ 239
τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια[4] τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν οὐκ[5 6] ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν[7] ἐξειργάσατο.[8] σὺ δὲ[9] τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς[10] ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντ' ὑποσιωπᾷς,[11] ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας.[12] οὐ δι' 240
ἔνδειαν μὲν[1] χρημάτων ἕνεκα[2] πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις[3] τὴν ἄκραν οὐ παρέδοσαν; διὰ ἐννέα δὲ[4] τάλαντ' ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν ἡ[5] πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ[6] χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ,[7] οἱ δὲ κίν-
634 δυνοι παρ' ὑμῖν.[8]

ραλίπω Fp. 7) τὰς αἰτίας om. Laur. 8) ἀνατιθεὶς Vat. 9) μὲν γὰρ a. 10) αἰσθομένους ehkl. 11) ἡ om. d. 12) λανθάνειν ante οἷει pon. ehkl (Bk. Br. Di.). cf. §. 220. 13) περιτίθης cdF Barb., παρατιθεὶς Laur.

§. 238. 1) δ' om. l. 2) ἀξίωμα h. 3) σημείῳ ante μεγάλῳ pon. Laur. 4) χρόνῳ ehkl, πρότερον χρόνῳ cett. 5) τάδε m. 6) μεγάλα h. 7) ἀπαίδευτος Barb. 8) διειλέχθη gmn, διηλέχθη h. 9) ἀνέγραψεν np Vat., ἐπέγρ. Laur., ἐν τῇ ἐπιστολῇ, quae vv. add. codd. post ἐνέγραψεν cum Hamakero delevi. 10) μή με] μήτε hl.

§. 239. 1) οντε n. 2) τοίνυν ehkl. 3) ἐγκαταλειφθεὶς gm Vat. Laur. 4) τριάκοντα eghklmpz Vat. Flor. Bern., πεντήκοντα n. 5) ὁ δῆμος ante οὐκ add. ehkl (Bk. Br. Di.). 6) οὖν n. 7) τ. Θηβ. συμμ.] τὴν συμμαχ. Θηβαίων ehkl. 8) ἐξειργάσατο ehkl γρ. g et Bern., ἐξειργάζετο cett. 9) σὺ δὲ] οὐδὲ Laur. 10) ἐνώχλεις pr. k. 11) ἀποσιωπᾷς h. 12) ἀπεστέρηκας ehl.

§. 240. 1) μὲν om. eh, post ἕνεκα ponunt kl Flor., inter vv. habet z. 2) ἕνεκα γὰρ h. 3) τοῖς Θηβ.] Θηβαῖοι ehkl. 4) δὲ ante ἐννέα pon. eghkl Laur. (Bk. Br. Di.). 5) καὶ Barb. 6) αὐτοῦ F, αὑτοῦ cd Barb. et om. v. ταῖς t. 7) τούτων Vat. 8) ἡμῖν ehk.

241 82. Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν[1] θεωρῆσαι. εἰ γὰρ τολμήσει[2] Κτησιφῶν μὲν Δημοσθένην[3] παρακαλεῖν λέξοντ'[4] εἰς ὑμᾶς, οὗτος[5] δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει,[6] βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε[7] τὸ ἀκρόαμα γίγνεται.[8] ὅπου γὰρ δὴ[9] τοὺς μὲν ὄντως[10] ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ[11] καλὰ σύνισμεν ἔργα, ἐὰν[12] τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν·[13] ὅταν δ'[14] ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;[15]

242 Ἀπὸ μὲν οὖν[1] τῆς ἀναισχύντου πραγματείας, ἂν σωφρονῇς, ἀποστήσει,[2] ποίησαι[3] δέ, ὦ[4] Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψει, ὡς οὐ δυνατὸς[5] εἶ λέγειν. καὶ γὰρ ἂν[6] ἄτοπόν σοι[7] συμβαίνοι,[8] εἰ πρώην μέν ποθ' ὑπέμεινας[9] πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι συναχθεσόμενος[10] ἐπὶ τῇ τοῦ[11] Μο- 635
λοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ[12] δ' οὐ φήσεις δύνασθαι λέγειν.[13] ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι[14] παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμ' οὐκ
243 ἀπολογήσει;[15] 83. ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν[1] μή τις σοι[2] συνείπῃ;[3] ἐπερώτησον δὴ[4] τοὺς δικαστάς, εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην[5] καὶ Τιμόθεον, καὶ πυθοῦ[6] παρ' αὐτῶν,[7] διὰ τί τὰς δωρεὰς αὐτοῖς[8] ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ[9] ἅμα σοι[10] ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει[11]

§. 241. 1) αὐτῶν om. l. 2) τολμήσει ehkl, τολμήσεις cett. 3) δημοσθένη acdenq Vat. (Bk.), δημοσθένει l. 4) λέγοντα ch, λέξαντα Laur. 5) αὐτὸς g. 6) ἐγκωμιάζει hl. 7) πεπόνθαμεν ehkl. 8) γενήσεται corr. n. 9) γὰρ δὴ agmp Vat. Laur., δὴ om. Bk. Br. Di. cum cett. 10) ὄντας gn. 11) καὶ om. p Vat. 12) ἐὰν post ἐπαίνους ponunt ehkl. 13) φέρομεν Vat. 14) δὴ Bern., om. p, delebat Rsk. cum Marklando. 15) ἀκούων om. ghklmpz Vat. Laur. Flor. cf. §§. 114. 166.

§. 242. 1) οὖν om. cdF. 2) ἀφίστασο Bern. 3) „malim ποιήσῃ sive ποιήσει." Bekk., ποιήσει Cobet. V. LL. p. 144. 4) ὦν Barb. 5) ἀδύνατος h, οὐ δυνατὸν gl. 6) ἂν om. agmz Laur. Flor. (BS. Fr. Bens.). 7) σοι delet Hamaker. „mirum, ni Cobet. h. l. τι suppleat." Frank. 8) συμβαίνει agm Laur. Flor. (BS. Fr. Bens.). 9) ὑπομείνας hl. 10) συναχθεσόμενος Cobet. V. LL. p. 136 (Fr.), συναχθησόμενος gq, συνεσχεθησόμενος Vat., συναχθεσθησόμενος cett. libri. 11) τοῦ om. n Laur. 12) νῦν ehkl. 13) λέγειν om. eghkl. 14) δύνασθαι e. 15) ἀπολογήσῃ libri.

§. 243. 1) ἐὰν e. 2) σοι om. dehkl. 3) συνείποι mn (Ald. Wolf.). 4) δὲ hl Laur. 5) Ἰφικράτου l. 6) πύθοῦ hk, πύθον gm. Vat. Laur. Flor., πιθοῦ l. 7) αὐτὸν l. 8) αὐτοῖς om. l, αἰτεῖς corr. g. 9) γὰρ om. l. 10) σοι ante ἅμα pon. ek, om. hl. 11) Ἰφικράτην e, Ἰφι-

636 δέ, ὅτι μόραν[12] Λακεδαιμονίων ἀπέκτεινε,[13] Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν[14] εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον[15] ἔργα πέπρακται.[16] Δημοσθένει δ' ἐάν τις ἐρωτᾷ[1] διὰ τί οὐ[2] δώσετε;[3] ὅτι δωροδόκος, ὅτι δειλός,[4] ὅτι τὴν τάξιν ἔλιπε.[5] καὶ πότερον τοῦτον[6] τιμήσετε,[7] ἢ ὑμᾶς αὐτοὺς ἀτιμάσετε[8] καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίζεθ'[9] ὁρᾶν σχετλιάζοντας, εἰ[10] οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα[11] καὶ τὰ[12] ἀγνώμονα,[13] ἐάν τῳ[14] ἐμπεσόντ' ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ[15] ἐάν τις αὐτὸν[16] διαχρήσηται,[17] τὴν χεῖρα τὴν 637 τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, Δημοσθένην[1] δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ[2] τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δ' οἱ ζῶντες γίγνονται ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. 84. τὸ δὲ[3] μέγιστον, ἐὰν[4] ἐπερωτῶσιν ὑμᾶς[5] οἱ νεώτεροι, πρὸς ποῖον[6] χρὴ παράδειγμ'[7] αὐτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε;[8] εὖ γὰρ 246 ἴστε,[1] ὅτι οὐχ αἱ παλαῖστραι[2] οὐδὲ τὰ διδασκαλεῖ' οὐδ' ἡ μουσικὴ μόνον[3] παιδεύει τοὺς νεωτέρους,[4] ἀλλὰ πολὺ μᾶλλον 638 τὰ δημόσια κηρύγματα.[5] κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται[6] ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας[7] ἄνθρωπος ἀσχημονῶν[8] τῷ[9] βίῳ καὶ βδελυρός·[10] ὁ δέ γε[11]

κράτης l. 12) μόραν Vat. Flor. Bern. et z in rasura (Wolf. Rsk. Bk. Br. Di. BS. Fr. Bens.), μοῖραν cett. 13) ἀπέκτεινε Bakium offendit. non immerito, vid. Frank. praef. ad h. l. 14) τὸν om. p. 15) τὸν πόλεμ. n. 16) τέτυκται a.

§. 244. 1) ἐάν τις ἐρωτᾷ] ἀντεροῦ ehkl mg. Steph. (Bk. Br. Di.). 2) οὐ om. ehklz Flor. 3) δώσετε φήσετε cp. 4) ὅτι δειλός ante ὅτι δωροδόκος pon. p. 5) ἔλειπε Laur., λέλοιπε z Flor. 6) τοῦτον om. pr. h. 7) τοῦτον τιμήσετε] τοῦτο μιμήσετε Laur. 8) ἀτιμάσετε n. cf. 1, 183 et Cobet. N. LL. p. 750 sqq., ἀτιμωρήτους ἐάσετε ehkl, ἀτιμώσετε cett. 9) νομίσαθ' Bk. Br. Di. cum ehkl. 10) εἰ in mg. ponit n. 11) τὰ ἄ.] τὸν ἄφωνον e. 12) τὰ om. dFnq, τὸν ehl. 13) ἄκμονα h. 14) τε cp, τις n (Ald.). 15) καὶ om. l. 16) ἑαυτὸν cep. 17) διαχρήσηhkl, διαχειρίσηται acegmz Laur. Flor.

§. 245. 1) δημοσθένει l. 2) μὲν Laur. Barb. 3) τὸ δὲ] καὶ τὸ ehkl. 4) ἐὰν om. ehkl. 5) ὑμῖν n. 6) ὁποῖον ehkl. 7) χρὴ παράδ.] παράδειγμα χρὴ cdFn Barb. 8) τί κρινεῖτε om. ehkl, τί ἀποκρινεῖσθε Wolf.

§. 246. 1) ὦ ἄνδρες Ἀθηναῖοι post ἴστε add. ehkl (Bk.). 2) ἡ παλαίστρα ehkl. 3) μόνη h. 4) νέους ehkl. 5) δίκαια ehkl. 6) ὅτι στεφανοῦται delet Cobet. N. LL. p. 103. 7) καὶ ἀνδραγαθίας καὶ εὐνοίας om. ehkl. 8) ἀσχήμων ὢν cdFq Barb. (Bk. Di.), ἀσχήμων ἐν n Laur. (Rsk. Br.), εὐσχημονῶν hm. 9) ἐν τῷ Barb. 10) καὶ βδελυρὸς om. ehkl. 11) ὁ δέ γε] ὁ δὲ

νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις[12] δέδωκε πονηρὸς καὶ πορνοβοσκός, ὥσπερ Κτησιφῶν· οἱ δέ γ' ἄλλοι πεπαίδευνται.[13] τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει[14] τὸν υἱόν· ὁ δέ γ' εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν[15] ἐνοχλεῖν ἐνταῦθ'[16]
247 ἤδη[17] δικαίως ὀνομάζεται. ὡς οὖν[1] μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι,[2] οὕτω τὴν ψῆφον φέρετε,[3] εἰς ἀπολογισμὸν[4] τοῖς νῦν μὲν[5] οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις[6] δ' ὑμᾶς,[7] τί ἐδικάζετε.[8] εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις[9] εἶναι, ὁποῖός τις[10] ἂν[11] ἢ[12] ὁ κηρυτ- 639
τόμενος· ἔστι δ' ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς,[13] ἀλλὰ τῇ Δημοσθένους[14] ἀνανδρίᾳ προσεικασθῆναι. πῶς οὖν ἄν τις
248 τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι;[15] 85. ἐὰν[1] τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι,[2] φυλάξησθε.[3] ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ[4] οἱ τοῖς ἔργοις
249 πλεῖστον ἀπέχοντες. ὅταν οὖν λάβητε[1] ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν[2] τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπαν- 641
άγειν αὐτὸν κελεύετε τὸν λόγον,[3] ὥσπερ[4] καὶ[5] τὰς βεβαιώσεις τῶν κτημάτων[6] ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. ὅτῳ[7] δὲ ταῦτα μὴ μαρτυρεῖτε,[8] μὴ βεβαιοῦτ' αὐτῷ τοὺς ἐπαίνους, καὶ[9] τῆς δημοκρατίας
250 ἐπιμελήθητ'[10] ἤδη διαφευγούσης ὑμᾶς.[11] ἢ οὐ δεινὸν ὑμῖν

e, οὐδεὶς h, οὐδὲν n. 12) τις om. Laur. 13) πεπαίδευται Laur. 14) παιδεύειν Laur. 15) παιδεύειν agm. 16) ἐνοχλεῖν ἐνταῦθ'] ἐνταῦθα ἐνοχλεῖν Ald.BS. Fr. Bens. cum agmn. 17) ἤδη καὶ ag (BS. Fr. Bens.).

§. 247. 1) ουν om. e. 2) θεωροῦντες ehkl. 3) φέρε Laur., φέρεται q. 4) ἀπολογίαν agm Laur. „haec cum superioribus male cohaerent, ita ut ante ea excidisse quaedam videantur." edd. Turicc. vid. Jahni Annall. 34 p. 264. 5) νῦν μὲν] μὲν νῦν n (Ald.), νῦν μὲν οὖν a. 6) ἐπερησομένους p. 7) ἡμᾶς l. 8) ἐκδικάζεται a. 9) ἡ πόλις ante δόξει pon. ehkl. 10) τις om. g. 11) ἄν om. t. 12) εἴη ehk Laur.; om. Flor. 13) ὑμᾶς e Flor. (Bk. Br. Di.), ἡμῶν g, ὑμῶν h, om. edd. Turicc. cum n, ἡμᾶς cett. 14) τοῦ δημοσθ. v. 15) ἐκφεύγοι ek, ἐκφύγῃ Laur.

§. 248. 1) ἐὰν οὖν ept Vat. 2) ἔθεσι Laur. 3) φυλάξησθε καλῶς ποιήσετε pt, φυλάξησθε καλῶς ποιήσεται c. 4) τὸ πολὺ dFq (Rsk.).

§. 249. 1) λαβόντες n. 2) ἐν om. ehkl. 3) τὸν λόγον] καὶ τῶν λόγων cdeFklq Barb. (Rsk.), τῶν λόγων Scheibius Observ. p. 30 (BS.), καὶ τὸν λόγον Bk. Br. Di. 4) ὥσπερ om. a. 5) καὶ om. cdFn Barb. 6) κηρυγμάτων cdFn, ὡς περὶ τῶν κηρυγμάτων Rsk. 7) οὕτω l et pr. h. 8) μαρτυρεῖτε ehl, μαρτυρῆτε Vat., μαρτυρεῖται cett. „Fort. μαρτυρεῖ." Saupp. 9) καὶ] οὕτω γὰρ καὶ cp. 10) ἐπιμεληθήσετε Vat. 11) ὑμᾶς] ὡς ὑμᾶς d.

δοκεῖ[1] εἶναι, εἰ[2] τὸ μὲν βουλευτήριον καὶ[3] ὁ δῆμος παροῶται, αἱ δ' ἐπιστολαὶ καὶ πρεσβεῖαι[4] ἀφικνοῦνται εἰς ἰδιωτι-
642 κὰς οἰκίας, οὐ παρὰ[5] τῶν τυχόντων[6] ἀνθρώπων, ἀλλὰ παρὰ[7] τῶν πρωτευόντων[8] ἐν τῇ Ἀσίᾳ[9] καὶ τῇ[10] Εὐρώπῃ; καὶ ἐφ'[11] οἷς[12] ἐστιν ἐκ[13] τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγιγνώσκουσιν,[14] καὶ παρακελεύονται[15] οἱ μὲν[16] βλέπειν εἰς[17] τὰ ἑαυτῶν πρόσωφ' ὡς φύλακες τῆς[18] δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς πόλεως ὄντες. ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμ- 251
βεβηκότων ὥσπερ παραγεγηρακὼς[1] ἢ παρανοίας[2] ἑαλωκὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται,[3] τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρχεσθ' ἐκ τῶν ἐκκλησιῶν οὐ[4] βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων, τὰ περιόντα[5] νειμάμενοι. 86. ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε.

643 Ἐγένετό τις, ἄχθομαι δὲ πολλάκις μεμνημένος[1] τὰς ἀτυ- 252
χίας τῆς πόλεως,[2] ἐνταῦθ'[3] ἀνὴρ ἐδιώτης, ὃς[4] ἐκπλεῖν εἰς[5] Σάμον ἐπιχειρήσας[6] ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ[7] τῆς ἐξ Ἀρείου πάγου[8] βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ'[9] ἐκπλεύσας[10] εἰς Ῥόδον, ὅτι τὸν φόβον[11] ἀνάνδρως[12] ἤνεγκε, πρῴην ποτ' εἰσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ[13]
644 ἐγένοντο· εἰ δὲ μία[14] μόνον μετέπεσεν, ὑπερώριστ'[15] ἂν.[16]

§. 250. 1) δοκεῖ ante ὑμῖν ponunt agmz (BS. Fr. Bens.), post εἶναι ehkl, εἶναι om. n. 2) εἰ adgmpz Vat. Laur. Flor., ὅτι Bk. Di. cum cett. 3) καὶ om. Laur. 4) αἱ πρεσβεῖαι cdeFhklnq Barb. (Rsk. Bk. Br. Di.). 5) περὶ Barb. (Ald.). 6) ἐχόντων Laur. 7) παρὰ om. Laur. 8) εἰς — πρωτευόντων om. n, πρωτευόντων in mg. h, πρωτευόντων ἀνθρώπων dFq Barb. 9) ἐκκλησίᾳ q. 10) ἐν τῇ cdFnq Barb. 11) ἐν p, qui postea ἐστιν om. 12) ὃ Laur. 13) ἐκ] ἡ παρὰ ehkl. 14) παραγινώσκουσιν cd, ἐπαναγινώσκουσιν n. 15) καὶ παρακελ.] παρακελ. δὲ dFqBarb., καὶ παρακελ. δὲ c. 16) οἱ μὲν] οἱ μὲν ὑμῖν cdeFklq Barb., οἱ μὲν ὑμᾶς h (Bk.), ὑμῖν οἱ μὲν cett. „Fort. ὑμῖν δὲ καὶ lendum." Saupp. 17) εἰς h, καὶ l. 18) τῆς om. d.

§. 251. 1) γεγηρακὼς hl, καταγεγηρακὼς Wolf. 2) παροινίας Laur. 3) περιπονεῖται n. 4) οὐ in mg. n. 5) περιὸντα k.

§. 252. 1) μεμνημένος ante πολλάκις pon. ehkl (Bk. Br. Di.). 2) τὰς ἀτυχίας τῆς πόλ.] τῆς ἀτυχ. τ. πόλ. p, ἀτυχία τῇ πόλει ehkl. 3) ἐνταῦθα δ' q. 4) ὃς om. ehkl. 5) εἰς dFq Laur. Barb. (BS. Bens.), μόνον εἰς Vat. Flor. (Taylor. Bk. Br. Di. Fr.), μόνος εἰς cett. 6) ἐγχειρήσας dFnq Laur. Barb. 7) ἀπὸ ehkl. 8) ἐξ. Ἀ. π.] ἐν ἀρείῳ πάγῳ Bern. 9) δ' om. ek. 10) ἐκπλεύσας ἰδιώτης ehkl, ἰδιώτης ἐκπλεύσας Bk. Br. Di. cum cett. 11) τὸν φόβον om. q. 12) ἄνανδρος q (Wolf.). 13) αἱ ψ. αὐτῷ] αὐτῷ αἱ ψῆφοι ehkl (Bk. Di.). 14) μιᾶ a, μίαν hln. 15) ὑπερώρισται p. 16) ἢ ἀπέθανεν, quae vv. addunt codd. post ἄν, Arn. Schäfer. Dem. T. III. p. 201, 3 glossema esse vidit. καὶ ἀπέθανεν Bens. cum Harpocr.

253 ἀντιθῶμεν δὴ τὸ νῦν[1] γιγνόμενον.[2] ἀνὴρ ῥήτωρ, ὃ πάντων[3] τῶν κακῶν αἴτιος,[4] ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα[5] δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται[6] δεῖν. οὐκ ἀποπέμψετε[7] τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων[8] διὰ[9] τῆς πολιτείας πλέ-
254 οντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μέμνησθε,[1] ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια[2] γίγνεσθαι καὶ τὸ συνέδριον τὸ[3] τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡ πόλις[4] ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν[5] καιρούς· δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε,[6] ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου[7] πράξητε, ἀπολύσετε[8] τὸν δῆμον τῶν αἰτιῶν.

255 87. Μὴ οὖν ὡς ὑπὲρ[1] ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ[1] οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε,[2] καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας[3] ἀπόθεσθε,[4] καὶ μὴ μόνον τοῖς ὠσίν,[5] ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες[6] Δημοσθένει, πότερον οἱ συγκυνηγέται,[7] ἢ οἱ[8] συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν[9] ἐν ἡλικίᾳ.646
ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐχ ὃς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελούμενος,[10] ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται.
256 ἀλλ' εἰς[1] τὴν ἀλαζονείαν ἀποβλέψαντες,[2] ὅταν φῇ Βυζαν-

§. 253. 1) *νυνὶ* ehkl (Bk. Br. Di.). 2) *γενόμενον* n. 3) *ὃ πάντων*] *ἁπάντων* dFn Laur. Barb., *τὸ πάντων* a. 4) *αἴτιον* a. 5) *ἀποδέδρακε* ehkl. 6) *οἴεσθαι* h. 7) *ἀποπέμψεσθε* Fp Vat. Laur. Barb. (Rsk.). cf. §. 235. 8) *ἐπ' ὀνομ.* om. Barb. 9) *ὀνομάτων διὰ*] *ὀνόματι δὲ* Bern.

§. 254. 1) *μέμνησθε* cdFn Laur. Barb. (Ald. BS.), *μὴν μνήσθητε* p (Bk. Br. Fr. Bens.), *μὴ μνησθῆτε* aeghklm Vat. Flor., *μνήσθητε* Di. „Fortasse *μὴ οὐ μνησθῆτε*." Saupp. 2) *τὰ Πύθια* ante *μέλλει* pon. gm. 3) *τὸ* om. ehklz Flor. 4) *ἡ πόλις* ehkl (Bk. Di. BS.), *ὑμῶν ἡ πόλις* Vat., *ἡμῶν ἡ πόλις* cett. 5) *νυνὶ* ehkl. 6) *στεφανωθήσητε* m, *οὗτος* (om. *αι τοῦτον*) *στεφανώσητε* n. 7) *τούτου* om. a. 8) *ἀπολύσητε* F.

§. 255. 1) *περὶ — περὶ* ehkl. 2) *ἀλλὰ κρίνετε* om. q. 3) *ἄνδρας* ante *ἀξιολογ.* pon. chkl (Bk. Br. Di.). 4) *καὶ τὰς φιλ. — ἀπόθεσθε* om. Vat. 5) *σώμασιν* dFq Laur. Barb. 6) *βοηθήσαντες* cF, *συμβοηθήσοντες* n. 7) *κυνηγέται* e. 8) *οἱ* om. n. 9) *ὃς* n. 10) *ἐπιμελόμενος* ak et corr. z. Quod vulgo add. *διατετέλεκεν* (*διατετέλεκεν* p Vat. Laur. Flor. Barb.) om. deFhklqz.

§. 256. 1) „ante *ἀλλ' εἰς* ktl. nonnulla excidisse videntur." Frank. 2) *ἀ-*

τίους[3] μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι[4] τοῦ[5] Φι-
λίππου, ἀποστῆσαι δ'[6] Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους
647 δημηγορήσας· οἴεται γὰρ ὑμᾶς[7] εἰς τοσοῦτον εὐηθείας ἤδη[8]
προβεβηκέναι, ὥστε καὶ ταῦθ' ἁναπεισθήσεσθαι,[9] ὥσπερ
Πειθὼ τρέφοντας,[10] ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν[11] τῇ[12]
πόλει. 88. ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου[1] συνηγό- 257
ρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων[2] αὐτῷ παρακαλῇ,
ὑπολαμβάνεθ' ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ
λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν
τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις
νόμοις κοσμήσαντα τὴν δημοκρατίαν,[3] σωφρόνως, ὡς[4] προσῆ-
κεν[5] αὐτῷ, δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους
λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων,
Ἀριστείδην δὲ[1] τὸν τοὺς φόρους[2] τάξαντα τοῖς Ἕλλησιν, οὗ 258
τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάξοντ'[3]
ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ καὶ ἐπερωτῶντα, εἰ
οὐκ αἰσχύνεσθε, εἰ[4] οἱ μὲν[5] πατέρες ὑμῶν[6] Ἄρθμιον[7] τὸν
Ζελείτην κομίσαντ' εἰς τὴν[8] Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον,
ἐπιδημήσαντ' εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν[9]
Ἀθηναίων, παρ' οὐδὲν μὲν[10] ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν
δ'[11] ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν,[12]
ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα[1] τὸ ἐκ Μήδων χρυσίον,[2] 259
ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στε-
648 φάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μα-
ραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς
τοὺς[3] τάφους τοὺς[4] τῶν προγόνων οὐκ ἂν[5] οἴεσθε στενάξαι,[6]

ποβλέψατε Bern., βλέψαντες cdFq Laur. Barb. 3) τοὺς βυζαντίους gm., βυζάντιον cdFnq Barb. 4) ἐξελ. ante πρεσβ. pon. ehkl. 5) τῶν Bk. Br. Di. 6) ἀποστῆσαι δὲ om. pr. n. 7) ἡμᾶς ekl. 8) ἤδη om. n. 9) ἀναπεισθήσεσθε cdFt Barb., ἂν ἀπεισθήσεσθε Vat., ἂν πεισθήσεσθε p, ἀναπείσεσθαι Laur., ἀναπεισθήσεται l. 10) τρέφοντες pt. 11) ἐν om. n. 12) τῇ om. z Flor.

§. 257. 1) τοῦ λόγου om. Barb. 2) δωρημάτων q. 3) ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθὸν, quae vv. add. codd. post δημοκρ., delevi. vid. praefat. 4) ὥσπερ cdFn Laur. Barb. 5) προσῆκον Emperius Opuscc. p. 318.

§. 258. 1) δὲ om. el. 2) νόμους a. 3) σχετλιάζοντας Vat. 4) ὅτι ehkl. 5) μὲν om. q. 6) ἡμῶν k. 7) ἀρίθμιον ceFhlpq Vat. 8) τὴν om. gm. 9) τοῦ cdFkmz Vat. Barb. Flor. (Bk. Br.). 10) μὲν om. ehkl. 11) δ' om. n. 12) Ἀθ. ἄρχουσιν] ἄρχουσιν Ἀθηναῖοι ehkl.

§. 259. 1) κομίσ. εἰς τ. ἑλλάδα q, κολάσαντα pr. h. 2) χρυσίον] χρυσίον ἐπιδημήσαντα — Ἀθηναίων (ex §. 258) hkl. 3) τοὺς om. Barb. 4) τοὺς om. egkln Laur. et pr. h. 5) ἂν add. cdeFnq (BS. Bens.). 6) στενάξαι agmz Vat. (BS. Bens.), ἀναστενάξαι cdFnq Laur. Barb., ἀναστενάξειν Mor., στενάξειν corr.

εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν[7] στεφανωθήσεται;

260 Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ[1] αἰσχρά, βεβοήθηκα[2] καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δ' ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ[3] ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ[4] τῶν παραλελειμμένων[5] αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέρονθ'[6] ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

z, στενάξειν ehkl Flor. 7) ἀντιπρᾶξαι cdFnq Laur. Barb. vulg.

§. 260. 1) τά om. hl. 2) βεβόηκα ehl. 3) καὶ om. Flor. 4) ἐκ om. t. 5) παραλιπομένων qLaur., παραλειπομένων eFhkl Barb. (Bk. Br. Di.), καὶ τὰ συμφέροντα om. dF Laur.

PARS POSTERIOR.

SCHOLIA.

PRAEFATIO.

Scholiorum Aeschineorum genera extant duo. Quorum alterum Reiskius (praefat. ad scholia in Aeschinem in oratt. Attic. III p. 713 sqq.) descripsit ita: „Apographa horum scholiorum quodammodo tria penes me fuerunt, Oxoniense, Ultraiectinum, Tayloranum. Sed omnia illa ex uno fonte manarunt, libro, qui Eduardi Bernardi olim fuit, nunc est in Bibliotheca Bodleiana Oxonii, quem toties citat Taylor, Bern. appellans. Dicitur ei codici Iosephus Scaliger et illa scholia, et varias lectiones, haud constat unde petitas, et coniecturas denique, aut emendationes suas adscripsisse. Aldina est editio Oratorum Graecorum. Fuit aliud eiusdem Aldinae exemplum Bernardino simillimum, quod item a Scaligero conscriptum iisdem notulis dicitur, penes Petrum Wesselingium, excellentis doctrinae et humanitatis virum, e cuius bibliotheca in Ultraiectinam publicam transiit. Ultraiectinum hoc exemplum cum Oxoniensi plerumque convenit, nisi quod alias pauciora illo, alias plura tenet. Exemplum Oxoniense meam in gratiam exscripsere duo adolescentes egregie literati et magnam de se spem creantes, Griesbachius et White. Griesbachius A. M. est, alumnus celebris theologi Halensis Semleri, Rambachii, theologi quondam item Halensis, postmodum Giessani, ex filia nepos.... Ille itaque Griesbachius, per Arabicae linguae studium mihi, cum penes nos Lipsiae annum exigeret, conciliatus, in Britanniam profectus, Oxonii scholia ad Aeschinis orationem in Timarchum ipse manu sua e libro Bernardi cum exscripsisset, ad me misit, una cum scholiis in duas reliquas orationes, quas ut meos in usus exscriberet, permoverat Whitium, Oxoniensem.... Accessit ad haec apographa Oxonio ad me missa sub idem fere tempus apographum libri Wesselingiani, nunc Ultraiectini, a Goensio, V. C. ad me missum, qui auctoritate Sebaldi Ravii, V. C. motus, hoc mihi tribuit, ut quaecunque liber ille tenet, a Scaligero, ut volunt, in marginibus scripta, ipse exscriberet ad me mittenda, non ad Aeschinem solum, sed ad omnes reliquos quoque Graecos oratores. Tandem paucis ante mensibus Londino ad me misit Antonius Askewius, V. C. inter

alia volumina numero quam plurima, quibus Taylor in adornanda sua Demosthenis editione usus erat, volumina duo ad Aeschinem solum pertinentia, quae nunc penes me sunt. Alterum est illud, quod orationum Aeschinis exemplum tenet, ex Henrici Stephani corpore Graecorum oratorum minorum evulsum, chartis interiectis distinctum, quibus chartis Taylor, praeter collationes codicum Lockerani, Harleyani, et Meadiani, etiam Scholia Graeca in Timarcheam, non item in reliquas duas orationes adscripserat, eadem cum illis, quae in Bernardino et Ultraiectino libro leguntur." Haec scholia sunt fere omnia levissimi momenti, quibus Ioseph. Scaliger nonnulla ex Polluce, Harpocratione, Suida, scholiis Demosthenicis addidit. Scholia in orationem de falsa leg. ex E. Bernardi exemplari ante Reiskium edidit H. Brooke in Demosth. et Aesch. orr. de falsa leg. Oxonii 1721. Sign. litera B.

Alterius generis scholia deprompta sunt ex codicibus septem.

Scholia codicis Meadiani (q) Reiskius cum Bernardinis edidit ex volumine, quo consutum erat exemplum Timarcheae, ex editione Taylori, chartis puris interpolato, quibus chartis Taylor varias lectiones Meadiani codicis ad illam Timarcheam, et praeterea scholia in eandem orationem ex eodem codice petita inscripserat (cf. Reisk. Oratt. Attic. III p. 717). Cod. q similis est Parisinis gm (de quibus vid. infra), sed inferior.

Tribus codicibus Parisinis ad edenda scholia usus est Gulielmus Dindorfius ab Friderico Duebnero accurate collatis,

F Coisliniano 249
i (L apud Dind.) 2996
m (M) 3003.

De quibus Dindorfius (in edit. scholiorum: Oxonii 1852 pag. III) ita: „Quorum antiquissimus est F., Demosthenis Parisino S. (2994) aetate par, nisi superior" (cf. praefat. part. I) „seculo decimo scriptus in membranis. Continet praeter alia aliorum scripta .... Aeschinis orationes tres cum scholiis antiquis brevioribus. Scholia marginibus paginarum, quae versuum sunt septem et triginta, adscripta sunt et plerumque ita ut scholiastae annotationes non longe remotae sint ab contextus verbis ad quae pertinent; scholia longiora, quae rationem illam turbatura erant, in summis paginis scripta sunt. Lemmata scholiorum codex habet perpauca, nec signa, quibus scholia in codicibus ad textus verba referri solent, ulla reperiuntur. Huic codici aetate proximus est L., bombycinus seculi decimi tertii, qui orationem secundam, quae est de falsa legatione, continet cum scholiis aliquanto quam F. copiosioribus. Tertius codex (M.) chartaceus est seculi quinti decimi, qui ipse quoque scholia copiosiora exhibet ad orationes duas primas tertiaeque initium usque ad scholion de Eumolpidis (§ 18)."

Eadem fere scholia, quae cod. m, ad duas primas orationes et tertiae initium, exhibent tres codices, quibus nos in hac editione usi sumus,

Vat. Vaticanus 64

Laur. Laurentianus Plutei 57 cod. 45
g Parisinus 2930.

(De quibus vid. praefat. part. I). Scholia vero ad tertiam orationem in his, id quod magni est momenti, *longius progrediuntur:* in g usque ad §. 88, in Vat. ad §. 156, in Laur. usque ad finem orationis, ita ut *illam copiosiorum scholiorum collectionem,* exceptis fere tribus scholiis quae perierunt*) iam *integram habeamus.* Cod. g nonnulla propria admisit (1, 31. 67. 79. 89. 121. 143. 144. 2, 112. 121. 139. 3, 11), inter ea, quae Vaticano et Laurentiano ad III orat. communia sunt, Laurentianus quaedam habet, quae absunt ab Vaticano (3, 51. 90. 127. 146. 147. 150). Scholia horum librorum marginibus adscripta, ac signa et scholiis et textus verbis, quibus referantur, rubro appicta sunt, in Vaticano et Laurentiano etiam glossae inter lineas et hae rubro scriptae leguntur.

Scholia partim sunt rhetorica, breviora et leviora, partim grammatica et historica, copiosiora et praestantiora **). Maxima pars ex antiquorum interpretum commentariis fluxisse videtur, quorum diserte memorantur: Apollonius (ad 1, 56), Aspasius (ad 1, 82), Apsines (ad 3, 105), Dionysius (ad 3, 180 et 189) et *οἱ περὶ Μαρκελλῖνον* (ad 2, 6). De auctore huius collectionis Dindorfius (praef. p. IV sq.) iudicat: „mihi non dubitandum videtur quin haec collectio eidem debeatur grammatico qui excerpta ex veteribus Demosthenis interpretibus (*ἐκλογὰς ὑπομνημάτων*) in unum corpus redegit, sive is Zosimus Ascalonita, qui imperante Anastasio, i. e. seculo quinto exeunte vixit, sive alius fuit: de quo nuper dixi in praefatione ad scholia in Demosthenem p. XII. Is tripertitum in primarios Atticorum oratores commentarium composuisse videtur, cuius pars prima scholia in Isocratem, secunda in Demosthenem, tertia in Aeschinem complecteretur. Nam scholia in Isocratem (*τὰ Ἰσοκρατικὰ*) in scholiis ad Demosthenem citantur p. 30, 22 (vel 33, 23) et p. 676, 27, cui *δευτέρῳ* se *ἐπιβῆναι* ait Zosimus in Vita Demosthenis, quam ego scholiis praefixi, p. 18, 1: scholia vero in Aeschinem nusquam memorantur in Demosthenicis, ex quo colligimus scripta ea esse post Demosthenica, quorum frequens in Aeschineis mentio fit."

Codicibus F et m ante Dindorfium usus erat I. Bekkerus, qui

*) vid. ad § 230: *εἰργασμένοι ἐν δέκα τόποις*, et ad §. 246: *ἕβδομος τόπος.*

**) "... etsi ex quo fonte fluxerint sciri nequit, tamen quin maximam partem e vetustis commentariis exscripta sint, eo minus potest dubitari, quo graviora pleraque et praestantiora sunt." Frank. in praef. Tim. p. XXII. "Quaedam gravitate et bonitate cum iis, quae in hoc genere optima sunt, scholiis Aristophanis, Aristidis, Apollonii, Sophoclis conferri possunt." Baiterus et Sauppius in ed. scholiorum p. 11 ann. "... multa sunt quae exquisitiorem antiquorum interpretum doctrinam prodant." Dindorfius in praef. p. V. "Sie gehören zu dem Besten mit, was uns das Alterthum in dieser Art überliefert hat." Benseler in Aeschines der Redner (praef. edit. Tim. quae prodiit Lipsiis 1855).

scholia ad Ctesiphonteam cum Aeschinis et Demosthenis orationibus de corona Halis 1815 edidit, Timarcheae et orationis de falsa legatione in Actis Academiae Berolinensis a. 1836 p. 227—252 publici iuris fecit non distinctis utriusque codicis scholiis. Scholia et libri Bernardini et codd. F et m ad orationem Timarcheam Fr. Frankius editioni suae Timarcheae adiecit, qua in re apographo cod. m usus est, quod I. Th. Voemelius cum eo liberaliter communicaverat. Scholia in tres orationes ante Dindorfium ediderunt I. G. Baiterus et H. Sauppius (in edd. Oratt. Atticorum Turicis 1850), qui multa egregie emendarunt, post Dindorfium J. Hunzikerus (in collectione Oratt. Atticorum Didotiana Parisiis 1858.). G. Dindorfius suis codicibus ita usus est, ut in eis scholiis, quae omnibus alterius generis libris communia sunt, cod. F amplecteretur, nos eos potissimum codices sequendos esse censuimus, qui hanc scholiorum collectionem servarunt integram, quorum principem locum obtinent Vaticanus et Laurentianus.

SCHOLIA IN AESCHINIS ORATIONES.

I. *ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.*

1. *οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας*] *γραφὴ καὶ δίκη καὶ εὔθυναι*[1] *διαφέρουσιν ἀλλήλων. δίκη μὲν γὰρ ἰδιωτικόν πρᾶγμά ἐστι, γραφὴ δὲ δημόσιον. καὶ τῇ μὲν*[2] *ὅλοις τοῖς*[3] *νόμοις ὥρισται ἡ καταδίκη, τῇ δὲ γραφῇ τιμᾶται τὸ δικαστήριον ὁπόσον τι βούλοιτο. δηλοῖ δὲ*[4] *Δημοσθένης ἐν τῷ κατὰ Μειδίου τὴν διαφοράν. ἤδη μέντοι συγχέουσιν ὥστε ἐπιμίσγειν*[5]. *εὔθυναι*[6] *δέ, ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τις*[7] *κρίνῃ. εὔθυναι δ' εἰσὶ καὶ*[8] *αἱ κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀποτιθέμεναι γραφαί. ἦσαν δ' ἐπὶ τούτων ῥηρημένοι*[9] *λογισταὶ δέκα τὸν ἀριθμόν. ἐνίοτε μέντοι*[10] *καὶ εἰσαγγελίας*[11] *κατὰ τῶν εὐθυνομένων ὑπετίθεντο*[12]. *ἐκ τούτου δὲ δῆλον, ὅτι πρῶτον ἔγραψε τὸν κατὰ Τιμάρχου λόγον.* Vat. Laur. gm.

Διαφέρει γραφὴ εὐθύνης, καθὸ ἡ μὲν γραφὴ περὶ μόνων ἐστὶν ἐγγράφων, ὅταν τις κατηγορῆται ὡς[13] *παράνομον γράψας νόμον ἢ ψήφισμα ἤ τι τοιοῦτον, ἡ δὲ εὔθυνα ἀπολογία ἐστὶν ὑπὲρ ὧν κατεπιστεύθη παρὰ τῆς πόλεως, οἷον πρεσβείαν, στρατηγίαν καὶ τὰ τοιαῦτα.* Vat. Laur. gm.

Ἐπιεικείας συστατικὸν[14] *τὸ "οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας." γραφὴ μὲν δημόσιον πρᾶγμα, δίκη δὲ ἰδιωτικόν, εὐθύνη δὲ ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τις κρίνῃ. τὸ προοίμιον κατ' ἐπιείκειαν ἀπολογίας, ἐκ προτάσεως, ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως, ἥτις ἐστὶν ἀξίωσις, καὶ ἐκ βάσεως.* q.

γραψάμενος] *ἢ κατηγορίαν ἀποθέσθαι.* q.

1) *εὐθύναι* gm, *εὐθύνη* Vat. Laur. 2) *τῇ μὲν* codd. mei, *ἡ μὲν* gm (Di.), *ἥ μὲν* BS. 3) *ὅλῃ τοῖς* Baiter., *ἐν τοῖς* Saupp. coll. Meier. de lit. att. p. 173, *δίκῃ τοῖς* Hunz., *ὀλίγοις τοῖς* libri. 4) *δὲ καὶ* Laur. g. 5) *ἐπισμίγειν* m. 6) *εὐθύνη* Laur. g, *εὐθύνα* m. 7) *τινά τις* gm. vid. infra q. *εὔθυναι — κρίνῃ*] Haec verba deleverunt Saupp. Di. Hunz. propter scholion inferius. 8) *καὶ* om. Saupp. Di. Hunz. 9) *εἰρημένοι* Laur. gm. 10) *ἐνίοτε μ.*] *ὅτε μὲν* Vat. 11) *εἰσαγγελίας* g, *εἰσαγγελίαν* Bk., *εἰσαγγελίαι* cett. 12) *ὑπετίθεντο* Laur., *ἀπετίθεντο* cett. 13) Sic Laur. *ἤ* ceteri codd. 14) *συστατικὸν* Frank., *συστατικὰ* q.

[*Τὸ γὰρ ἀπενεγκεῖν, ἐπαναγαγεῖν, ἐπαγγεῖλαι, γράψασθαι, ἐγγράψασθαι, ἀποθέσθαι γραφήν, κοινῇ ταῦτα φαίης ἂν ἐγκλήματα καὶ ὡς*[1] *Πλάτων ἐπικλήματα, καὶ ἐγκαλεῖν καὶ ἐπικαλεῖν. καὶ κατηγορία δ' ἂν εἴη τὸ αὐτὸ τοῦτο καὶ αἰτία, ὡς Αἰσχίνης, καὶ ὡς Πλάτων αἰτιάσεις καὶ διώξεις.* q. cf. Pollucis l. 8 §. 29 sq.]

ὃν δὲ τρόπον] *ὃν τρόπον οὗτος καταισχύνει τὴν πόλιν, οὐχ ὃν τρόπον συκοφαντεῖ αὐτόν. πάρεστι γὰρ κατηγορήσων, οὐκ ἀπολογησόμενος.* Vat. Laur. gmq.

2. *τῇ τε πόλει — ἐμαυτῷ*] *δείνωσιν ἔχει πολλὴν καὶ αὔξησιν κατηγορίας ὁ ἐπιμερισμὸς τῶν πραγμάτων.* Vat. Laur. gm et partim q.

εἰδὼς] *τοῦτό ἐστι β' προοίμιον.* Vat.

οἷς — ἀναγιγνώσκοντος] *ἀνάγκη προανεγνῶσθαι ἐφ' οἷς πάρεστι κατηγορῆσαι λόγου χάριν.* Vat. Laur. gm.

ἐπήγγειλα] *ἑταιρήσεως ἦν*[2] *γραφὴ καὶ δοκιμασία καὶ ἐπαγγελία. καὶ ταῦτα τῆς κατὰ ἡταιρηκότων κατηγορίας τὰ ὀνόματα.* q. — *προσεκαλεσάμην εἰς τὸ δοκιμασθῆναι, ἐδήλωσα, ὅτι ἐπὶ τοῦτο*[3] *καλῶ. Αἰσχίνης δὲ ἐπήγγειλε δοκιμασίαν Τιμάρχῳ, ὅτι παρὰ τοὺς νόμους ἑταιρήσας δημηγορεῖ. δοκιμασία δέ ἐστι κυρίως ἐξέτασις περὶ ἀρχῆς.* Vat. Laur. gm.

3. *τοῦ μὲν οὖν*] *ἕτερον προοίμιον.* Vat.[4]

δημηγορεῖν] *ἤγουν ἐν βουλῇ καὶ ἐν δικαστηρίῳ.* q. *μὴ λέγειν ἐν βουλῇ μηδ' ἐν*[5] *δικαστηρίῳ, μηδ' ἐκκλησίᾳ.*[6] Vat. Laur. gm.

οὐ χαλεπὸν — ῥᾴδιον] *παραλογίζεται ἐνταῦθα λέγων τὸ σιωπᾶν ῥᾴδιον εἶναι*[7] *ῥήτορι ὄντι Τιμάρχῳ.* Vat. Laur. gm.

μὴ συκοφαντεῖν] *φασὶν ὅτι διήχθρευσεν Αἰσχίνῃ ὁ Τίμαρχος, ἐπεὶ ἐδόκει ὁ Αἰσχίνης τὰ Φιλίππου φρονεῖν. καὶ γὰρ εἶχεν ἀργὸν ὁ Αἰσχίνης ἐν Πύδνῃ τῆς Μακεδονίας. οἱ δὲ διὰ τὴν γραφὴν τὴν τῆς παραπρεσβείας, ἣν ἀπέθετο μετὰ Δημοσθένους κατ' αὐτοῦ, ὃ καὶ μᾶλλον.* Vat. Laur. gm.

ἐλπίζω] *ἀντὶ τοῦ νομίζω.* F.

4. *τυραννίς*] *οὐκ ὀρθῶς ὁ Αἰσχίνης τὴν τυραννίδα πολιτείαν ἐκάλεσεν. ἡ μὲν γὰρ πολιτεία ἐκ νόμων συνέστηκεν, ἐν δὲ*[8] *τυραννίδι οὐκ εἰσὶ νόμοι, ἀλλὰ παρανομίαι. καὶ ἐκ τούτων δὲ δῆλον ὡς οὐδὲ ἤκουσε*[9] *Πλάτωνος. οὗτος μὲν γάρ φησι τρεῖς εἶναι πολιτείας, Πλάτων δὲ καὶ δύο καὶ πέντε καὶ ἑπτά.* Vat. Laur. gmq.

5. *τῶν τυράννων*] *σημείωσαι παρὰ τοῖς παλαιοῖς τυραννίδα τὴν βασιλείαν καλουμένην.*[10] gm.

ἐν χειρῶν νόμῳ] *οὕτω λέγουσι τὸ διὰ μάχης ἐν*[11] *χειρῶν νόμῳ. Καὶ φαμέν· ὁ δεῖνα*[12] *ἐν*[13] *χειρῶν νόμῳ ἐτελεύτα, οἷον ἐν αὐτῇ τῇ μάχῃ.* Vat. Laur. gmq.

6. *προσήκειν — νομίζω*] *ἐπειδὴ πρεσβύτερος ὢν ὁ Τίμαρχος*

1) *ὡς* om. q. 2) *ἦν* Saupp., *ἦν ἡ* q. 3) *τουτῳ* Vat. 4) *δεύτερον προοίμιον* q. 5) *μηδὲ* m. cf. Scheibius in Jahn. Jahrb. 12, 35 p. 143. 6) *μηδ' ἐκκλ.* Baiterus, *μὴ δοκιμασίᾳ* codd. 7) *εἶναι* om. Laur., *ἐστι* m, *ἐπὶ* Di. Hunz. 8) artic. *τῇ* add. Hung. 9) *οὐδὲ ἤκουσε* codd. mei, *οὐδὲ .... q, οὐδὲ ἦσαν* m, *οἶμαι διήκουσε* mg. m, 10) *καλούμ.* om. g. 11) *ἐν* add. BS. 12) *δεῖνα* om. q, *ἔχων διὰ μάχης* add. gq, *ἔ. διὰ μάχην* cett. quae vv. del. BS. 13) *ἐν* om. Vat. Laur.

κρίνεται,[1] φοβεῖ τοῦτο τὸν Αἰσχίνην.[2] καί φησιν, ὅτι οὐ δεῖ[3] ζητεῖν νῦν, ἥπερ ἔχουσιν[4] οἱ νόμοι, κελεύοντες αὐτὸν ἄτιμον εἶναι, ἀλλὰ δεῖ πάντας[5] τὰ ἐκ τῶν νόμων πράττειν. Vat. Laur. gmq.

ὁ Σόλων] Δράκοντος νεώτερός ἐστι κατὰ τὴν νομοθεσίαν ὁ Σόλων ἔτεσιν ρ΄.[6] ὁ δὲ Δράκων ἔγραψε τοὺς φονικοὺς νόμους. Vat. Laur. gmq.

οἱ νομοθέται] τοὺς μετὰ Σόλωνα λέγει, οὐχ ὡς αὐτοὶ ἐνομοθέτησαν, ἀλλ' ὅτι μὴ ἔλυσαν. τῷ γὰρ μὴ λῦσαι δηλοῦσι συντιθέμενοι. Vat. Laur. gmq.

7. μειρακίων] παῖδας τοὺς ἀνήβους, μείρακας τοὺς ἀρξαμένους ἡβᾶν, ἕως ἂν[7] ἐκ τῶν ἐφήβων ἐξελθόντες ἐγγραφῶσιν εἰς ἄνδρας.[8] Vat. Laur. gmq.

8. βούλομαι δή] ἐντεῦθεν ἡ κατάστασις ἀναμεμιγμένη τοῖς ἀγῶσι. Vat. Laur. Fgmq. τοῦτο δὲ κατ' ἐπαγγελίαν τὸ σχῆμα. ἔστι δὲ ἡ κατάστασις ἀναμεμιγμένη [καὶ σύμμικτος[9]] τοῖς ἀγῶσι δι' αἰτίαν τοιαύτην·[10] ἠπόρει γὰρ[11] μαρτύρων ἐνταῦθα καὶ ὅπως λάθοι[12] τοὺς δικαστάς. Vat. Laur. gmq.

εὐμαθεῖς] εὐμαθὴς λόγος λέγεται ὁ εὔγνωστος καὶ εὐκόλως καταλαμβανόμενος. ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ (Ai. 15)·

ὡς εὐμαθές μοι, κἂν ἄγνωστος ᾖς ὅμως,
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί. gm.

10. ἀπιέναι] ἀναχωρεῖν. Laur.

σκότος] αἰδὼς γὰρ ἐν ὀφθαλμοῖς, καὶ νυξ αναίσχυντος. B.

εἰσφοιτῶντας — ἐγκυκλίων] ἐκεῖ μὲν τίνας δεῖ φοιτᾶν, νῦν δὲ πῶς μετ' ἀλλήλων εὑρίσκεσθαι. ἐν δὲ[13] τοῖς χοροῖς τοῖς κυκλίοις μέσος ἵσταται[14] αὐλητής. Vat. Laur. gm.

ἀρχή] δηλοῖ τοὺς σωφρονιστάς. Laur.[15]

παιδαγωγῶν] οἱ καλούμενοι παιδονόμοι. Vat. Laur. gm.

Μουσείων] κατὰ κοινοῦ τὸ "παρακελεύεται ὁ νομοθέτης". θέλει δὲ εἰπεῖν ὅτι ἀγαλμάτια ἦν, ὥσπερ καὶ ναϊσκάρια,[16] ἐν τῷ ἐνδοτέρῳ οἴκῳ τῶν διδασκαλείων καὶ τῶν παλαιστρῶν, Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἡρακλέους. ἐκεῖ δὲ ἔσω ἀπέκειτο ὕδωρ, ἵνα μή τις διψήσῃ τῶν παίδων. προσποιούμενοι δὲ διψῆν εἰσήρχοντο καὶ ἐκεῖσε[17] ἔσω ἤχρειοῦντο[18] μετ' ἀλλήλων. ἐκέλευσεν οὖν ὁ νομοθέτης καὶ[19] περὶ τούτου[20] εἶναι ἐπιμέλειάν τινα. Vat. Laur. Fgmq.

Ἑρμαίων] ἑορτὴ τοῦ Ἑρμοῦ ὡς ἐφόρου ὄντος τῶν ἀγώνων[21]. Vat. Laur. mq.

τῶν χορῶν τῶν ἐγκυκλίων] ἐξ ἔθους Ἀθηναῖοι κατὰ φυλὰς[22]

1) κρίνεσθαι Vat. 2) φοβεῖται τοῦτο ὁ Αἰσχ. editi. 3) ἐξεῖ Vat. 4) ἥπερ ἔχουσιν Saupp., εἰ περιέχουσιν libri. 5) πάντα m. 6) ἑπτὰ codd. (ζ΄ Vat.). 7) ἂν om. gmq. 8) εἰς ἄνδρας Di., ἄνδρες gmq, ἄνδρ. om. Vat. Laur., ἀνδρες ἐγγραφ. Rsk. 9) καὶ σύμμικτος om. mq. 10) δι' αἰτίαν τοιαύτην om. gm. 11) ἠπόρ. γὰρ] ἐπεὶ ἠπόρει gm. 12) λάθῃ Laur. 13) δὲ post χοροῖς habet m. 14) ἵστατο m. 15) δηλ. τ. σωφρ.] διὰ τοὺς σωφρονας q. 16) κοινὰ ἱσκάρι F. 17) ἐκεῖ F. 18) ἤχρηστοῦντο gmq (στ in m eraso). 19) καὶ om. gmq. 20) τούτων mq. 21) τοῦ ἀγῶνος Laur. 22) φυλὴν gq, φυλὰν Laur., Ἀθην. post φυλὴν pon. g.

ἵστασαν ν' παίδων χορὸν ἢ ἀνδρῶν, ὥστε γενέσθαι δέκα χορούς, ἐπειδὴ καὶ δέκα φυλαί. διαγωνίζονται δ' ἀλλήλοις[1] διθυράμβῳ, φυλάττοντος τοῦ χορηγοῦντος ἑκάστῳ χορῷ τὰ ἐπιτήδεια. ὁ δ' οὖν νικήσας χορὸς τρίποδα λαμβάνει, ὃν[2] ἀνατίθησι τῷ Διονύσῳ. λέγονται δ' οἱ[3] διθύραμβοι χοροὶ κύκλιοι καὶ χορὸς κύκλιος. Vat. Laur. gmq.

11. τετταράκοντα ἔτη] καὶ πῶς ὁ Δημοσθένης τριάκοντα ἔτη ἔχων ἐγένετο χορηγός; ἀπορία δηλονότι χορηγοῦ[4]. Vat. Laur. mq.

13. ἐκ γὰρ τοῦ] ἀποδείξεις τοῦ γίγνεσθαι ἐν τῇ πόλει. Vat. Laur. m.

κατ' αὐτοῦ] οἱ μὲν ἐπάνω διορισμοὶ τοῦ νόμου ῥητά εἰσιν. εἶτα τὸ λοιπὸν τοῦ νόμου ἐάσας ἀφ' ἑαυτοῦ φησι· κατ' αὐτοῦ μὲν καὶ τὰ ἑξῆς. Vat. Laur. gmq.

ἐπάναγκες] ἑξῆν γὰρ αὐτῷ, εἰ ἐβούλετο, τρέφειν τὸν πατέρα, μὴ βουλόμενον δὲ οὐκ[5] ἠνάγκαζεν ὁ δῆμος. Vat. Laur. gmq.

ἠβήσαντι] ἀντὶ τοῦ τελειωθέντι, εἰς ἄνδρας ἐγγραφέντι. Vat. Laur. gmq.

καὶ ταλλα — νομιζόμενα] σπένδειν[6], ἀπάρχεσθαι, τὰ ἠρία[7] ἐπιτελεῖν[8]. Vat. Laur. gmq.

14. ὄνησιν] ἤγουν[9] τὸ εὖ πάσχειν παρὰ τῶν παίδων. Vat. Laur. q.

τοῦ παιδὸς] πῶς λέγει, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾶ γραφὴν εἶναι, ἐνταῦθα δὲ ὅτι ἀφαιρεῖ αὐτοῦ τὴν παρρησίαν; ἀνάγκη γάρ,[10] εἰ τολμᾷ λέγειν, γράφεσθαι[11] καὶ εὑρίσκεσθαι φύσει ἀντινομίαν[12]· ὅπερ οὐχ οἷόν τε. φαμὲν οὖν ὅτι ἡσυχάζοντα αὐτὸν οὐ γράφεται, ὥσπερ ἐπὶ τῶν ἑκουσίως ἡταιρηκότων, ἀλλὰ λέγειν βιαζόμενον. εἰ γὰρ θέλει λέγειν, κωλύει ὁ νόμος. Vat. Laur. gm.

15. τίμημα ἐπέθηκεν] τῇ τῆς ὕβρεως γραφῇ ὁ νόμος ἐπέθηκε τίμημα οὐχ ὡρισμένον τι, ἀλλ' ὅ τι ἂν τὸ δικαστήριον ἢ εἰς χρήματα ἢ εἰς τὴν ἄλλην ἐπιτιμίαν καταδικάσῃ. Vat.[13] Laur. gm.

16. οἱ θεσμοθέται ἄλλα μὲν ποιοῦσι κοινῇ, ἰδίᾳ δέ, πότε δεῖ δικάζειν τὰ δικαστήρια καὶ τὰς εἰσαγγελίας εἰσάγειν εἰς τὸν δῆμον, καὶ τὰς χειροτονίας καὶ τὰς προβολὰς[14] εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ ἕτερα. q.

18. ἐγγραφῇ — γραμματεῖον] τὴν ἐφημερίδα λέγει τὴν δημοσίαν, εἰς ἣν ἐνεγράφοντο οἱ τελειωθέντες[15] τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν καὶ τῶν λήξεων ἄρχειν. B. Ἄλλως. ἤγουν ἐπειδὰν γένηται ἐννόμου ἡλικίας. ὁ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφεὶς ἤδη τὰ πατρῷα παρελάμβανεν. ἡ δὲ πατρῴα οὐσία καὶ λῆξις ἐκαλεῖτο. ἦσαν δὲ ἓξ, οἳ τοὺς μὴ ἐκκλησιάζοντας[16] ἐζημίουν

1) ἀλλήλων Vat. 2) ὃν om. Laur. 3) οἱ om. Laur. 4) χορηγῶν q. 5) οὐκ om. gm. 6) σπεύδειν mq. 7) τὰ ἠρία Scheib. l. l. p. 143 coll. Harpocrat. s. v., τὰς ἡμέρας codd. 8) ἀποτελεῖν Laur. 9) ἤγουν om. Vat. Laur. 10) δὲ gm. 11) συγγράφεσθαι Laur. 12) ἀντινομία m. 13) ἢ εἰς χρήμ. — καταδικάσῃ Vat. habet in rubro supra lineam. 14) προσβολὰς q, προβ. Frank. 15) τελεωθέντες vel τελεσθέντες q. 16) ἕξ, οἳ τοὺς παρεκκλησιάζοντας vel τοὺς οὐκ ἐξὸν ἐκκλ. Rsk. coniecit ἓξ [ληξίαρχοι], οἳ τοὺς [μὴ] ἐκκλησιάζοντας. Saupp. cf. Pollucis 8 §. 104, ἓξ ἦσαν, οἳ τ. ἐκκλ. q.

καὶ τοὺς ἐκκλησιάζοντας ἐξήταζον. q. ὡσανεὶ ἔλεγεν· ὅταν γένωνται τῆς ἐννόμου ἡλικίας. ἐνεγράφοντο[1] δὲ ἀπὸ ἐτῶν ιή, καὶ δύο ἔτη εἰς τοὺς ἐφήβους ἐτέλουν καὶ ἐφύλαττον περὶ τὴν πόλιν τὰ φρούρια[2] ἀπὸ εἴκοσι δὲ ἐτῶν ἐπολέμουν. ἐκλήθη δὲ τὸ[3] ληξιαρχικὸν ἀπὸ τῆς λήξεως, ὅ ἐστι τῆς οὐσίας,[4] τοῦ κλήρου, καθώσπερ[5] ἐξουσίαν[6] ἐλάμβανε αὐτὸς ὁ ἐγγραφεὶς τῶν πατρῴων, εἰ μὴν ὑπὸ ἐπιτρόπους.[7] Vat. Laur. Fgm et partim q. ἢ ἀπὸ τοῦ τοὺς ἐν αὐτῷ γραφομένους ἄρχειν τῆς λήξεως, ὅπερ ἐστὶ τοῦ κλήρου.[8] ἐγράφοντο δὲ ἐνταῦθα οἱ τέλειοι γενόμενοι[9] καὶ δυνάμενοι τὰ κοινὰ διοικεῖν. Ἄλλως. εἰς ὃ ἀνεγράφοντο οἱ τῆς νομίμου πολιτείας καὶ ἡλικίας γενόμενοι, οἷς ἐξῆν οἰκονομεῖν τὰ πατρῷα. καὶ ἦν τὰ γραμματεῖα ταῦτα παρὰ τοῖς δημόταις, ἔνθα[10] ἀνεγράφοντο[11] οἱ ἐκ παίδων γενόμενοι μειρακίσκοι, ἴσως ὅτι ἔξεστι τούτοις λαγχάνειν τινὰς ἀρχὰς ὡς ἤδη νοοῦσιν. Vat. Laur. gm.

καὶ τοὺς νόμους εἰδῇ τοὺς τῆς πόλεως] περισπωμένως ἀναγνωστέον ἀντὶ τοῦ γνῷ καὶ μάθῃ. F.

αὐτῷ Τιμάρχῳ] ὡσανεὶ ἔλεγεν, ἀλλ' ἤδη αὐτῷ τῷ ἡταιρηκότι,[12] ὄνομα τῆς ἀσελγείας[13] ποιούμενος Τίμαρχον. Vat. Laur. F gmq. τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρ' ὑπόνοιαν. Vat. Laur. gmq.

19. στεφανηφόρος] ἀρχὴ αὕτη ἐν Ἀθήναις σεμνὴ καὶ στεφανηφοροῦσα.[14] οἱ γὰρ ἐννέα[15] ἄρχοντες στέφανον ἐφόρουν μυρρίνης. ἦσαν δὲ ἄρχων,[16] βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἓξ. οὗτοι δὲ οἱ ἐννέα ἄρχοντες μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς ἀρχῆς Ἀρεοπαγῖται γίνονται. Vat. Laur. gmq.

ἱεράσασθαι] οὐ παντὶ τῷ βουλομένῳ ἐξῆν ἱερᾶσθαι,[17] ἀλλὰ τῷ ἐκ γένους καταγομένῳ ἱερατικοῦ. οὕτω δὲ καὶ τὸ μηδὲ κηρυκευσάτω. Vat. Laur. gmq.

συνδικησάτω] ἀντὶ τοῦ μὴ γενέσθω ἐκ τοῦ μεγάλου δικαστηρίου, τῆς ἡλικίας, ὅτε[18] ὁ δῆμος δικάζει. Vat. Laur. gmq.

20. κηρυκευσάτω] ἄξιον ἀπορεῖν. τὸ γὰρ τῶν Κηρύκων γένος πρόσθεν ἦν[19] ἱερόν. καὶ οὕτω λέγονται κήρυκες περὶ τὰ μυστήρια τὰ τῶν θεῶν ὄντες. δεῖ δὲ λέγειν ὅτι τῷ ἐκ τοῦ γένους ἀπαγορεύει κηρυκεύειν, ἄν τι πάθῃ. Ἄλλως. κηρύκων ἐστὶν ἐν Ἀθήναις γένη[20] τέσσαρα, πρῶτον τὸ[21] τῶν πανάγνων τῶν ἐν τοῖς μυστηρίοις[22], οἵ εἰσιν ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ Πανδρόσου[23] τῆς Κέκροπος, δεύτερον τὸ τῶν περὶ τοὺς ἀγῶνας, τρίτον τὸ τῶν περὶ τὰς πομπάς, τέταρτον τὸ τῶν περὶ τὰς ἀγορὰς καὶ τὰ ὤνια. μὴ κηρυκευσάτω οὖν.

1) ἐγράφοντο gq. 2) τὰ φρούρια περὶ τ. ἀκρόπολιν gm. Sic etiam q (qui prima scholii vv. habet ὡσανεὶ — ἐπολέμουν) nisi quod πόλιν. τὰ ante φρούρια om. F. 3) τὸ add. Scheibius l. c. 4) οὐσίας καὶ F. 5) καθὸ ὥσπερ Fm, καθόπερ Scheibius l. c. 6) ἔξουσ. λοιπὸν F. 7) ἐπιτρόποις m. 8) καθώσπερ — κλήρου om. g. 9) γενόμενοι Fr. 10) ἐνταῦθα Laur. 11) ἐνεγράφοντο Laur. 12) verba ἀλλ' ἤδη — ἡταιρηκ., quae in codd. leguntur post ὑπόνοιαν, cum Sauppio huc transposuimus. om. F. 13) ἀσεβείας F. 14) καὶ ἡ ἀρχὴ στεφανηφόρος, quae vv. add. libri post στεφανηφορ., cum BS. delevimus. Videtur lemma fuisse. 15) ἐννέα om. g. 16) ἄρχοντες gm. 17) ἱεροῦσθαι q. 18) ὅτι Laur. 19) ἐστὶν Laur. 20) γένος g. 21) τὸ add. Saupp. 22) τῶν — μυστηρίοις add. Vat., om. ceteri codd. 23) Πανδρόσης m.

μὴ ἐπὶ κηρυκείαν ἀποστελλέσθω. νῦν οὐ[1] περὶ τῶν κατὰ γένος Κηρύκων λέγει, ἀλλ' ἐπὶ τῶν κατὰ πόλεμον πεμπομένων πρὸς τοὺς πολεμίους[2] μετὰ κηρυκείων[3] περὶ σπονδῶν καὶ εἰρήνης. ἐπέμποντο δὲ ἐκ πάντων Ἀθηναίων. μηδ' ἐπὶ τοιαύτην οὖν, φησί, διακονίαν πεμπέσθω ὁ[4] ἡταιρηκώς. Vat. Laur. gmq.

πρεσβεύσαντας κρινέτω] ἐπειδὴ ἀπέθετο μετὰ Δημοσθένους Τίμαρχος τὴν κατ' Αἰσχίνου τῆς[5] παραπρεσβείας γραφήν.[6] Vat. Laur. gmq.

συκοφαντείτω μισθωθεὶς] τοῦτο ἔξωθεν αὐτὸς πρὸς τὸν Τίμαρχον, ἤτοι ὡς αὐτὸς πρεσβεύσας καὶ συκοφαντηθείς, ἢ ὡς ἑτέρου τοῦτο παθόντος ὑπὸ Τιμάρχου. Ἄλλως. ἆρα οὖν τοῖς μὴ ἡταιρηκόσιν ὁ νόμος συκοφαντεῖν λέγει; οὔκ, ἀλλὰ τοῦτο λαμβάνει ἐκ τοῦ μείζονος ἀτόπου. εἰ γὰρ νόμιμόν σε οὐκ ἐᾷ πράττειν, πολλῷ μᾶλλον παράνομον. Vat. Laur. gm et partim q.

γραφὰς ἑταιρήσεως — ἐπέθηκεν] αὐτὸς[7] ὁ νομοθέτης δηλονότι. Vat. Laur. F.

22. ἀνέγνω] ὁ γραμματεὺς ἀνεγίγνωσκε. Laur.

23. τὸ καθάρσιον] ἐπεὶ ἔθος ἦν τοιοῦτο. εἰσήρχετό τις ὁ λεγόμενος περιστίαρχος, ὁ περικαθαίρων τὴν ἐκκλησίαν διὰ χοίρου ἐπεσφαγμένου καὶ ἄλλων τινῶν, καὶ τὰ καθάρσια λαβὼν ἔρριπτεν εἰς τὴν θάλατταν. ὃ καὶ ὁ ποιητὴς εἶπεν (Hom. Il. I, 314)·

οἱ δ' ἀπελυμήναντο[8] καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

εἶτα εἰσήρχετο ὁ κῆρυξ, ὃς θυμιατεύσας πρότερον καὶ αὐτὸς τὴν ἐκκλησίαν ὕστερον ἐβόα· "τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων Ἀθηναίων;" εἶτα εἰ μέν τις ἐβούλετο τούτων[9] λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουσε, δευτέρᾳ φωνῇ ἐβόα· "τίς ἀγορεύειν βούλεται τῶν πάντων Ἀθηναίων;" ἐκέχρητο δὲ ὁ περιστίαρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαθάρτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα τὰ[10] πολλάκις ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥστε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα καὶ ὥσπερ ἀποχωρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται. ὁ δὲ κῆρυξ διὰ θυμιαμάτων ἐπικαλῶν τὰ θεῖα εἶλκε[11] τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρουσίας ἀγαθόν τι ἔχωσιν οἱ Ἀθηναῖοι βουλεύεσθαι. B. οἷον χοῖρον ἐσφαγμένον, δι' οὗ ἐκάθηραν[12] τὴν ἐκκλησίαν. F. ὁ λεγόμενος περιστίαρχος ἱερεῖον λαβὼν τούτῳ καθαίρει τὴν ἐκκλησίαν. Τοῦτο λέγεται κάθαρμα καὶ καθάρσιον. Ἀριστοφάνης Ἀχαρνεῦσι (44)·

Πάριθ', ὡς ἂν[13] ἐντὸς ἦτε τοῦ καθάρματος.

ἔθος δὲ ἦν καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα μικροῖς χοιριδίοις, ἃ καθάρσια ἐκάλουν. καὶ προσηγορεύοντο οἱ περικαθαίροντες περιστίαρχοι. τὸ δὲ καθάρσιον ἦν χοῖρος ἐσφαγμένος, δι' οὗ ἐκάθηραν τὴν ἐκκλησίαν. Vat. Laur. gmq.

1) οὖν τῶν Laur. 2) πόλεμον sine articulo gmq. 3) κηρυκειῶν gm. 4) ὁ add. BS. 5) τῆς habent Laur. g. 6) γράφειν Laur. 7) αὐτὸς om. Laur. et Vat., qui haec habet in rubro inter lineas. 8) ἀπελυμάναντο B. 9) τούτων Rsk., τοῦτο B. 10) τὰ om. B. 11) sic lacunam apograph. explevit Saupp., συνῆγε vel συννῆψε coni. Reisk. 12) καθῆραν F. 13) ἂν εἰ Vat.

προέδρους] πρόεδροί εἰσιν οἱ ἐν τῇ ἐκκλησίᾳ προκαθήμενοι. Vat. Laur. gmq.

ἱερῶν — κηρύκων] ὅτι τὰ ἱερὰ πρῶτον εἰσεκάλουν, οὐκοῦν πρῶτον[1] περὶ ἱερῶν καὶ περὶ[2] κηρύκων· καὶ γὰρ οὗτοι ἱεροί· εἶτα πρέσβεων καὶ τῶν ἄλλων ὁσίων. ὅσια δέ ἐστι τὰ μὴ ἱερά. ὥστε πρῶτον τὰ ἱερά, δεύτερον δημόσια, τρίτον ἰδιωτικά. Vat. Laur. gmq.

ὁσίων] ὅσια καλεῖ τὰ[3] δημόσια. F. Laur.

πάντες] οὐχ ὅτι πάντες ἔλεγον, ἀλλ'[4] οἱ βουλόμενοι. Vat. Laur. gmq.

24. τόλμα] τόλμα φησὶ τὸ θρασέως τι ἢ τολμηρῶς[5] εἰπεῖν.[6] Vat. Laur. Fgmq. ἐπειδὴ δὲ οἱ πρεσβύτεροι ὡς ἔμπειροι πραγμάτων εὐλαβοῦντο συμβουλεύειν, μὴ ἀποτυχίας γενομένης κριθῶσι, διὰ τοῦτο αὐτοὺς[7] ὁ νόμος καλεῖ, ἵνα ἐξ ἀνάγκης ἀναστάντες δημηγορήσωσιν.[8] ἀλλὰ καὶ τους ἄλλους καλεῖ,[9] φησίν. ἐκείνους μὲν οὖν[10] ἀορίστως. τούτους δὲ ὡρισμένως. Vat. Laur. gmq.

τοὺς νεωτέρους] εἰ γὰρ ἡ πόλις αὐτοὺς τιμῶσα πρώτους καλεῖ, καὶ οἱ νέοι αὐτοὺς τιμήσουσιν. Vat. Laur. gmq.

ἐὰν διαγενώμεθα] ἐὰν διασωθῶμεν μέχρι γήρως, ἐὰν ἀφικώμεθα εἰς τὸ γῆρας. Vat. Laur. gmq.

25. τὴν ἀνόμοιον] κατὰ τὸ γένος τῆς κακίας καὶ τῆς ἀρετῆς, οὐ γὰρ δήπου τῆς δικαιοσύνης καὶ τῆς ἑταιρήσεως. Vat. Laur. gmq.

ὅτι πάντες] τὸ πάντες νῦν ἐπὶ τοῦ οἱ πολλοί. Vat. Laur. gmq.

Σόλωνος εἰκόνα] ἀνετέθη ἡ Σόλωνος εἰκὼν οὐκ ἐπὶ τῷ ἐν κόσμῳ λέγειν, ὥς φησιν Αἰσχίνης, ἀλλ' ἐπειδὴ οὕτω τὰ ἐλεγεῖα ἀπήγγειλε. Δημοσθένης μέντοι (19, §. 251. p. 420) νεωστί φησι πρὸ πεντήκοντα ἐτῶν ἀνατεθεῖσθαι ταύτην τὴν εἰκόνα. λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι. Vat. Laur. Bgmq.

27. οὐκ ἀπελαύνει] ταῦτα προσαγωγά ἐστι[11] πρὸς τοὺς δικαστὰς ἰδιώτας ὄντας. Vat. Laur. gmq.

τέχνην] τοῖς Ἀθηναίοις ἐνομίζετο τέχνην τινὰ ἐπιτηδεύειν. οὐχ οὕτως τοῖς Λακεδαιμονίοις· τούτοις[12] γὰρ αἰσχρὸν ἦν καὶ δουλοπρεπές. B.

πολλάκις ἐπερωτᾷ] διὰ τοῦ[13] καλεῖν τὴν ἐξουσίαν δηλῶν. Vat. Laur. gmq.

28. δοκιμασία] ἐπιγραφὴ τοῦ νόμου τοῦτο ἦν. g.

29. τὰ ὅπλα μὴ τίθεσαι] τὸ[14] τίθεσθαι λέγεται[15] καὶ ἐπὶ τοῦ ἀποτίθεσθαι τὰ ὅπλα[16] καὶ ἐπὶ τοῦ περιτίθεσθαι[17] καὶ ἐνδύεσθαι, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις ἐν τῇ β'[18] (c. 2). ἐνταῦθα δὲ[19] ἐπὶ[20] τοῦ περιτίθεσθαι[21] λέγει. Vat. Laur. Fgmq.

1) πρῶτον Saupp. pro καὶ cum Laur. 2) περὶ om. g. 3) καλεῖται Laur. 4) ἀλλὰ (sic) τοι Vat. 5) τολμηρὸν F. 6) εἰπεῖν Vat., ποιεῖν cett. codd. 7) αὐτοὺς Scheib. in Jahn. Annal. 12, 35 p. 143, αὐτὸς libri. 8) δημηγορήσωμεν Vat. 9) καλεῖ om. Laur. 10) οὖν om g. 11) εἰσι m. 12) τούτοις coni. Reisk., τοῦτο B. 13) τὸ Laur. 14) τὸ om. Laur. g(m?). 15) λέγει g. 16) τὰ ὅπλα om. Vat. F. 17) καὶ — περιτίθεσθαι om. Vat. 18) τῷ δευτέρῳ mq. 19) οὖν Laur., ὡς F. 20) περὶ codd. 21) περιτίθεσθαι coni. Fr., ἐπιτίθεσθαι F, ἀποτί

εἰ πεπορνευμένος] ἐστὶν ὁ πολλάκις ἁμαρτὼν εἰς τὸ ἑαυτοῦ σῶμα,[1] ἡταιρηκὼς δὲ ὁ προσάπαξ. Vat. Laur. gmq.

30. οἰκήσαντα] ἀντὶ τοῦ διοικήσαντα, ὡς[2] καὶ παρ' Ἰσοκράτει (2, §. 19, p. 18) "οἴκει τὸν πατρῷον οἶκον" ἀντὶ τοῦ διοίκει. Vat. Laur. BFgmq.

31. κακῶς]³ ἰδιωτικῶς. F. τὸ κακῶς οὐ πρὸς τὸν τρόπον κεῖται· τοῦτο γὰρ ἄτοπον· ἀλλὰ πρὸς τὸν λόγον, πρὸς τὴν φράσιν, πρὸς τὴν συνθήκην τοῦ λόγου. ἁπλῶς δὲ ἀντὶ τοῦ μυνοτρόπως ἢ ἰδιωτικῶς καὶ οὐ κατὰ τέχνην ῥητορικήν. καὶ Θουκυδίδης· "εἰ μὲν ἁπλῇ παρασκευῇ πορευσόμεθα", ἤγουν μονοτρόπῳ καὶ μιᾷ. g.

καταγελάστως] ἀσελγῶς. B.

32. ἐπαγγειλάτω] πάλιν περιφραστικῶς λέγει, τὴν ἐπαγγελίαν κατηγορείτω. ἐπαγγελία δέ ἐστιν ὄνομα δίκης[4] κατὰ τῶν ἡταιρηκότων. Vat. Laur. BFgmq.

33. ὑμεῖς νόμον] ἡ σύνταξις·[5] ὑμεῖς δὲ προσέθεσθε καινὸν νόμον, καθ ἑκάστην ἐκκλησίαν ἀποκληροῦν. τὰ δὲ ἄλλα διὰ μέσου. Vat. Laur. gmq.

προσέθεσθε] ἤγουν[6] προσενομοθετήσατε. Vat. Laur. Fgmq,

μετὰ — παγκράτιον] ψεύδεται· οὐ γὰρ διὰ Τίμαρχον. παλαιότερος γὰρ ἦν. Vat. Laur. gmq.

34. ἀνεκτοὶ] οὓς[7] δύναταί τις φέρειν καὶ ἀνέχεσθαι. τιμωρουμένους γὰρ αὐτοὺς καὶ μηκέτι ἐνοχλοῦντας τῷ βήματι δυνάμεθα φέρειν. Vat. Laur. gmq.

γεγραμμένοι εἰσὶ] τοῦτ' ἔστιν ἐγράψαντο. m.

37. ὥσπερ ὑπεθέμην] οὕτω γὰρ ἐπηγγείλατο, πρῶτον περὶ τῶν νόμων ἐρεῖν, εἶτα ἐξετάσαι τοὺς τρόπους τοῦ Τιμάρχου. Vat. Laur. gmq.

δέομαι δὲ ὑμῶν] τὸ σχῆμα προδιόρθωσις. εἰώθασι δὲ χρῆσθαι αὐτῷ,[8] ὅταν μέλλωσιν ἀναγγέλλειν[9] τι, πρὸς ὃ δυσκόλως διάκεινται οἱ ἀκούοντες. τὸ δ' αὐτὸ καὶ μετὰ τὰ πράγματα λεχθὲν[10] ἐπιδιόρθωσις καλεῖται. πληρώσας τὸ νόμιμον[11] ζήτημα, τῷ[12] τῆς παραγραφῆς εἰσβάλλει εἰς τὸ στοχαστικόν,[13] εἰ ἡταίρησεν.[14] Vat. Laur. gmq.

εἰπεῖν ὡς αὐτὸς βούλεται] ἀντὶ τοῦ σωφρόνως. Vat. F.

38. εὐλαβήσομαι] φυλάξομαι. Vat. Laur.

39. τῶν τριάκοντα] οἱ λ' τύραννοι διὰ Λακεδαιμονίων καταστάθεντες καὶ τὴν πάτριον πολιτείαν τῶν Ἀθηναίων καταλύσαντες ἐλυμήναντο τοὺς[15] Δράκοντος καὶ Σόλωνος νόμους. ἀπολαβὼν οὖν ὁ δῆμος τὴν ἐλευθερίαν εἵλετο πολίτας κ' τοὺς ζητήσοντας καὶ ἀναγράψοντας τοὺς διεφθαρμένους τῶν νόμων. καὶ ἐψηφίσαντο καινοὺς νόμους[16] εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων ἐπ'[17] ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς τριάκοντα. πολλὰ μέντοι καὶ δεινὰ ἔπραξαν

θεσθαι cett. 1) τὸ σῶμα ἑαυτοῦ Laur. 2) ὡς add. Laur. 3) καλῶς F. 4) καταδίκης Laur. 5) ἡ σύνταξις om. Laur. 6) ἤγουν om. Fg. Post hoc scholion in F sequitur: ἀντὶ τοῦ τάξητε, post proximum scholion est in q: ἤγουν τάξησθε. Quod Rsk. corr. in ἤγουν ἐτάξασθε. 7) οὐδὲ Laur. 8) αὐτῇ g, αὐτῇ χρῆσθαι Laur. 9) ἀνελεῖν q. 10) λεχθέντα Laur. 11) νομικὸν Laur. 12) τὸ gmq. 13) στοχειακὸν g, στοχιακὸν m. 14) ἡταίρηκεν q. 15) καὶ τοὺς Laur. 16) νόμον Laur., καὶ νόμους g. 17) ὑπὸ Laur. g.

οἱ λ΄. τόν τε γὰρ δῆμον ἐξέβαλον καὶ τῶν ἐπιφανῶν τοὺς μὲν ἐβασάνισαν, τοὺς δὲ ἐφυγάδευσαν[1] ἀφελόμενοι τὴν οὐσίαν αὐτῶν, τοὺς[2] δὲ ἀπέκτειναν ἀκρίτους,[3] ὡς μὲν ἔνιοί φασιν, φ΄ καὶ α΄,[4] ὡς δὲ Λυσίας ἐν τῷ κατὰ[5] ... δοκιμασίας ἐπιλόγῳ, δισχιλίους φ΄. γεγόνασι μέντοι πλείους αἱρέσει τῶν πεντήκοντα. οἵ τε γὰρ ἐν ἄστει δικασταὶ τριάκοντα ἦσαν καὶ ἐκ τῶν πλουσίων τριάκοντα ἠρέθησαν ὀβολοστάται, ὅ ἐστι δανεισταὶ ἐπὶ ὀβολῷ τὴν μνᾶν δανείζοντες.[6] δεῖγμα δὲ τῆς τῶν λ΄ πολιτείας καὶ τόδε ἐστίν. Κριτίου γὰρ ἑνὸς τῶν λ΄ ἀποθανόντος ἐπέστησαν τῷ μνήματι Ὀλιγαρχίαν δᾷδα κατέχουσαν καὶ ὑφάπτουσαν Δημοκρατίαν καὶ[7] ἐπέγραψαν[8] τάδε·

μνῆμα τόδ᾽ ἔστ᾽ ἀνδρῶν ἀγαθῶν, οὓς τὸν κατάρατον
δῆμον Ἀθηναίων ὀλίγον χρόνον ὕβριος[9] ἔσχον.

οὕτω μέντοι ἐμίσησεν ὁ δῆμος τοὺς λ΄ ὥστε καὶ πρὸς τὴν ὀνομασίαν τοῦ ἀριθμοῦ δυσχεραίνειν. ἄρξαντος οὖν Εὐκλείδου μετὰ τὴν τῶν λ΄[10] κατάλυσιν τὰ πρὸς[11] αὐτῶν πραχθέντα ἄκυρα εἶναι[12] ἐψηφίσαντο οἱ Ἀθηναῖοι. — Ἄλλως.[12] οἱ λ΄ τύραννοι μετὰ τὸν Πελοποννησιακὸν πόλεμον γενόμενοι[13] Ἀθήνησιν ἐπειδὴ καθηρέθησαν, Θρασυβούλου τοῦ ἀπὸ Φυλῆς ἀγωνισαμένου. ψήφισμα ἐτέθη ἀμνησικακεῖν τῶν ὑπαρξάντων ἐπ᾽ αὐτῶν. ὥσπερ οὖν τὰ ἐπὶ τούτων ἀνεξέτασται[14] ἐγένετο,[15] οὕτω καὶ τὰ ἔτι[16] παιδὶ πραχθέντα Τιμάρχῳ παρίημι, φησίν. Vat. Laur. gm et partim Bq.

πρὸ Εὐκλείδου] Εὔμηλος[17] ὁ Περιπατητικὸς ἐν τῷ τρίτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας φησὶ Νικομένη[18] τινὰ ψήφισμα θέσθαι μηδένα τῶν μετ᾽ Εὐκλείδην ἄρχοντα μετέχειν τῆς πόλεως, ἂν μὴ ἄμφω τοὺς γονέας ἀστοὺς[19] ἐπιδείξηται, τοὺς δὲ πρὸ Εὐκλείδου ἀνεξετάστως ἀφεῖσθαι. Vat. Laur. gm.

ἢ εἴ τις ἄλλη] ὡς εἴ τις ἔγραψε τοὺς ἀπὸ τοῦδε τοῦ ἄρχοντος ἐν τῷ δημοσίῳ ἄρξαντας εἰσπράττεσθαι. Vat. gm.

προθεσμία] καταχρηστικῶς ἀντὶ τοῦ χρόνος[20]. Fq.

40. οὗτος γὰρ] ἐντεῦθεν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. q.

ἐχρήσαντο τῷ σώματι] προσυπακουστέον τὸ ἅπαξ. Vat. Laur. F.

41. δαιμονίως] ἀντὶ τοῦ μεγάλως. Vat.

κιθαρῳδοὺς ἢ κιθαριστάς] κιθαριστὴς ὁ τῇ κιθάρᾳ μόνῃ διὰ χειρῶν κεχρημένος, κιθαρῳδὸς δὲ λέγεται ὁ μετὰ τῆς κιθάρας καὶ τῇ ᾠδῇ χρώμενος. F. διαφέρει κιθαρῳδός καὶ κιθαριστής τῷ τὸν μὲν κιθαριστὴν κεχρῆσθαι τῇ κιθάρᾳ μόνον, τὸν δὲ κιθαρῳδὸν μετὰ τῶν χειρῶν καὶ[21] τῇ φωνῇ· διὸ καὶ κιθαρῳδὸς λέγεται. Vat. Laur.

1) ἐξέβαλον g. 2) καὶ Laur. g. 3) ἀκρίτως g. 4) α΄ Saupp., μ΄ libri. 5) nomen propr. om. codd. Εὐάνδρου? Saupp. 6) γεγόνασι — δανείζοντες] „Haec omnia valde corrupta esse patet. Videtur grammaticus varia collegia triginta virorum discernere voluisse. cf. Photius et Hesych. s. v. τριάκοντα.“ BS. 7) καὶ om. Laur. 8) ἐπέγραψε Laur. 9) ὕβριν Vat. 10) τῶν λ΄ om. Laur. 11) πρὸ gmq. 12) ἄλλως habent Vat. Laur. 13) πόλ. γενόμενοι Laur., γενόμενοι πόλ. cett. 14) καὶ ἀνέγκλητα addit B. 15) ἐγένετο om. g. Laur. 16) ἔτι Scheibius l. l. p. 144, ἐν libri. 17) εὐκλείδης mg. m. 18) νι.... Laur., νικωμένη cett. cf. Meinek. Com. vol. I p. 8 et 449. 19) coni. Bekker., αὐτοῦ codd. 20) ἤγουν χρόνος καταχρηστ. q. 21) τῇ ᾠδῇ καὶ g.

gmq. παρὰ τὸ κεχρῆσθαι τῇ κιθάρᾳ σὺν[1] τῇ ᾠδῇ. κιθαρῳδὸς ὁ καὶ ᾄδων καλῶς, κιθαριστὴς δὲ ὁ χωρὶς ᾠδῆς. Vat. Laur. gm.

ἀνέστησεν] ὡς νῦν λέγομεν ἀνεκάθισεν. καὶ[2] Δημοσθένης (18, §. 129, p. 270, 15) ἀνέστησεν[3] αὐτὴν[4] ἀπὸ τῆς καλῆς ἐργασίας. Vat. Laur. Fgmq.

βδελυρὸν] ἀκάθαρτον, μισητόν. Vat. Laur.

42. οὐδενὸς — μετρίων] ἵνα μή τις οἰήσεται[5] δι' ἔνδειαν αὐτὸν πεπορνεῦσθαι, οπερ συγγνώμης ην. Vat. Laur. gmq.

ὡραῖος ὤν] πάντα μετὰ αὐξήσεως ὁ ῥήτωρ. Laur.

43. ἦν μὲν Δ.] ἄλλο[6] ἀπ' ἀρχῆς μέχρι[7] τέλους. Vat. Laur. q.

Διονυσίων] Διονύσια ἑορτὴ Ἀθήνησιν[8] Διονύσῳ[9] ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος[10], τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος, τὰ δ' ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι. Vat. Laur. gmq.

ὁ τοιοῦτον ἀνειληφὼς] πάλιν ὁ τοῦτον ἀνακαθίσας. F.

44. ᾗ δὴ] ἀντὶ τοῦ δι' ἃ[11] δή. Fq.

45. ἐπειδὴ — ἐσμὲν] ἔνθα χρεία ἐστὶν ἀποδείξεως διὰ μαρτυριῶν[12]. Vat. Laur. Fgmq.

γέγραφα] γράφουσι μαρτυρίας οἱ βουλόμενοι μάρτυρας παρασχέσθαι προκλητικὰς αὐτῶν, οἷον "τὸν δεῖνα τόδε πραχθὲν ἀκριβῶς γινώσκοντα ἀξιῶ μαρτυρεῖν τοῖς δικασταῖς". Vat. Laur. gmq. ἂν μὲν οὖν μὴ[13] ὑπακούσῃ τῇ μαρτυρίᾳ, ἀλλὰ θελήσῃ[14] ἔκκλητος[15] γενέσθαι, ὀφείλει δραχμὰς χιλίας· ἐὰν δὲ ὑπακούσῃ, ἤτοι ἀληθῆ φησιν εἶναι, ἢ, εἴπερ ἀμφίλεκτα[16], ἐξόμνυται οὐκ εἰδέναι τὰ ἀξιούμενα. Vat. Laur. gm. et partim q.

αυτὸ μὲν γὰρ τοὔνομα] οὐ γὰρ ἀπήτει αὐτὸν μαρτυρεῖν εἰ παρ'[17] αὐτῷ ἡταίρηκεν, ἀλλ' εἰ μετ' αὐτοῦ διέτριβεν. καὶ τί τοῦτο ἤμελλε[18] συνοίσειν περὶ τὴν ἀπόδειξιν; λέγομεν οὖν ὅτι ὑποπτευομένου τοῦ Μισγόλα ἤρκει τοῦτο εἰπεῖν, ὅτι μετ' ἐμοῦ διέτριβεν. Vat. Laur. gmq.

οὐκ ἐγγράφω] ὅτι ἔγραφέ τις αὐτὸ τὸ πρᾶγμα, λέγων ὅτι μαρτυρεῖ μοι ὅδε.[19] καὶ ἐδείκνυεν αὐτὸ[20] τῷ μάρτυρι λέγων ὅτι μαρτυρεῖς τόδε[21]. εἶτα εἰ μὲν ἔλεγεν ὅτι ναί, ἔγραφεν αὐτὸς ὁ μάρτυς ὅτι ναὶ μαρτυρῶ· εἰ δὲ μή, οὐδὲν ἔγραφεν. Vat. Laur. Fgm.

46. ἐκκλητευθῆναι] κλητεύεσθαι δὲ τὸ καλεῖσθαι εἰς μαρτυρίαν. q. ὑπὸ τοῦ κήρυκος κληθῆναι. Vat. Laur. Fgm. τῶν ἐγκαταλιπόντων τὴν μαρτυρίαν[22] τὰ ὀνόματα ἐν τῷ δήμῳ ἐκηρύσσετο[23], καὶ

1) τῇ κιθ. σὺν] σὺν τῇ κιθάρᾳ καὶ gm. 2) ὁ Laur. 3) ἀνέστησεν ἂν Vat. Laur. gmq. 4) αὐτὸν Laur. gmq. 5) sic Vat. Laur. cum Reisk., οἰήσηται ceteri. 6) ἄλλο Rsk., ἀλλὰ Laur. q., ἀλλ' Vat. 7) ἄχρι Laur. q. 8) Ἀθ. ἢ Hesych. s. v. Διονύσια. 9) διονυσίων m, διονυσίῳ q, διονύσῳ om. Laur. 10) Ποσιδεῶνος Laur. 11) διὸ q. 12) ἀποδείξ. διὰ μαρτυρ. Rsk., μαρτυριῶν ἀποδείξεως Laur. mq, μαρτυρεῖ ἀπ. Vat. 13) μὴ οὖν pro μὲν οὖν μὴ dant gm. ὑπακ. μου pergit m. 14) θέλῃ m. 15) ἐκτὸς gm. vid. schol. ad §. 46. 16) Ita coni. Saupp., ἀναμφιλέκτως codd. 17) εἴπερ παρ' m. 18) ἔμελλε q. 19) ὅσδε F. 20) αὐτῷ F Laur. 21) sic Vat. Laur., μαρτυρεῖς τῷδε F, μαρτυρεῖ μοι τόδε gm. 22) μαρτύρων pro τὴν μαρτυρίαν dant gm. 23) κηρύσσεται Fm (cf. Bekk. anecdd. p. 188, 28).

τοῦτο ἐκαλεῖτο ἐκκλητευθῆναι. Vat. Laur. Fgm. Ἄλλως.[1] εἰς κρίσιν ἀχθῆναι ἢ ἐπάναγκες[2] μαρτυρῆσαι. κλήτορες δὲ οἱ μάρτυρες. τὸ οὖν ἐκκλητευθῆναί ἐστιν ἔξω τοῦ μαρτυρῆσαι, καὶ ἔκκλητός ὁ θελήσας ὀφλεῖν ἐπὶ τῷ μὴ μαρτυρῆσαι[3]. Vat. Laur. gm.

χιλίας] ἐὰν μὴ ὑπακούσῃ[4] πρὸς τὴν μαρτυρίαν, ὡς τούτου ἐπιτιμίου ὡρισμένου τοῖς μὴ ὑπακούσασιν. Vat. Laur. gm.

47. ἐξόμνυσθαι] μεθ' ὅρκου ἀρνεῖσθαι. B.

ἑταίροις] κιναίδοις.[5] Laur. F.

εἰς ἑαυτὸν ἐξαμαρτήσεται] διὰ τὴν ἐπιορκίαν δηλονότι.[6] Vat. Laur. gm.

οὐδὲν αὐτῷ ἔσται πλέον] τουτέστιν οὐδὲν ὀνήσεται τῆς ἀρνήσεως ἐνόρκου καὶ τῆς ἐπιορκίας. οὐδὲν αὐτὸν ὠφελήσει ἡ ἐξόμνυσις. B.

πρᾶγμα] τὸ ἕτέραν μαρτυρίαν ἐπιζητεῖν. Vat. Laur. gm.

τοὺς ἑμαυτοῦ φίλους] ἐπειδὴ αἱ παρὰ τῶν φίλων μαρτυρίαι οὐκ εἰσὶν ἀξιόπιστοι· πολλάκις γὰρ ὑπ' εὐνοίας κινούμενοι, ἵνα τοῖς φίλοις βοηθήσωσι[7], καὶ ψευδομαρτυροῦσιν. gm.

49. βούλομαι προειπεῖν] τοῦ[8] λυποῦντος ἀναίρεσις. λυπεῖ γὰρ Αἰσχίνην τὸ μὴ φαίνεσθαι πρεσβύτερον τὸν[9] Μισγόλαν. φοβεῖται γὰρ μὴ διὰ τοῦτο δόξῃ ψευδὴς εἶναι ἡ φήμη. Vat. Laur. gm.

προφερεῖς] οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. B. προφερὴς ἐστιν ὁ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει δοκῶν πρεσβύτερος. ἀλλὰ καὶ τῶν ἀμώμων, ὦ Αἰσχίνη, ἔσθ' ὅτε ὁ μῶμος ἅπτεται. q. προπόλιοι,[10] προβεβηκότες ἐν τῷ εἴδει.[11] Vat. Laur. F et pr. m. προφερὴς ὁ νέος μὲν ὤν, πρεσβύτερος δὲ φαινόμενος. τὸ δ' ἐναντίον σκληφρός, ὃς πρεσβύτερος ὢν νέος δοκεῖ. οὕτω καὶ Πλάτων (Euthyd. p. 271 B) ταῖς λέξεσιν ἐχρήσατο. "ἦν γὰρ" φησὶν[12] "ὁ μὲν προφερής, ὁ δὲ σκληφρός" περὶ τινῶν δύο διηγούμενος[13]. δῆλον δὲ καὶ ὡς οὐ καλῶς τῷ προφερεῖς[14] ὁ Αἰσχίνης ἐχρήσατο, προσθεὶς τῷ[15] νέοι ὄντες καὶ τὸ πρεσβύτεροι· ἤρκει γὰρ μόνον τὸ προφερεῖς πάντα δηλῶσαι. gm.

51. οὐκ ἂν ὤκνησα αὐτὸν] οὐκ ἂν ἠὐλαβήθην αὐτόν. Vat. gm.

παρρησιάζεται] σαφῶς λέγει. Vat. Laur. Fgm.

αὐτῷ — τούτῳ] τῷ ἡταιρηκέναι πρὸς ἕνα.[16] Vat. Laur. gm.

52. τοὺς ἀγρίους] ἀντὶ τοῦ μὴ ὀνομάζων τοὺς προσάπαξ αὐτῷ χρησαμένους. ἀγρίους δέ φησι τοὺς σφόδρα κιναιδοποιούς.[17] Vat. Laur. Fgm et partim q. τοὺς μὴ ἐν τῷ ἄστει, ἀλλ' ἐν ἀγρῷ διατρίβοντας. Vat. Laur. gm. τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ καὶ χαλεποὺς παιδεραστάς. ἐπονομάζονται δὲ καὶ Τρίβαλλοι καὶ Κένταυροι.[18] B.

1) Ἄ. add. Vat. Laur. 2) ἐπ' ἀνάγκαις m. cf. Harpocr. s. v. ἐκκλητεύειν. 3) μαρτυρήσαντι m, μαρτυρῆσαί τι coni. Frank., καὶ ἔκκλ. — μαρτυρῆσαι om. Vat. 4) ἐπακούσῃ m. 5) κινδύνοις Laur. 6) δηλοῖ m. 7) μαρτυρήσωσι g. 8) τοῦ add. Frank. om. codd. 9) τὸν om. m. 10) προπόλιοι om. F, habet pr. m post εἴδει. 11) ἰδεῖν F. 12) φησὶν om. g. 13) περὶ τινῶν δύο διηγούμενος] haec vv. a manu rec. habet m in quinque vel sex literarum litura. 14) προφερὴς g. 15) τὸ rec. m. 16) Laur. coniuncta habet in rubro haec: σαφ. λέγ. τὸ ἡταιρηκ. πρ. ἕ. 17) ἀγρίους — κιν. habet q. 18) K. Reisk. coni. pro Κένταρχοι.

Κηδωνίδην] οὗτοι παιδερασταί, ἐπωνυμίας ἔχοντες ἄγριοι καὶ *Τριβαλλοὶ*[1] καὶ *Κένταυροι*.[2] Vat. Laur. gmq.

μόνον ἡταιρηκὼς] διαφορὰν εἶπεν ἡταιρηκότος πρὸς πόρνον. τὸν μὲν οὖν ὑφ' ἑνὸς καταισχυνθέντα ἡταιρηκέναι φησί, τὸν δὲ ὑπὸ πολλῶν πεπορνεῦσθαι. Vat. Laur. gmq.

εἰκῇ] εὐνοίᾳ. Laur.

53. *τῇ τε δαπάνῃ ἀπείπε*] ἐπειδὴ βούλεται αὐτὸν καὶ τὰ πατρῷα κατεδηδοκότα ἐπιδεῖξαι, θαυμαστῶς πάνυ τοῦτο προοικονομεῖ λέγων αὐτὸν πολυτελῆ εἶναι. Vat. Laur. gm.

μετὰ τοῦτον] ἄλλο[3] ἀπ' ἀρχῆς μέχρι[4] τέλους. Vat. Laur. q.

Σάμῳ] εἰς *Σάμον* κληρούχους ἔπεμψαν Ἀθηναῖοι ἐπ' ἄρχοντος Ἀθήνησι Νικοφήμου. Vat. Laur. Bgmq.

ὡς γὰρ ἀπηλλάγη] ἄλλο[5] ἀπ' ἀρχῆς μέχρι τέλους. Vat.

κυβείῳ] κυβεῖον λέγεται ὁ τόπος[6] ἔνθα συνέρχονται οἱ κυβεύοντες, ὃ νῦν καλοῦσί τινες ταβλιστήριον[7]. Vat. Laur. Fgmq.

τηλία] ἡ τηλία σανὶς ἡ κυβευτική. ἦν καὶ σανίς, ἐν ᾗ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον. B. *τηλία*[8] σανίδιόν τι περιπεφραγμένον πάντοθεν,[9] εἰς ὃ ἐνέβαλλον η ἀλεκτρυόνας ἢ ὄρτυγας μάχεσθαι καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι. Vat. Laur. Fgmq. *ἰδίως δὲ εἶπεν κυβεῖον· οὐ γὰρ οὕτως ἐκάλουν, ἀλλὰ σκιραφεῖον.* — *ἢ τηλία ἐστὶν ἐφ' ἧς τὰ ἄλευρα ἐκάθαιρον. ἐχρῶντο δ' αὐτῇ*[10] οἱ κυβεύοντες καὶ πρὸς τὸ βάλλειν τοὺς κύβους, καὶ πρὸς τὸ συμβάλλειν[11] τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας. Vat. Laur. gmq. *ἢ σήλιόν*[12] *ἐστιν ἡ τηλία, ἐφ' οὗ μάττεται τὰ ἄλευρα.* Vat. Laur. gm.

55. *ὑπὸ δὲ*] ἄλλο ἀπ' ἀρχῆς μέχρι[13] τέλους. Vat. q.

περὶ οὗ πάλαι] οὐχ ἁπλῶς διαβάλλει τοῦτον τὸν Ἡγήσανδρον ὁ Αἰσχίνης,[14] ἀλλ' ἐπειδὴ ἀδελφός ἐστιν Ἡγησίππου τοῦ μισοφιλίππου. Vat. Laur. Fgmq.

56. *Τιμομάχῳ*] τοῦ *Τιμομάχου* τούτου τοῦ στρατηγοῦ Ἀθηναῖοι[15] θάνατον κατέγνωσαν καὶ ἀνῃρέθη. Vat. Laur. gmq.

ἀπολελαυκὼς] πολλὰ ἀφῃρημένος[16] αὐτοῦ διὰ τὴν ἐκείνου δειλότητα[17] καὶ μωρίαν.[18] Vat. Laur. gm.

εὐηθείας] διότι λέγων κεχορηγηκέναι αὐτῷ τῷ στρατηγῷ πολλά, ὀλίγα δὲ δοὺς τὰ πολλὰ[19] ἐκέρδαινεν καὶ ἐχλεύαζεν αὐτὸν ὡς μωρόν. Vat. Laur. Fgm.

τῆς συμφορᾶς] αἰτίαν γὰρ ἔσχεν ὡς προδοὺς[20] *Κότυϊ τὴν Χερρόνησον*. Vat. Laur. Fgm. *κατεγνώσθη δὲ θανάτου*. οὕτως[21] ὁ Ἀπολλώνιος. Vat. Laur. gm.

1) *τριβαλοὶ* m. 2) *K.* Reisk. supra coni. pro *Κένταρχοι*. 3) *ἀλλὰ* q. 4) *ἄχρι* q. 5) *ἄλλα* Vat. 6) *λέγ. ὁ τ.*] *λέγει τ. τόπον* F. 7) *ταυληστήριον* q, *ταυλιστήριον* Vat., *ταβληστήριον* g. 8) *τηλία δὲ* ad schol. s. v. *κυβείῳ* relata habet Laur., *τηλίαν δὲ* F. 9) *πανταχόθεν* F. 10) *αὐτοὶ* m, *αὐτῷ* q. 11) *συμβάλλ.* Saupp. pro *βάλλειν*. 12) *σήνιον* Vat. Laur., *σκύτιον* g. 13) *ἄχρι* q. 14) *τὸν Η. ὁ Αἰσχ.*] *ὁ Αἰσχ. τ. Ἡγήσ.* Laur. 15) *Ἀθηναῖοι* om. Laur. 16) *ὑφῃρημ.* Vat. g. 17) *δεινότητα* codd. 18) *τιμωρίαν* gm, *καὶ μωρ.* om. Laur., in *δειλότητα καὶ μωρίαν* haec corr. Frank. 19) *ὀλίγα — πολλὰ* om. Laur. 20) *προδιδοὺς* m. 21) *δὲ — οὕτως* Sauppius pro *γὰρ θανάτου οὗτος*.

57. *ἀφθονίᾳ*] *ἤγουν τῇ εὐπορίᾳ τοῦ ἀργυρίου.* Vat.

δεινὴ ἡ ἀκακία] *μεγάλη.* F. *ἀντὶ τοῦ φαύλη. ἀκακία*[1] *ἁπλότης. εὐπιστία εὐχέρεια εἰς τὸ πείθεσθαι.* Vat. Laur. gmq.

αὐτῶν τούτων] *ἢ*[2] *τῶν μισθωσαμένων ἢ ἀντὶ τοῦ διὰ ταῦτα.* Vat. Laur. gm.

58. *ὅτι — ἠνώχλει*] *ἀντὶ τοῦ ἐπειδὴ δὲ*[3] *αὐτοῖς*[4] *ἠνώχλει.*[5] Vat. Laur. Fgmq.

59. *ἀστραγάλους — διασείστους*] *εἶδος ἀστραγάλων οὕτως ὑπὸ τῶν κυβευτῶν ὀνομαζομένων.* Vat. Laur. gmq. *πολλάκις τινὲς κώδωνας ἀργυροῦς ἢ χαλκοῦς ἐξῆπτον*[6] *ἔνδον*[7] *αὐτῶν, ἵνα ἀφιέμενοι ἦχόν τινα ἀποτελῶσι καὶ τέρψιν ἐν τῇ παιδιᾷ. οὗτοι οὖν ἐλέγοντο διάσειστοι*[8]. *φιμοὺς δὲ ἀλλαχοῦ μὲν σημαίνει εἰς οὓς ἐμβάλλονται αἱ ψῆφοι, ἐνταῦθα δὲ ἃ νῦν καλοῦσιν οἱ κυβευταὶ πυργία.* Vat. Laur. Fgmq. *φιμοὶ οἱ καλούμενοι κημοί,*[9] *εἰς οὓς ἐνεβάλλοντο οἱ ἀστράγαλοι.* B.

τὰς — πληγὰς] *ἢ τὰς ἀπολλύναι δυναμένας καὶ ἐξ ἀνθρώπων ποιούσας*[10] *ἢ ἃς οὐ γινώσκουσιν οἱ*[11] *ἄνθρωποι ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις*[12] *ἢ ὅσας ἄνθρωποι πλήττουσιν.* Vat. Laur. Bgmq.

60. *ἀνακηρυχθῇ*] *ἤγουν*[13] *περιβόητος γένηται.* Vat. mq.

ἐπήει] *ἐπήρχετο, σύνεγγυς ἦν. γίνονται δὲ ἐκκλησίαι τρεῖς τοῦ μηνὸς αἳ λεγόμεναι κύριαι,*[14] *ἃς ἐκ τῶν νόμων ἔχουσιν ἀναγκαίως τελεῖν. ἐπὰν*[15] *δὲ αἰφνίδιόν τι προσπέσῃ, ἐκκλησιάζουσι μέν, καλεῖται δὲ σύγκλητος, εἰ δ' ἄρα καὶ ἐκκλησία, οὐ κυρία.*[16] *ἐπειδὴ δὲ εἶπεν*[17] *εἰς πᾶσαν τὴν πόλιν, ἐπήνεγκε*[18] *τὸ ἐπήει δὲ ἐκκλησία.*[19] *εἰκὸς γὰρ ἦν*[20] *πολλῶν ἐρχομένων*[21] *καταφανὲς γενέσθαι.* Vat. Laur. gm.

61. *παροινία*] *κυρίως ἐχρήσατο τῇ λέξει, εἶπε γὰρ ὅτι μεθυσθέντες.* Vat. Laur. gmq.

ἀργαλέος] *χαλεπός, δυσειδής.* Vat. Laur.

ὑπογενειάζων] *ἁπτόμενος τῶν γενείων καὶ ἱκετεύων.* Vat. Laur. gmq.

63. *λήξεις — ἐποιήσαντο*] *ἤγουν ἔλαχον δίκην ἀλλήλοις. q. παρὰ τὸ*[22] *λαγχάνειν. ἐλάγχανον ἀλλήλοις δικάσοντες. καλοῦνται δὲ πάντες οὗτοι προκληθέντες. δικῶν δὲ λήξεις ἐποιήσαντο ἀντὶ τοῦ ἔλαχον ἀλλήλοις δίκην.* Vat. Laur. gm.

Ἠγησάνδρου] *καὶ*[23] *τὸν Ἠγήσανδρον διαβάλλει ὡς ἡταιρηκότα παρὰ*[24] *Διοπείθει.* Vat. Laur. gm.

1) *κακία* Vat. Laur. 2) *ἐξ αὐτῶν δὲ ἢ* Laur. 3) *δε* om. Laur. 4) *αὐτοὺς* Laur. mq. 5) *ἠνώχλει* om. F. 6) *ἐξῆπτον* post *ἀργυροῦς* Laur. m. 7) *ἢ* Laur., *ἤγουν ἔνδον* F. 8) *πολλάκις — διάσειστοι* habet B. 9) *κημοὶ* Harpocr. p. 182, 1, *κῆμοι* B. 10) *ἢ ἃς ποιοῦσιν* post *ποιούσας* add. Laur. 11) *οἱ* om. Laur. 12) *ἢ ὅσαι — ἀνθρώποις* om. Laur. 13) *ἤγουν* om. g. 14) *κυρίως* Laur. g. 15) *ἐπειδὰν* Laur. 16) *κυρίως* Laur. g. 17) *δὲ εἶπεν* om. Laur. 18) *εἰσήνεγκε* Laur. 19) *τὸ — ἐκκλησία*] *ὅτι ἐπήει ἡ ἐ.* Laur. 20) *γὰρ ἦν* om. m. 21) *πολλ. ἐρχομ.*] *ἐρχομένων πολλῶν ἦν* m, *πολλῶν ἔργων ἐρχομένων* Laur. Fortasse: *πολλ. ἐρχ. τὸ ἔργον κ. γ.* 22) *τὸ* om. Laur. 23) *καὶ* om. Laur. 24) *παρὰ* Vat. Laur. g et sec. m, *ἡταιρηκότι* (om. *παρὰ*) pro *ἡταιρηκότα* pr. m.

ἐν ἡλικίᾳ] ὅτι ἐξαιρέτως εἰώθεσαν οἱ ἀρχαῖοι ἡλικίαν[1] τὴν νεότητα καλεῖν. Vat. Laur. Fgmq.

64. *Ἀριστοφῶντι*] κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος[2] μισθοῦ λέγων καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ[3] διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ' ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου[4] (in or. pro Euxen.) παρανόμων[5] ἑάλω. φησὶ δ' αὐτὸν Ὑπερείδης[4] καὶ Ἄρδηττον[6] ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι. ἐπεβίωσε μέντοι ὁ Ἀριστοφῶν ρ΄ ἔτη παρὰ μῆνας θ΄.[7] Vat. Laur. gm.

πρὶν αὐτῷ] ἐπειδὴ ὁ Ἡγήσανδρος[8] ἐδημηγόρει ἀντιπολιτευόμενος Ἀριστοφῶντι, τέως αὐτῷ ὁ Ἀριστοφῶν ἠπειλήσατο ἐπαγγελίαν ἑταιρήσεως, ὅ ἐστι δοκιμασίαν, ἣν, φησίν, ἐγὼ κρίνω Τιμάρχῳ. Ἄλλως.[9] τοῦτό φησιν, ὅτι[10] ὁ Ἡγήσανδρος Ἀριστοφῶντι ἀντεπολιτεύετο, τοῦ δὲ Ἀριστοφῶντος[11] ἀπειλησαντος αὐτὸν ἐπαγγέλλειν ἐπαύσατο. Vat. Laur. gm. ὁ Ἀριστοφῶν τῷ Ἡγησάνδρῳ.[12] Vat. Laur. F.

Κρωβύλος] ἀδελφὸς ἦν οὗτος Ἡγησάνδρου οὕτως ἐπωνομασμένος διὰ τὴν πανουργίαν. Ἡγήσιππος γὰρ κυρίως ἐκαλεῖτο. B. *Κρωβύλον καλεῖ τὸν ἀδελφὸν τοῦ*[13] *Ἡγησάνδρου τὸν Ἡγήσιππον τὸν*[14] *μισοφίλιππον, καθὸ αὐτὸς*[15] ἤλειφε[16] τὴν κεφαλὴν καὶ ἐφιλοκάλει[17] τὰς τρίχας. Κρωβύλος γάρ[18] ἐστιν εἶδος ἐμπλέγματος πρῴην γενομένου[19] παρὰ τοῖς παλαιοῖς τῶν Ἀθηναίων, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις (1, 6). Vat. Laur. Fgmq.

65. *τοὔψον*] ὃ ἐστιν ἐν τῇ ἀγορᾷ, ἔνθα τὰ ὄψα, οἱονεὶ πάντα τὰ ἐδέσματα πιπράσκεται. ἀπὸ γὰρ τῶν πιπρασκομένων ἔν τινι τόπῳ ἐκάλουν οἱ Ἀθηναῖοι τὸν τόπον. Vat. Laur. Fgmq.

κώμοις] κῶμος[20] ἡ μετ' οἴνου ᾠδή. Vat. Laur. gmq.

67. *ἀπομεῖται καὶ ἐπιορκήσει*] ἀπορήσειεν ἄν τις πῶς ὁ Αἰσχίνης γράφων τὰς μαρτυρίας τῶν συνειδότων Τιμάρχῳ πεπορνευμένῳ[21] καὶ μέντοι καὶ χρησαμένων αὐτῷ προλέγει περὶ αὐτῶν ὅτι ἀρνήσονται ταῦτα. τοῦτο μὲν γὰρ ὅσον ἀπὸ τοῦ εἰκότος. Αἰσχίνου κατηγορία ἐστίν, εἰ ἃ μὴ σύνοιδε τοῖς μάρτυσιν ὁμολογήσασιν ἄν, τούτων ἐκεῖνος τὰς μαρτυρίας δι' αὐτῶν τῶν ἀρνουμένων[22] παρέχεται. καταψευδομαρτυρίας γὰρ ἂν κριθείη, ἥντινα ταύτην ὁ αὐτὸς ῥήτωρ[23] Αἰσχίνης ἐξηγεῖται ἐν ἄλλῳ λόγῳ (de f. leg. §. 154). φαμὲν οὖν πρὸς τοῦτο, ὅτι εἰκὸς ἦν τὸν Αἰσχίνην γράφειν μὲν τὰς μαρτυρίας τῶν συνασελγούντων τῷ Τιμάρχῳ θαρροῦντα τῷ πάντας Ἀθηναίους ταῦτα γινώσκειν καὶ νομίζοντα ὡς εἴπερ ἐκεῖνοι πρὸς ἄρνησιν χωρήσειαν, διὰ τῶν ἄλλων ἁπάντων Ἀθηναίων τῶν εἰδότων τὰ περὶ τούτων ἐλέγξειν αὐτοὺς ψευδομένους, μὴ δι' ἄλλων δὲ ἔξω τῆς αἰτίας

1) *τὴν ἡλ.* Laur. 2) *ὑπὲρ Χ.*] *ὑπὸ χάριτος* Laur. g. 3) *καὶ* om. Laur. 4) *Ὑπερίδ.* Vat. gm. 5) *παρ' ὀλίγον*? Hunz. cf. Hyperid. fr. 44 apud Muller. in ed. Paris. 6) *ἀρδητὸν* Laur., *ἄρδητον* cett. cf. Hesych. s. h. v. 7) *μῆνα* (om. *θ΄*) m. 8) *ἐπειδὴ — Ἡγήσ.* om. Laur. 9) *ἄλλως* om. gm. 10) *ὅτι* om. Laur. 11) *ἀντεπολ. — Ἀριστοφ.* om. g. 12) *ὁ Ἀ. τὸν Ἡγήσανδρον* F, *ὁ Ἀ. τοῦ Ἡγησάνδρου* Vat., *ὁ Ἀριστοφῶντος Ἡγήσανδρος* Laur. 13) *τοῦ* om. Laur. g. 14) *τὸν* Saupp. pro *καὶ*. 15) *αὐτοῦ* F. 16) *εἰλήφει* q, *ἀλείφει* Fgm. 17) *ἐφιλοκαλει* Reisk. pro *φιλοκαλεῖ*. 18) *δὲ* Laur. 19) *γιγνομένου* F. 20) *κῶμος* om. Laur. 21) *Τιμ. πεπ.*] *τίμαρχον πεπορνευμένον* cod. 22) *ἀρνυμένων* g. 23) *ῥήτορα* g.

ταύτας παρέχεσθαι, ἵνα φανῶσιν ἀξιοπιστότεραι αἱ παρὰ τῶν πραξάντων· ἀρνήσεσθαι δὲ προλέγειν αὐτοὺς διὰ τοῦτο, ὅτι οὐδεὶς ἑκὼν ποτε ὅπερ ἐξήμαρτεν ὁμολογεῖ. g.

69. οὐκ ἠγνόουν ὅτι] ἀξιοῦσί τινες μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι συνηγόρων[1] ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγῳ,[2] ἀλλ' εὐηθες[3] πάσχουσι· μερικὰς γὰρ[4] πανταχοῦ ποιεῖν ἔξεστιν, ὥσπερ καὶ ἐφ' ἑκάστου κεφαλαίου ἐπιλογιζόμεθα. ἄλλως τε οὐδαμοῦ κάλλιον εἶχεν ἐκβαλεῖν αὐτοῦ[5] τὴν συνηγορίαν ἢ ἐν τῷ περὶ αὐτοῦ[6] λόγῳ, ἔτι μεμνημένων τῶν δικαστῶν. ἃ γὰρ ἐκεῖ ἐδεῖτο εἰπεῖν[7] πρὸς τὴν διαβολήν, ταῦτα ἐνταῦθα εἶπεν ἀγωνιζόμενος. Vat. Laur. gm.

γιγνώσκων] ἀντὶ τοῦ ποτὲ χρώμενος[8] αὐτῷ αἰσχρῶς. Vat. Laur. F. οὗτος ἐραστὴς ἐγένετο Ἡγησάνδρου. Vat. Laur. gmq. μέμνηται δ' αὐτοῦ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (Imo in Leptin. §. 146. p. 501, 23). Vat. Laur. gm.

ἐθορυβήσατε] ἄδηλον πότερον νῦν[9] κατεκέκλητο[10] πρὸς τὴν μαρτυρίαν ὁ Λεωδάμας, ὥστε ἀχθεσθέντας τοὺς δικαστὰς τῷ ὀνόματι θορυβῆσαι, ἢ ὁ Ἀριστοφῶν ἀνέγνω μαρτυρίαν Λεωδάμαντος κρίνων τὸν Ἡγήσανδρον ἑταιρείας.[11] εἰκὸς γὰρ[12] ἦν κεκρίσθαι αὐτόν. καὶ γὰρ προείρηκεν ὅτι ἐπολιτεύετο πρὶν αὐτὸν δοκιμάσειν ἠπείλησεν ὁ[13] Ἀριστοφῶν. Vat. Laur. gm.

70. σαφέστερον] ἀντὶ τοῦ[14] ἀναιδέστερον καὶ[15] αἰσχότερον. Vat. Laur. Fgm.

ποιεῖσθαι] ἀντὶ τοῦ[16] πεπονθέναι. Vat. F.

βδελυρίας] ἀναισχυντίας εἰς αὐτὸ τὸ ὠσελγαίνειν. εἴρηται δὲ ὡς παρὰ τὴν βδέλλαν τὸ ζωῦφιον, ὅπερ ἐστὶν ἀναιδέστατον καὶ δυσαπόσπαστον[17]. Vat. Laur. Fgm.

ἀπολογούμενον] οἱονεὶ απολυόμενον ὑπὲρ[18] τῶν αἰσχρῶν πράξεων ὧν ἔπραξεν. Vat. Laur. Fgm.

ὑπερήφανα] μεγάλα. F.

71. ἐπιστρεφῶς] ἀντὶ τοῦ[19] συνεστραμμένως τῇ φωνῇ, ἵνα μὴ ἐλεγχθῶσιν ἀπὸ[20] τῆς φωνῆς ὄντες κίναιδοι καὶ[21] χαύνως διαλεγόμενοι. Vat. Laur. Fgm. ἢ ἀντὶ τοῦ σπουδαίως. Vat. Laur. gm.

ἀδελφὸς] Ἡγησάνδρου ἀδελφὸς ἦν Κρωβύλος.[22] ἐκαλεῖτο δὲ οὐ μόνον Κρωβύλος, ἀλλὰ καὶ Ἡγήσιππος καὶ ἐκωμῳδήθη ὡς αἰσχρὸς τὴν ὄψιν καὶ περὶ τὰ Φωνικὰ ἡμαρτηκώς. Vat. Laur. gm.

ἀξιοῦσι δέ με] ἐντεῦθεν ἐλέγχων[23] ἀπαίτησις. ἔλειψε δὲ τὸ παραγραφικόν, ὅτι ὁ λόγος ὅλος παραγραφή ἐστιν. Vat. Laur. gm.

75. ἀλλ' εἰ πέπρακται] καὶ γὰρ ἐκεῖ οὐ τὸν[24] εἰσελθόντα εἶδεν ὁ θεασάμενος, ἀλλ' ἐφ' ᾧ εἰσῆλθεν. Laur. gmq.

1) συνηγοριῶν Scheibius l. l. 2) ἐπιλόγοις Laur. 3) ἀλλ' εὐηθ.] εὐηθες δὲ gm. 4) δὲ gm. 5 et 6) αὐτὸν m. 7) εἰπεῖν a man. sec. m, prim. ποιεῖν videtur habuisse. 8) ποτὲ χρώμ.] τὸν καταχρώμενον F ad Λεωδάμ. relat. 9) νῦν καὶ Laur. 10) κατεκέκλητο Saupp., κατεπέπληκτο libri. 11) ἑταιρίας codd. 12) γὰρ om. Laur. 13) ὁ om. g. 14) ἀντὶ τοῦ om. Laur. 15) καὶ om. Laur. 16) οἱονεὶ F, qui haec cum seqq. coniungit. 17) δυσαπόστατον m. 18) ὑπὸ Laur. 19) οἱονεὶ F. 20) ὑπὸ Laur. gm. 21) καὶ om. F. 22) Ἡ — Κρ.] Ἡγήσανδρος — καὶ Κρωβύλος m. 23) ἐλέχθην Laur. 24) ἐκεῖ οὐ τὸν] αὐτὸν Laur.

ἐπεὶ πρὸς Θεῶν] θαυμασίως ἀποστραφείς.[1] Vat. q.

μειράκιον νέον] ἀντὶ τοῦ[2] οὐκ ἀκριβῶς βούπαιδα, ἀλλ' ἔτι μικρόν. Vat. Laur. Fgm.

τὴν ὄψιν] τὸ εἶδος. B.

ἀσύμβολον] οὐκ εἰσενεγκὼν συμβολήν, οὐ συμβαλὼν ἔρανον. B. μὴ παρέχων σύμβολον καὶ ἔρανον, ἀλλ' ἄλλου συμβάλλοντος δαπανῶν.[3] Vat. Laur. Fgmq. ἀσύμβολος οὖν ὁ ἑτέροις συνεστιώμενος[4] δίχα συμβόλου[5] καὶ ἐράνου τινός. Vat. Laur. Fgmq.

77. μετὰ χεῖρας ἔχετε] ἀντὶ τοῦ ὧν νῦν τὴν μνήμην ἔχετε. Vat. Laur.

διαψηφίσεις] αἱ δοκιμασίαι.[6] διαψήφισις δέ ἐστιν, ὁπηνίκα στάσεως δημοτικῆς γενομένης συνέχρονται ἅπαντες οἱ ἐκ τῶν δήμων καὶ σκοποῦσι τίς τε ἐστὶ πολίτης καὶ τίς ξένος. καὶ ἐὰν εὕρωσι ξένον, τοῦτον διώκουσιν, ὡς ἐξ αὐτοῦ[7] γενομένης τῆς στάσεως. ἔλεγον δὲ ἐκ πολίτου μὴ γενέσθαι[8] τι τοιοῦτον. Δημόφιλος δέ[9] τις εἰσηγήσατο διαψηφίσεις[10] τῶν ἀστῶν ἐν τοῖς δήμοις, ὥστε[11] τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον ὅτι ἐστὶν ἀστός, μηδενὸς κατηγοροῦντος μηδὲ ἀπολογουμένου, ἀλλ' ἐκ τῆς συνιστορήσεως, καὶ ἴσχυον αἱ διαψηφίσεις τῶν δημοτῶν. Vat. Laur. gmq.

ψῆφον δέδωκε] περὶ γὰρ ἑκάστου ψῆφος ἐδίδοτο τοῖς δημόταις· ὡσεὶ ἔλεγε δοκιμασίαν ἔδωκεν. ἢ ἀντὶ τοῦ δέδωκεν[12] ἑαυτὸν εἰς τὸ ἑτέρους ὑπὲρ αὐτοῦ[13] ψηφίσασθαι. Vat. Laur. gmq.

78. οὐ μετὸν] ἀμετάσχετον. Laur. F.

79. φέρε δὴ πρὸς τοῦ Διὸς] ἐπιμονὴ τὸ σχῆμα. Vat. Laur.

τετρυπημένη] καταδικάζουσα. Laur. τοῦτο κακοήθως εἶπεν ἐπὶ τοῦ Τιμάρχου, καὶ ἔστι κακέμφατον. Vat. Laur. gm. τετρυπημένη δὲ ψῆφος ἦν ἡ καταδικάζουσα, πλήρης δὲ ἡ ἀπολύουσα. Vat, Laur. gmq. τετρυπημένη οὖν[14] οἱονεὶ καταψηφιζομένη. ἔγνωμεν γὰρ[15] πολλάκις, ὡς ὅτι[16] ποτὲ μὲν ἐψηφίζοντο οἱ δικασταὶ διὰ[17] λευκῆς καὶ μελαίνης ψήφου· καὶ ἦν ἡ μὲν μέλαινα ἡ καταψηφιζομένη, ἡ δὲ λευκὴ ἡ σώζουσα· ποτὲ δὲ διὰ τετρυπημένης καὶ ἀτρήτου, καὶ κατέκρινον μὲν διὰ τῆς τετρυπημένης, ἔσωζον[18] δὲ διὰ τῆς ἀτρήτου.[19] Vat. Laur. Fgm. διαψήφισίς ἐστι τὸ τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον κατὰ δοκιμασίαν τινὰ εἰ αὐτῷ[20] ὑπάρχον μετέχειν τῆς πόλεως. τοῦτο ἀντιστρέφει καὶ δύναται λέγεσθαι καὶ ὡσεί περ· λάβε[21] ἔξωθεν τὸ ἐρρίφθω, ἵν' ᾖ πάνυ οἰκεῖον τῇ συντάξει, καὶ σύνταξον οὕτως· ὅτῳ δοκεῖ πεπορνεῦσθαι τὸν Τίμαρχον ἐρρίφθω παρ' ἐκείνου ἡ τετρυπημένη ψῆφος καὶ αὖ πάλιν ὅτῳ μὴ δοκεῖ ἐρρίφθω ἡ πλήρης. g.

1) θαυμασία ἀποστροφή q. 2) ἀντὶ τοῦ om. F. 3) δαπανόν F, δαπανᾷ Laur. gm. 4) συνεσθιόμενος Vat. 5) συμβόλου Sauppius, συμβολαίου Vat. Laur. gm, σύμβουλον q, συμβολῆς Rsk. Fr. 6) gl. δοκιμασίαι habet F. 7) αὐτῶν m. 8) γίνεσθαι q. 9) γὰρ Baiter. 10) διαψηφίσεις Vat., διαψ. γενέσθαι cett. 11) ὅτε gm. 12) ἔδωκεν gmq. 13) αὐτοῦ mq. 14) τετρυπ. οὖν om. F. 15) δὲ gm. 16) ὅτι om. gm. 17) ᾗ διὰ gm. 18) ἔσωζον — ἀτρήτου] διὰ δὲ τῆς ἀτρήτου ἔσωζον g. 19) ἀτρύπου m. 20) κατὰ — αὐτῷ] locum corruptum codex dat post §. 82 sic: κατὰ μεδιεῖαν τινὰ καὶ αὐτῷ, cf. schol. ad §. 77. 21) Fortasse ἔλαβεν.

80. ἐβούλευε] ὅτε[1] οὗτος ἐβούλευεν,[2] εἰ[3] ποθ' ἡ βουλὴ ἀθροισθείη.[4] Vat. Laur. gm.

ἀπήγετο] ἀντὶ τοῦ ἥρπασται. Vat.

81. πρόσοδον ποιουμένης] προσιούσης τῷ δήμῳ[5]. Vat. Laur. gm.

οἰκήσεων] οἰκήσεις τινὲς ησαν περὶ[6] τὴν Πνύκα ἔρημοι καὶ καταπεπτωκυῖαι. ταύτας συνεβούλευσεν ὁ Τίμαρχος[7] κτισθῆναι, οἱ δ' ἐξ Ἀρείου πάγου ἀντιλέγουσιν. Πνὺξ δὲ πετρώδης ἐστὶ τόπος, ἔνθα ἐκκλησιάζουσιν, ἐν ἐρήμῳ τόπῳ κείμενος. ὠνομάσθη δὲ Πνὺξ[8] παρὰ τὸ πεπυκνῶσθαι ταῖς οἰκήσεσιν. κατέτεμε[9] γὰρ αὐτὴν εἰς οἰκίας τοῖς ἡλιασταῖς. ἦν δὲ πάγος ὑψηλός, λόφος καλούμενος[10] Πνύξ. Vat. Laur. gmq.

82. τὸ εἰσήγημα] τὸ ψήφισμα. Vat. q.

εἰ Τίμαρχος] ἀπίθανον ὡς[11] ὁ Αὐτόλυκος ἐμπειρότερον[12] τῆς βουλῆς ἔφη τὸν Τίμαρχον.[13] Vat. Laur. gm.

83. τοιαύτην τινὰ συγγνώμην] ὁ Αὐτόλυκος συγγνώμην ἔφη Τιμάρχῳ ἔχειν· οὗτος γὰρ ἴσως[14] ᾠήθη μικρὸν ὑμᾶς ἀναλώσειν ἐν τῇ ἐρημίᾳ οἰκοδομουμένους. ὁ γὰρ λόγος ἦν[15] περὶ τῆς Πυνκός. λέγουσι δὲ ἡσυχίαν[16] τὴν ἐρημίαν. Vat. Laur. gmq.

ἡσυχίᾳ] ἡσυχίαν ἐκάλουν τὴν ἐρημίαν. Ἀσπάσιος δὲ τὴν ἀπραγμοσύνην ᾠήθη δηλοῦσθαι. Vat. Laur. gmq.

πάλιν] οἱ ὑποπτεύοντες πόρνον τὸν Τίμαρχον ἐθορύβησαν. τὰ γὰρ ὀνόματα κακόσχολα πρὸς τὸν ἐπὶ τούτοις διαβαλλόμενον. Vat. gm.

84. ὑπολαβόντες] ὑποτυχόντες, ἀποκρινάμενοι. Vat. Laur. gm.

85. ἄτοπον] ἄτοπον τὸ μέγα καὶ θαυμαστὸν παρὰ Πλάτωνι. (Legg. 1, 646 B.) g.

βοᾶτε] χρόνος ἀντὶ χρόνου· ἀντὶ[17] τοῦ ἐβοήσατε.[18] Vat. Laur. Fgm.

86. ἐμνήσθην] ἀντὶ τοῦ ἐπλήρωσα ταῦτα λέγων.[19] Vat. Laur. Fm.

πολιτευμάτων] ὅταν τις εἰσηγήσηται τῷ δήμῳ τι συμφέρον, τοῦτο[20] πολίτευμα τοῦ εἰσενεγκόντος καλεῖται. καὶ λέγουσιν· ὁ δεῖνα[21] τόδε ἐπολιτεύσατο. Vat. Laur. gm.

ᾐτιάσατο] ἀντὶ τοῦ[22] κατηγόρησεν. Laur. Fq. ἀπὸ κοινοῦ τὸ ᾐτιάσατο.[23] ἔστι[24] δὲ ἀντὶ τοῦ κατηγόρησεν.[25] Vat. Laur. gm.

συνδεκάζειν] ἤγουν δώροις συνδιαφθείρειν. q. συνδεκασταὶ ἐλέγοντο, οἵτινες συνερχόμενοι ἅμα εἴτε τῶν βουλευτῶν εἴτε τῶν δικαστῶν τὴν αὐτὴν ψῆφον ἐτίθεσαν περὶ τῶν κρινομένων. οἷον παρεφέρετό τις ἄδικόν τι ποιήσας πρᾶγμα, οἱ δὲ δέκα ἐκεῖνοι ὄντες συνδεκασταί, οἵτινες καὶ συγκαθισταὶ[26] ἐκαλοῦντο κέρδους χάριν τὴν

1) ὡς Laur. 2) ἐβούλευσεν gm. 3) τί Laur. 4) μνησθείη Laur. 5) τῷ δ.] τὸν δῆμον Laur. 6) παρὰ Vat 7) Αἰσχίνης codd. 8) Πνὺξ om. Vat. 9) nomen deesse monuit Rsk. 10) ἦν δὲ — καλούμενος om. q. 11) ἀπίθανον ὡς Vat., πιθανῶς cett. 12) ἐμπειρότερον Saupp., ἔμπειρον codd. 13) εἶναι ante τὸν Τίμαρχον add. Laur., post Τίμ. gm. 14) οὗτ. — ἴσ.] ἴσως γὰρ οὗτος g. 15) ἐστὶ Vat. 16) ἡσυχίαν τινὰ m. 17) ἀντὶ om. F. 18) χρόνος — ἐβοήσ.] ἀντὶ τ. ἐβοήσ.· χρόνος ἀντὶ χρόνου m. 19) hoc scholion h. l. legitur in Vat. m, post proximum in Laur. F. 20) τὸ Laur. 21) ὁ δεῖνα] ὧδε Vat. 22) ἀντὶ τοῦ] ἤγουν q, om. Laur. 23) ᾐτήσατο Vat. m, ἐγράψατο g. 24) ᾐτιάσατο Vat. Laur. g. 25) scholion huc retulimus quod vulgo legebatur post proximum ad v. Νικόστρατος. 26) ὄντες — συγκαθ.] ὄντες

ὑπὲρ αὐτοῦ ἐτίθεσαν ψῆφον. οὗτοι δὲ ἐλεγχόμενοι ἐπὶ τούτῳ τῷ πράγματι θανάτῳ ἐζημιοῦντο. — Ἄλλως.[1] συνδεκάζειν συνδωροδοκεῖν. κυρίως δὲ τὸ ἀναπείθειν δώροις δικάζειν. συνδεκάζειν τὴν ἐκκλησίαν[2] οἷόν τινας συνδωροδοκῆσαι. Vat. Laur. gm.

87. ἐδέκαζε] δεκάσαι ἐστὶ τὸ διαφθεῖραί τινας χρήμασι παραδικάσαι ἤ τι τοιοῦτον ποιῆσαι. Vat. Laur. Fgm. ἐδέκαζεν οὖν διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος. ὠνομάσθη δὲ τὸ δεκάζειν ἀπὸ τοῦ δέκα συνισταμένους μισθαρνεῖν ἐν πόλει. Vat. Laur. gm.

88. ἐκεῖνοι μὲν] συγγνώμην αὐτοῖς πορίζεται πάνυ δεινῶς. ἐπειδὴ γὰρ ἥλωσαν[3] ἐκεῖνοι καὶ ταῦτα συγγνώμης ὄντες ἄξιοι, πόσης τιμωρίας ἄξιος[4] Τίμαρχος, ὃς ἥμαρτεν ὑπ' οὐδενὸς τούτων κρατούμενος. Vat. Laur. gm.

89. ἐκκλήτῳ] ὡς νῦν λέγομεν τὸ ἔκκλητον δοῦναι, ὅταν εἷς[5] τῶν δικαζομένων ὑπονοῇ τὸν δικαστὴν παραδικάζειν δι' ἔχθραν αὐτοῦ ἢ φιλίαν τοῦ ἀντιδίκου καὶ ἕνεκεν τούτου ἐκκαλῆται[6] ἕτερον δικαστήριον κοινὸν[7] ἀμφοτέροις. παρατηρητέον ὅτι τῷ μὲν ὀνόματι κέχρηνται οἱ παλαιοὶ τῆς ἐκκλήτου, οὐκέτι μέντοι καὶ τῷ ῥήματι, ὥς φασιν οἱ Ἀττικισταί. Vat. Laur. Fgm. Ἄλλως.[8] ἀλλοτρίᾳ, εἰς ἣν ἐξεκέκλητο ὁ[9] κριθησόμενος. Ἄλλως.[10] ἐκκλήτῳ παρὰ τὸ ἐκεῖ καλεῖσθαι ἐπὶ κρίσει. οἷον εἰ Ῥόδιόν τις Ἀθήνησιν ᾐτιάσατο, εἶτα ἐκλήθη Ἀθήναζε δικασόμενος. Vat. Laur. gmq.

ἐσπουδακέναι] ἀντὶ τοῦ σπουδάζειν. οἱ γὰρ παρακείμενοι οἰκείως ἔχουσιν ἀντὶ ἐνεστώτων λαμβάνεσθαι. πολλὴ δὲ ἡ τοιαύτη χρῆσις παρὰ τοῖς Ἀττικοῖς. g.

90. ἄριστα μὲν εἰδὼς] πῶς φησι τὸν μάρτυρα ταῖς μεγίσταις ὑποπίπτειν τιμωρίαις; λέγομεν ὡς οὐδεὶς ἔσται[11] μάρτυς ἐπὶ τοιαύτης πράξεως· λάθρα γὰρ πράττεται. οὐκοῦν μάρτυς ἂν εἴη ὁ τὴν πρᾶξιν ἐργασάμενος. ἀλλ' ἐὰν μαρτυρῇ, κολάζεται ὡς τὸν Ἀθηναῖον καταισχύνων. Vat. Laur. gm.

92. τῷ ἀκριβεστάτῳ συνεδρίῳ] τοῦτο τὸ συνέδριον εὐδοκίμει ἐν τῇ πόλει. F.

εὖ πάνυ[12]] ἀντὶ τοῦ[13] μετὰ δεινότητος καὶ καλῆς[14] φράσεως. Vat. Laur. Fgmq.

93. οἱ μὲν γὰρ ἐν τῷ] οἱ παρὰ τὸν καιρὸν τῆς κρίσεως λόγοι λεγόμενοι ἕνεκα τοῦ πεῖσαι ὑμᾶς καὶ ἀπατῆσαι ἐνίοτε λέγονται· οἱ δὲ πρὸ τῆς κρίσεως λόγοι[15] ἀληθεῖς, οὓς οὐχ[16] ὁ κατήγορος συνέθηκεν,[17] ἀλλ ἡ τῆς πράξεως ἀλήθεια. Vat. Laur. gm.

94. λογογράφος] Δημοσθένην λέγει. Vat. Laur. Bgmq. οὐκ ἦν

συνδεκασταὶ m, οἵτινες καὶ συγκαθισταὶ Vat., οἵτινες καὶ ... συγκαθισταὶ Laur., ὄντες συνδεκασταὶ οἵτινες καὶ συγκαθισταὶ g. 1) ἄλλως om. gm. 2) τὴν ἐκκλησίαν om. gm, τῇ ἐκκλησίᾳ Vat. 3) ἀνήλωσαν Vat. g et pr. m. 4) ἄξιος ὢν Vat., Τίμ. (om. post.) ἄξιος Laur. 5) ὁ εἷς F. 6) ἐκκαλεῖται Fg. 7) κοινῇ F. 8 et 10) Ἄλλως om. mq. 9) ὁ add. Reiskius. 11) ἔστι Laur. 12) εὖ πάνυ Frankius pro πάνυ κακῶς. 13) οὐδὲν post ἀντὶ τοῦ add. F. 14) φαύλης Vat. Laur. gm. 15) μοι λόγοι gm, λεγόμενοι Saupp. 16) οὐχ add. Bekkerus. 17) συντέθηκεν m.

δὲ ἀστεῖον[1] *το λογογραφεῖν οὐδὲ τὸ συνηγορεῖν μισθοῦ.* Vat. Laur. Bgm.

ἀπολογίαν] *ἀντίθεσιν.* Laur. *ἐνταῦθα*[2] *ἡ πιθανὴ ἀπολογία.*[3] Laur. q.

ἀνδρὸς] *ἵνα δύνηται πιπράσκειν τὰ κτήματα.*[4] Vat. Laur. Bgm.

τερατευόμενος] *τέρας τι*[5] *καὶ*[6] *παράδοξον λέγει με*[7] *ἐπαγγέλλειν.* Vat. Laur. Fgmq.

95. *ἐπικλήρου*] *ὅτι*[8] *ἐπίκληρόν τινα συγγενῆ πρὸς γάμον ἔλαβεν ὁ Ἡγήσανδρος πλουσίαν. νόμος γὰρ ἦν ὁ κελεύων τὸν ἐγγυτέρω τῶν ἄλλων συγγενῶν ὑπάρχοντα εἰς συγγένειαν αὐτῇ*[9] *τῇ ἐπικλήρῳ γαμεῖν αὐτήν.* Vat. Laur. BFgmq. *ἐπίκληρος δὲ γυνὴ καλεῖται, ἣν ο πατὴρ μέλλων τελευτᾶν καταλιμπάνει*[10] *τινὶ πρὸς γάμον, λέγων ὅτι τῷδε αὐτὴν θέλω δοῦναι.* Vat. Laur. Bgm.

κατεκεκύβευτο καὶ κατωψοφάγητο] *ἤγουν*[11] *εἰς κύβους ἐδαπανήθη καὶ εἰς ὀψώνια*[12] *ἀνηλώθη.* Vat. Laur. gm.

ἔξωρος] *ἔξω τῆς ἡλικίας. ὑπερεβεβήκει τὴν ὥραν, τουτέστι τὴν ἀκμὴν τῆς ἡλικίας, ἀνὴρ ἤδη ἐγεγόνει.* Vat. Laur. gmq.

ἀνόσιος] *τὸ ἀνόσιος θηλυκῶς συνέταξε.* Vat. Laur. gm.

96. *τὸ πλέον*] *τὸν παρέχοντα αὐτῷ πλείονα.* Vat. gm.

εὑρίσκοντος] *ἀντὶ τοῦ εὑρισκομένου.* Laur.

97. *τῆς πόλεως*] *τῆς ἀκροπόλεως λέγει. τὸ γὰρ παλαιὸν ἡ ἀκρόπολις Ἀθηνῶν*[13] *ἐκαλεῖτο πόλις.* Vat. Laur. Bgmq.

ἐσχατιὰν] *ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι ἢ εἰς ὄρη ἢ εἰς θάλασσαν.* Vat. Laur. BFgmq. *τὰ ἐπὶ τοῖς τέρμασι δὲ*[14] *τῶν δήμων*[15] *ἔσχατα κείμενα χωρία ἐσχατιαὶ ἐκαλοῦντο.* Vat. Laur. Bgmq. *Ἄλλως. ἐν τοῖς χωρίοις ἐναπολαμβάνονται ὄρη ἢ ἄκρα κατὰ τὴν Ἀττικήν. παρ᾽ αὐτὰ δὲ ψιλοὶ τόποι εἰσίν, αἳ*[16] *ἐσχατιαὶ καλοῦνται. τινὲς δὲ ἐργάζονται αὐτούς.* Vat. Laur. Bgm.

Σφηττοῖ] *Σφηττὸς*[17] *δὲ δῆμος ὄπισθεν τῆς ἀκροπόλεως.* Vat. Laur. Bgmq.

ὁ δ᾽ ἡγεμὼν] *ὁ τῶν δημιουργῶν χοροδιδάσκαλος καὶ ὑφηγητὴς καὶ οἷον ἄρχων, ὁ τὰ ἔργα ἐκλαμβάνων.* Laur. gmq.

ἀμόργινα] *τὴν λινοκαλάμην ἀμοργίδα*[18] *λέγουσιν.*[19] *ἔνιοι δὲ ἀμόργινα*[20] *πάντα τὰ λεπτὰ ὑφάσματα, ἀλουργὰ δὲ τὰ εὐανθῆ διὰ τὴν βαφήν. λεπτὰ δὲ λεπτοϋφῆ.*[21] *ἔπιπλα δὲ σκεύη περισσά, ἃ νῦν καλοῦμεν οἰκόσκευα.*[22] Vat. Laur. gmq. *ἀμόργη*[23] *εἶδος ξύλου*

1) *οὐδὲ ἐπαινετὸν* add. B. 2) *ἐντεῦθεν* Dindorf. 3) q habet hoc scholion ad verba *ἔτι δέ*. 4) *τιμήματα* Laur. 5) *οἷον ὡς τέρας τι* F, *οἷον τεράστιον* mq, *τεράστιον* g. 6) *καὶ* om. Laur. 7) *μοι* Laur. gm. 8) *εἰ* F. 9) *εἰς συγγ. αὐτῇ* om. cum Bm: BS. Di. 10) *καταλαμβάνει* Vat. Laur. 11) *ἤγουν* om. Laur. 12) *ὀψώνιον* Laur. 13) *Ἀθηναίων* gm, *τῶν Ἀθηναίων* q, *τῶν Ἀθηνῶν* B. 14) *δὲ* om. Bq. 15) *τῶν δήμων* om. Vat. 16) *οἳ* B. 17) *σφητὸς* m. 18) *ἀμόργην* Vat. Laur. 19) *καλοῦσιν* Vat. 20) *ἀμόργη* Laur. 21) *λεπτοϋφῆ* coni. Dindorf. pro *λεπτοφυῆ*. 22) *ἔπιπλα εἰσὶν ἃ νῦν καλοῦμεν οἰκόσκευα* F. 23) *ἀμόργινα* Vat. Laur. g, *ἀμόργινον* m.

ποιοῦν ἔρια, ὥσπερ ἐστὶ τὸ ἐριόξυλον. τινὲς[1] δὲ λέγουσι τὸ ἐν τοῖς καλάμοις ὥσπερ ἔριον εὑρισκόμενον. ἐσθῆτα δὲ ποιῆσαι ἀπὸ τούτων ἐστὶ δυσχερές, καθὸ λεπτότατόν τί ἐστιν, ὡς ὑμήν. κατὰ τοῦτο δὲ καὶ πολύτιμα. Vat. Laur. Fgm.

ποικιλτὴν] ὃν λέγομεν[2] πλουμάριον. Vat. Laur. gmq.

98. ὁ χοροδιδάσκαλος] ὁ τοῦ χοροῦ ὑφηγητής. B.

ἐξηγριωμένον] ἀντὶ τοῦ χέρσον γενόμενον. Vat. Laur. gmq.

100. ἀπέδωκε[3]] ἤγουν χρεωστῶν ἔδωκε. q.

Κηφισίῳ] ὄνομα δήμου. F.

ἀργυρείοις] τὸ ἀργυρεῖον[4] τῆς Ἀττικῆς τόπος. ἔνθα ἀργυρωρυχεῖα[5] ἦν, ἃ λέγουσιν ἀργυρεῖα. ἐπὶ Θρασύλλῳ δὲ Ἀττικῶς ἀντὶ τοῦ πρὸς τῷ Θρασύλλου μνήματι. ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου.[6] Vat. Laur. gmq.

101. Ἀμφιτροπῆσιν] ὄνομα δήμου. Laur.

102. τὴν νόσον[7]] τὴν πήρωσιν. B.

συνταξάμενος] φανερόν[8] τι συνθέμενος παρέχειν αὐτῷ. Vat. Laur. Fgmq.

103. ἀδυνάτοις] κατὰ μῆνα ἐκ τοῦ δημοσίου[9] δίδοται τοῖς ἀδυνάτοις πολίταις μισθός. ἀδυνάτους δὲ πάντας[10] λέγουσι τοὺς ὁπωσδηποτοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν ἑαυτῶν. Ἄλλως. τοῖς ἀδυνάτοις τοῖς σώμασιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου εἰς τροφὴν τριώβολον. Vat. Laur. Bgmq.

μισθοφοροῦντα] ἀντὶ τοῦ μισθὸν δεχόμενον ἐν τῷ καταλόγῳ τῶν λελωβημένων καὶ ἀδυνάτων. νόμος γὰρ ἦν Σόλωνος ὁ κελεύων τοὺς τοιούτους ἐκ τῶν δημοσίων τρέφεσθαι. Vat. Laur. BFgmq.

104. ἀπολειφθέντος] οἷον ἔτυχεν[11] αὐτὸν μὴ παραγενέσθαι ἐν τῇ ἡμέρᾳ[12] ἐκείνῃ, ἔνθα δοκιμάζονται[13] οἱ τρεφόμενοι ἐκ τῶν δημοσίων ὡς ἀδύνατοι. Vat. Laur. Fgmq.

ἱκετηρίαν] ἱκετηρία ἐστὶ θαλλὸς[14] ἐλαίας ἐρίῳ ἀνεστεμμένος.[15] Vat. Laur. Bgmq. ὃν κατεῖχον ταῖς χερσὶν οἱ ἱκέται καὶ δεόμενοι τινῶν. Bq.

πρυτανείας] οἱ πρυτάνεις συνάγουσι τὴν βουλὴν ὁσημέραι, πλὴν ἂν ἀφετός τις ᾖ, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας, καὶ προγράφουσιν πρὸ[16] βουλῆς καὶ πρὸ ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν οἳ καλῶς ἄρχουσιν, ἡ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει[17] καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων[18] ἀναγινώσκουσι οἱ[19] πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις ἱκετηρίας θεμένοις λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. ἡ δὲ τρίτη κήρυξι καὶ πρε-

1) τινὲς Vat. Laur. g, ἄλλοι cett. 2) ὃν λέγομεν] οἰκέτην Laur. 3) ἀπέδωκε Baiter. pro ὠφείλησε. 4) ἀργύριον Vat. 5) ἀργυρωρύχια Vat. 6) ἀργυρίου Sauppius pro ἀργυρίου ἔτι. 7) τὴν νόσον legebatur pro τὴν ἀσθένειαν. 8) ἤγουν φανερόν q. 9) δημοσίου Rsk. pro δήμου. 10) πάντας om. g. 11) οὖν add. post ἔτυχεν Laur. gmq. 12) οἰκίᾳ Laur. 13) δικάζονται g. 14) θάλαμος g. 15) ἀνεστεμμένης m, ἀνεσταλμένος Laur., ἐστεμμένη g. 16) ἑτέρας q. 17) εἰσαγέλλειν q. 18) δημοτευομένων q. 19) οἱ om. q.

σβείας [ἀξιοῖ] χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτανεῦσιν ἀποδοῦναι τὰ γράμματα. ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. q e Polluce 8, 95. ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων πεντήκοντα[1] βουλευταί[2], ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκαστος[3] μῆνα καὶ ἡμέρας ἕξ,[4] ἕως[5] τὸ ἔτος περιέλθοι[6] εἰς τὰς[7] δέκα[8] φυλάς. ὁ δὴ χρόνος, ὃν ἀρχει ἡ μία[9] φυλή, πρυτανεία καλεῖται. καὶ μετροῦσι κοινότερον οὐ πρὸς μῆνας ἀλλὰ πρὸς πρυτανείας τούς τε μισθοὺς καὶ τόκους καὶ ἐνοίκια. Vat. Laur. gm.

105. ἀλλ' ἴσως — εἴποι] ἡ μετάθεσις τῆς αἰτίας. Vat. Laur.

τ. χωρίου τοῦ Ἀλωπεκῆσι] οἰκίας τινὸς[10] δηλονότι. Vat. Laur.

106. λαχὼν] ἀπὸ κλήρου, χειροτονηθεὶς δὲ ἀπὸ δοκιμασίας. Vat. Laur. Fgmq.

107. λογιστὴς] λογισταὶ κρίνουσι τοὺς ἄρξαντας καὶ[11] ὑπευθύνους ὄντας.[12] Vat. Laur. gmq.

Ἄνδρῳ] τῶν Κυκλάδων νήσων μία Ἄνδρος. Vat. Laur. gm.

μνῶν] ἡ μνᾶ ἐστι μέγιστον τῶν τοῦ ταλάντου μερῶν, ὡς εἰς ξ' μνᾶς[13] κατακερματίσαι λύσαντα τὸ τάλαντον. ἦν δὲ ἡ μνᾶ σαθμοῦ τε ὁμοῦ καὶ νομίσματος ὄνομα, ὥσπερ καὶ τὸ τάλαντον. ὁ μέντοι ὀβολὸς ὀκτὼ χαλκοῦς εἶχεν. q.

ἐπ' ἐννέα] ὡσανεὶ ἔλεγεν[14] ἐπὶ μιᾷ καὶ ἡμισείᾳ ἑκατοστῇ, εἴ γε οἱ ἓξ ὀβολοὶ ποιοῦσι μίαν δραχμήν, ἥτις δραχμὴ ἑκατοστή ἐστι[15] τῆς μνᾶς. Vat. Laur. Fgmq.

ἐκμαρτυρῆσαι] ἐν ἄλλῳ μὲν τόπῳ (or. 2 §. 19) σημαίνει τὸ μαρτυρῆσαι περὶ ἀπόντος τινὸς ἀποδήμου, ἐνταῦθα δὲ τὸ ἐκφῆναι τὴν αὐτοῦ συμφορὰν διὰ τῆς μαρτυρίας. Vat. Laur. Fgmq.

108. ὠνητὴς] οἷον πολέμιός τις βουλόμενος αὐτὴν ἀγοράσαι.[16] πάντως γὰρ ἂν[17] αὐτὴν εὐθὺς οὗτος ἐπώλει. Fm. ὡς ἐπιβαλομένου[18] τοῦ Τιμάρχου ὠνήσασθαι παρὰ τῆς πόλεως φόρον, ὥστε αὐτὸς προκαταθέμενος ἐκλέξαι ἐπιπλεύσας,[19] ἔπειτα σφαλέντος τῷ βουλεύματι. Vat. Laur. gm.

109. Νικοφήμου] οὗτος ἦρξε πρὸ Θεμιστοκλέους, ἐφ' οὗ βουλεῦσαι τὸν Τίμαρχον. ἦν δ' ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος καὶ Ἡγήσανδρος τῆς Θεοῦ ταμίας. καὶ κοινῇ διέκλεπτον[20] τοῦ δημοσίου χιλίας δραχμάς, ὥς φησιν ὁ ῥήτωρ.[21] Vat. Laur. Bgm.

πρὸς μικρὸν μέρος] ὅ ἐστι πρὸς τὸ ἀποδοθὲν ὕδωρ. Vat. Laur. gm.

1) δέκα pr. m. 2) βουλευταὶ Sauppius pro βουλευταὶ τούτους (τούτοις g). 3) ἑκάστου pr. m, ἑκάστης vel ἑκάστῃ sec. m, ἑκάστην g. 4) ἕξ om. Laur. 5) ἕως g, ὥστε cett. 6) περιέλθῃ Laur. 7) εἰς τὰς Vat. Laur., τὰς cett. 8) δέκα] δέκα καὶ ὀκτὼ Vat. Laur. 9) μέση Vat. Laur. 10) οἰκίαν τινὰ Laur. 11) καὶ om. Laur. 12) quae addit q: δύο ησαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως, λογισταί. καὶ τούτους ἡ βουλὴ κληροῖ κατάρχειν ὡς παρακολουθεῖν τοῖς διοικοῦσιν absurde exscripta sunt ex Polluce 8, 99. cf. Dindorf. ad h. l. 13) ξ' μνᾶς Sauppius pro ὄνομα. 14) ὡσανεὶ ἔλεγ.] ἀντὶ τοῦ F. 15) ἑκαστὴ om. ἐστι Laur. 16) βουλ. — ἀγορ.] ἀγοράσαι αὐτὴν βουλ. m. 17) ἄν add. Scheibius in Jahnii Annall. phil. vol. 35 p. 144. 18) ὑποβαλομένου gm. 19) ἐπιπλεύσων Laur. 20) διέκλεψαν B. 21) „Archontes annorum 482 et 361 confundit." Saupp.

ἐγγυτάτω τῆς αἰτίας] διὰ τὸ ἐπιφέρειν· κλέπτουσι τῆς πόλεως ἀνὴρ καὶ γυνή. Vat. Laur. gmq.

110. οὗτος] ἀναφορική[1] ἐστιν ἡ[2] ἐπιδεικτική[3] ὡς[4] τοῦ Ἡγησάνδρου συνηγοροῦντος νῦν τῷ Τιμάρχῳ. Vat. Laur. Fgm.

Ἀχερδούσιος] ἀπὸ δήμου. F.

111. ἐκφυλλοφορήσασα] ἀντὶ τοῦ διὰ φύλλων αὐτοῦ καταψηφίσηται. διὰ φύλλων γὰρ οἱ βουλευταὶ ἐψηφίζοντο ἐν τῇ[5] πρώτῃ δοκιμασίᾳ, ἐν δὲ τῇ δευτέρᾳ ψήφοις. δεύτερον γὰρ ἐβουλεύοντο περὶ τοῦ αὐτοῦ. Vat. Laur. Fgmq. Ἄλλως. οἱ βουλευταὶ φύλλοις ἐχρῶντο ἐν ταῖς δοκιμασίαις. καὶ τὰς ἀρχὰς δὲ ἐνίας[6] φύλλοις ἐκληροῦντο, πρότερον κυάμοις[7] κληρουμένας.[8] Ἄλλως. μὴ ἄρα τὴν τῶν ψήφων ἀθρόαν ἐπιφορὰν πρὸς τὸ ἐκβαλεῖν ἐκφυλλοφορίαν εἴρηκε παρὰ τὴν τῶν φύλλων φοράν. Vat. Laur. gm.

δωρεὰν] τὸν στέφανον. F. στεφανοῦται ἡ βουλὴ κατ' ἔτος, ὅτε καλῶς ἄρχει. ταύτῃ οὖν ἀξιῶ τὴν δωρεὰν δοῦναι. Laur. gm.

112. ἐν τῇ ψήφῳ] οἷον ἐν τῇ β' δοκιμασίᾳ. F.

κατεδέξατο] ὥστε τῇ μὲν τῶν φύλλων[9] ἐπιβολῇ ἐκβαλεῖν, ψήφου δὲ περιενεχθείσης καταδέξασθαι. Vat. Laur. gm.

μὴ περιποιήσητε] πάλιν Ἀττικῶς ἐπερίττευσεν ἡ μὴ ἀπαγόρευσις ἐνταῦθα. Vat. Laur. Fgm.

113. Ἐρετρίᾳ] Ἐρέτρια πόλις τῆς Εὐβοίας. ὅλη δὲ Εὔβοια ὑπ' Ἀθηναίοις ἦν. Vat. Laur. Bgm. ἐξεταστὴς δὲ τῶν[10] Ἀθηναίων ἐκεῖθι ξένων. Vat. Laur. gm.

τιμήματος] ἀντὶ τοῦ περὶ τῆς καταδίκης λοιπὸν[11] παρεκάλει, ἧττον παθεῖν τῆς ἀξίας. Vat. Laur. Fgm.

τριάκοντα μνῶν] τὸ ἥμισυ τοῦ ταλάντου. ὀβολός. δραχμὴ ἓξ ὀβολοί. μνᾶ ρ' δραχμαί. τάλαντον ξ' μναῖ. Vat. Laur. F[12] gm.

114. διαψηφίσεσι] οἷον[13] ταῖς δοκιμασίαις τῶν πολιτῶν, τίνες ἀληθῶς πολῖταί εἰσι γνήσιοι, καὶ τίνες παρεγγεγραμμένοι.[14] ἔλαβε δὲ ἵνα[15] συνκοφαντήσῃ τὸν Φιλωτάδην, ὅτι οὐ πολίτης. Vat. Laur. Fgmq.

ἀποψηφίσασθαι] ἀντὶ τοῦ ἐκβαλεῖν[16] τοῦ εἶναι αὐτὸν πολίτην καὶ ἀποδοκιμάσαι. Vat. Laur. Fgmq. ἀντὶ τοῦ μὴ ψηφίσασθαι πολίτην. Vat. Laur. gmq.

τοὺς ὅρκιους] Ἀπόλλωνα πατρῷον καὶ Ἀθηνᾶν καὶ Δία, ὥς φησι Δείναρχος ὁ ῥήτωρ. Vat. Laur. Bgm.

115. εἴκοσι μνᾶς] τὸ αὐτό[17] ἐστιν αἱ κ' μναῖ[18] ταῖς δισχιλίαις δραχμαῖς, εἴ γε ἡ μνᾶ ἔχει ἑκατὸν δραχμάς. Vat. Laur. Fgm.

1) ἀναφορικὸν F. 2) ἢ codd. 3) ἐπιδεικτικὸν F. 4) ὡς ἡ Laur. 5) ἐν τῇ om. Laur. 6) ἑνίας Scheibius pro ἔνιοι. 7) κυάμῳ Laur. 8) κληρουμένους m. 9) χειρῶν Vat. Laur. g et pr. m. 10) τῶν Sauppius pro τῶν ὡς. 11) μόνον Scheibius l. l. p. 145. 12) τὸ — ταλάντου habet F ad vv. δισχιλ. δραχμὰς (114). Cetera post vv. ἀπαγόρευσις ἐνταῦθα sic: ὀβολός. ἓξ ὀβολοὶ δραχμή. ἑκατὸν δραχμαὶ μνᾶ. ἑξήκοντα μναῖ τάλαντον. 13) οἷον μὲν Laur. g, οἱ μὲν m. 14) παραγεγραμμένοι Laur. F. 15) μὴ post ἵνα add. Fmq. 16) αὐτὸν post ἐκβαλεῖν add. F. 17) αὐτὸ σέ m. 18) τὸ αὐτὸ — μναῖ om. Laur.

συνθηκῶν] *ἅπερ αὐτὸς ἔγραψε καὶ δέδωκε τούτοις τοῖς δοῦσιν*[1] *αὐτῷ χρήματα συνθέμενος αὐτοῖς, ὅτι καθυφίημι τὸν ἀγῶνα.* Vat. Laur. Fgm.

117. *προδιήγησις*] *οἷον ὥστε*[2] *προδιηγήσασθαι ὑμῖν*[3] *ἅπερ μέλλει λέγειν ὁ Δημοσθένης. περὶ αὐτοῦ γὰρ αἰνίττεται. τέχνας δὲ ἐνταῦθα λέγει τὰς πανουργίας.* Vat. Laur. Fgm.

οὐκ ἐλαχίστους δὲ τῶν] *ψεῦδος.* F.

119. *ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις*] *οἷον ὁ*[4] *ἀκριβὴς καὶ περίεργος. ἢ ὁ πολὺς κατὰ*[5] *σοφίαν, ἵν' ἢ κατ' εἰρωνείαν. ἢ ὁ*[4] *ἁπλοῦς ὢν ἐν τῇ πόλει. ἢ οἷον περιττὰ τῆς προκειμένης ὑποθέσεως ἀεὶ ἐξευρίσκων πρὸς τὸ παραλογίζεσθαι, οἷον*[6] *ὡς ἐν τῷ ἡ τῶν Φιλιππικῶν οὔσης τῆς ὑποθέσεως περὶ τοῦ σῶσαι τὸν Διοπείθην αὐτὸς ἄλλην τινὰ προσεξεῦρε λέγων περὶ Χερσονήσου εἶναι τὸν φόβον. καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, οὔσης περὶ Χαριδήμου, αὐτὸς ἀνεπλάσατο τὴν Χερρόνησον.*[7] Vat. Laur. Fgm.

πωλεῖ] *ἀντὶ τοῦ μισθοῖ*[8] *τοῖς τελώναις, ἵν' αὐτοὶ ἀπαιτήσωσι τοὺς κιναίδους. καὶ πριαμένους πάλιν ἀντὶ τοῦ μισθουμένους παρὰ τῆς πόλεως.*[9] Vat. Laur. BFgm.

ἀντιγράσασθαι] *πρότερον γὰρ κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας.* B. *ἀντὶ τοῦ ἀντικατηγορῆσαι,*[10] *ἐπεὶ*[11] *πρῶτος κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας.* Vat. Laur. Fgmq.

ἐκλέξαντος] *ἀπαιτήσαντος.* B.

121. *ἀπολογίας — παραχωρησάτω*] *τουτέστι μὴ χρησάσθω ταύτῃ τῇ ἀπολογίᾳ* B. *οἷον τὸ*[12] *ἀπαιτεῖν ἡμᾶς αἰσχρὰς τοιαύτας ἀποδείξεις.* Vat. Laur. BFgm.

τόλμησον] *ὁ τοιοῦτος, φησίν, ἄνθρωπος μὴ ἐπερωτάτω ἡμᾶς*[13] *ἀκριβῶς τοὺς τόπους ὅπου ἐπορνεύετο εἰ δυνάμεθα ἀποδεῖξαι, ἀλλὰ ἁπλῶς περὶ αὐτοῦ*[14] *τοῦ πράγματος ἀπολογείσθω καὶ δεικνύτω ὅτι οὐδὲ ὅλως ἐστὶ πόρνος. αἰσχρὸν γὰρ τὸν τοιοῦτον ὑπὲρ ἡμῶν πρεσβείας εἰς τοὺς Ἕλληνας ἀποστέλλοντα περὶ τῶν τόπων ἀλλὰ μὴ περὶ τοῦ πράγματος ὅλου ἀγωνίζεσθαι. οὐκοῦν οὐδενὶ ἂν λόγῳ ἄλλῳ ἀπολογήσαιτο πρὸς ταῦτα οὗτος ἢ ὃν ἐγὼ λέγω. εἶτα ἀποστροφὴ πρὸς ἐκεῖνον καὶ τὰ ἑξῆς.* g.

122. *ἐναπολογήσασθαι*] *ἡ ἐν πρόθεσις ἐπερίσσευσε κατ' Ἀττικὴν συνήθειαν.* Vat. Laur. F.

ἥκω] *τὸ ἥκω ἀντὶ τοῦ ἔρχομαι καὶ ἀντὶ τοῦ ἦλθον.* g.

παραιτησόμενος] *συγγνώμην αἰτήσων, ὡς ὢν τοιοῦτος.* Vat. Laur. Fgm.

ἐπωνωμίας] *προσηγορίας.* F.

123. *οἰκήματα*] *ὅτι οὐκ ἀπὸ τῶν ἐργαστηρίων τοῖς ἀνθρώποις, ἀλλ' ἀπὸ τῶν ἀνδρῶν τοῖς τόποις αἱ ἐπικλήσεις.* Vat. Laur. gm.

1) *δοκοῦσιν* Laur. 2) *ὥστε* om. Laur. 3) *ὑμὶν* om. Laur. 4) *ὁ* bis om. Laur. 5) *τὴν* F. 6) *οἷον* om. Laur. gm. 7) *εἶναι — Χερρόνησον* om. Vat. Laur. gm. 8) *μισθοῖτο* Vat. Laur. m. 9) *π. τῆς πόλεως* om. Fgm. 10) *κατηγορῆσαι* Laur. 11) *ἐπειδὴ* F. 12) *τοῦ* B. 13) *ἡμᾶς φήσειν* g. *φησειν* ex antecedente *φησίν* videtur ortum esse. 14) *αὐτοῦ ὅλου* g. cf. infra *περὶ ὅλου τοῦ πράγματος.*

125. ἥξει] ἐπίλογοί εἰσιν ἐντεῦθεν.[1] q. ὅτι ἐπίλογοί εἰσιν ἐντεῦθεν.[2] ἐξαγώνια γάρ ἐστιν ἃ μέλλει[3] λέγειν. σοφιστοῦ δὲ λέγει ἐνταῦθα τοῦ σοφιζομένου τὴν ἀλήθειαν. πολλὰ γὰρ[4] σημαίνει τοὔνομα. Vat. Laur. Fgm.

Κολωνῷ] δύο εἰσὶ Κολωνοὶ δῆμοι τῆς Ἀττικῆς. καὶ ἐν τῷ μὲν ἐργάται ἦσαν καὶ ἐκέκλητο ἐργατικός, ὁ δὲ ἕτερος ἱππιος. ἄδηλον. οὖν ἐν ὁποτέρῳ Κολωνῷ. Vat. Laur. Fgmq. ἐν δὲ τῷ ἐργατικῷ οἱ[5] ἀγοραῖοι καὶ οἱ μισθαρνοῦντες ἦσαν.[6] Vat. Laur. gm.

Ἀνδοκίδου] Ἀνδοκίδης περὶ τῶν μυστηρίων (§. 62)· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν[7] πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγηὶς ἀνέθηκεν, οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν. B. παρὰ[8] τὴν Ἀνδοκίδου οἰκίαν εὕρηται Ἑρμῆς. γέγονε δ' ἐπίσημος Ἀνδοκίδης, καὶ ἀπ' αὐτοῦ[9] ἐλέχθη Ἀνδοκίδου Ἑρμῆς. διὰ δὲ τὸ πλησίον εἶναι τῆς Ἀνδοκίδου οἰκίας, διὰ τοῦτο[10] αὐτοῦ ὠνομάσθη.[11] Vat. Laur. gm.

126. παραφέρει] παράγει. B.

ἰδίας διατριβὰς] ἰδιωτικὰς συντυχίας. — Βάταλος δὲ ὁ κίναιδος λέγεται. Vat. Laur. Fgmq. Βάταλος δέ τις γέγονεν ἀνὴρ αὐλητὴς ἑταιρικῶς. ἢ οὖν ἐκ τούτου Βάταλος ὁ Δημοσθένης ἐκαλεῖτο, καθότι μεγάλα καθίσματα εἶχεν, ἢ ἐκ τοῦ[12] βαταλίζεσθαι, οἱονεὶ τύπτεσθαι. Vat. Laur. gmq.

γελοῖος] γελοῖος ὁ γελωτοποιός, προπαροξυτόνως[13] δὲ ὁ καταγέλαστος. Vat. Laur. gmq.

εἰ μὴ] ἔξωθεν λάβε· οὐδαμῶς οὖν χρὴ[14] Τίμαρχον ὑπὸ μόνης φήμης ἑταιρήσεως κρίνεσθαι, εἰ μὴ καὶ ἐμὲ καὶ τὰ ἑξῆς. Vat. Laur. gm.

Βάταλον] Αἰσχίνης περὶ παραπρεσβείας (§. 99)· ἐν παιδὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν Βάταλος. B. καταπύγωνα καὶ μαλακόν. ὠνομάσθαι[15] δέ φασιν οἱ μὲν ἀπὸ Βατάλου αὐλητοῦ μαλακοῦ, οἱ δὲ ἀπὸ ποιητοῦ[16] κατεαγότα κρούματα γράφοντος. διόπερ καὶ Δημοσθένη διὰ μαλακίαν οὕτως ὀνομασθῆναι. λελοιδόρηνται γὰρ αὐτῷ πάντες εἰς μαλακίαν. εἰσὶ δ' οἳ βάταλον προσηγόρευον τὸν πρωκτόν· καὶ Δημοσθένην ἐκ μεταφορᾶς διὰ μαλακίαν βάταλον ἐκάλεσαν. αὐτὸς μέντοι ὁ Αἰσχίνης φησὶν ὡς Δημοσθένης ἔλεγεν[17] ὡς ὑποκοριζομένη παιδίον αὐτὸν ὄντα ἡ τιτθὴ οὕτως ἐκάλεσεν. καὶ νῦν δὲ οἱ αὐληταὶ[18] ὑποπόδιον διπλοῦν ὑπὸ τὸν δεξιὸν πόδα ἔχοντες, ὅταν[19] αὐλῶσι, κατακρούουσιν ἅμα τῷ ποδὶ τὸ ὑποπόδιον, τὸν ῥυθμὸν τὸν αὐτὸν[20] συναποδιδόντες, ὃ καλοῦσι βάτα-

1) et 2) ἐντεῦθεν Dindorf. pro ἐνταῦθα. 3) μέλλω Laur. 4) γὰρ om. Laur. 5) οἱ om. Laur. 6) εἱστήκεισαν Laur., ἦσαν post ἀγοραῖοι habet g. 7) παρὰ τὴν om. B. 8) παρὰ Laur., περὶ cett. 9) κ. ἀπ' αὐτ.] ἀπ' αὐτοῦ δὲ g. 10) διὰ τοῦτο Vat. Laur., δι' αὐτὸ cett. 11) ὠνομάσθη Laur., ut coniecit Scheibius l. l. 145, ἐνομίσθη cett. 12) τούτου m. 13) προ a m. sec. habet m. 14) χρὴ om. Laur. 15) ὠνομάσθη gm. 16) ποιητοῦ Βατάλου Vat. Laur. 17) λέγοντος Vat. 18) οἱ αὐληταὶ Meinekius Com. vol. 1 p. 336 pro οἷα καὶ. 19) ὅταν om. Laur. 20) τὸν ῥ. τ. αὐτ.] τῷ ῥυθμῷ τῷ αὐτῷ Vat. Laur. g, τ. ῥυθμὸν τὸ αὐτὸ m.

λον. δοκεῖ δέ μοι λελέχθαι Βάταλος[1] παρὰ τὸ Εὐπόλιδος σκῶμμα· ἐκεῖνος γὰρ τὸ τῶν Βατάλων ὄνομα[2] κεῖσθαι τοῖς αἰσχροῖς καὶ τὸν πρωκτὸν[3] βάταλον ὑπ' αὐτῶν καλεῖσθαι. Vat. Laur. gm.

τιτθῆς] τιτθὴ ἡ τροφὸς, τήθη ἡ μάμμη, τηθὶς ἡ θεία. Vat. Laur. gm.

127. πλανᾶται] περιέρχεται. Laur.

128. Φήμης] Ἀθήνησίν ἐστι βωμὸς Φήμης. Vat. Laur. mq. Ἄλλως.[4] Κίμωνος ἐν Παμφυλίᾳ νικήσαντος ναυμαχίαν καὶ πεζομαχίαν αὐθημερὸν[5] ἔγνωσαν Ἀθηναῖοι, ὡς ὕστερον[6] αὐτοῦ διὰ γραμμάτων τὴν νίκην σημήναντος·[7] ὅθεν πρῶτον καὶ βωμὸν τῇ Φήμῃ ὡς θεῷ ἀνιδρύσαντο. Vat. Laur. gmq.

130. ἐπισκήψασθαι] οἱονεὶ ἐξενεγκεῖν ψῆφον. Vat. Laur. Fgmq.

131. κομψᾷ] ἀντὶ τοῦ τὰ τρυφερὰ καὶ μαλακὰ καὶ πολυτελῆ. Vat. Laur. gmq.

χιτωνίσκους] οἱονεὶ κολοβίωνας γυναικοπρεπεῖς. χλανίσκια δὲ τρίβωνας. Vat. Laur. Fgmq.

132. ὑπτιάζων] γαυριῶν καὶ ὑπερηφανευόμενος. Vat. Laur. Fgm.

κατασκοπούμενος] ὅπερ συμβαίνει τοῖς ἀλαζόσιν. Vat. Laur. Fgm.

τὴν ὅλην ἔνστασιν] οἱονεὶ αὐτὴν τὴν ὅλην[8] ὑπόθεσιν καὶ τὴν αἰτίαν τοῦ λόγου. Vat. Laur. BFgm.

παραφέρων] παράγων. B.

133. συμφορὰν] οἷον τιμωρίαν προξενοῦσαν[9] τοῖς κεκτημένοις. Vat. Laur. Fgmq.

135. ἐκ τοῦ πράγματος] ἐκ τοῦ μάχεσθαι πρὸς τοὺς ἀντεραστάς. Vat. Laur. Fgmq.

137. ἀδιαφθόρως] ἤγουν ἀδωροδοκήτως,[10] πρὸς ἀντιδιαστολὴν τοῦ λαβεῖν χρήματα δι' αἰσχρότητα. Vat. Laur. Fgmq.

ἐπαρθέντα] ἀντὶ τοῦ ἀναπεισθέντα. Vat. Laur. BFgm.

138. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. Ἄλλως. τὸ ἐξ ἐλαίου ἀλείφειν τὸ σῶμα ὅπερ εἰώθασι ποιεῖν οἱ γυμναζόμενοι. B. ἀντὶ[11] τοῦ ἐλαίῳ[12] ἀλείφειν τὸ σῶμα. Vat. Laur. gm. Ἄλλως.[13] ξηροτριβεῖσθαι μὲν[14] πρότερον, ἀλείφεσθαι δὲ ὕστερον, ὡς ἀσκητῶν ἴδιον[15] ὄν. Vat. Laur. gmq. Ἄλλως.[16] ξηροτριβεῖσθαι· ὃ καὶ ἔτι νῦν γίνεται.[17] ταῖς χερσὶ γάρ[18] τινες ἔλαιον λαμβάνοντες εὐτόνως

1) *βάταλον* g. 2) *τὸ τῶν βατ. ὀνόμ.*] *βα* ..... Laur., *ὑπὸ τῶν βαπτῶν ὀνόματα* cett., quae correxit Meinek. 3) *τὸν πρωκτὸν* Sauppius collato Harpocr. s. v. *Βάταλος*. *τίγρωνον* Vat., *τιγράνην* cett. 4) *ἄλλως* habent Vat. Laur. 5) *αὐθημερὸν* Laur., *αὐθημερεὶ* Vat. q, *αὐθ.* om. gm. 6) *ὡς ὕστερ.* Vat. Laur. g, *τοῖς ὕστ.* Scheibius l. l., *ὕστερον ὡς* mq, *ὕστερον* Sauppius. 7) *σημῆναι* Scheibius l. l. 8) *ὅλην* ante *τὴν* pon. BF. 9) *προξενοῦσι* Laur. F. 10) *ἤγουν ἀδ.* om. Vat. Laur. Fg. 11) *ἐκ* Vat. Laur. 12) *ἐλαίῳ* pro *ἐλαίου* scripsit Frankius. 13) *ἄλλως* habent Vat. Laur. g. 14) *ξ. μὲν*] *ξηροτριβομένοις* Vat. Laur. gm, *ξηροτριβομένου* q. Sauppius coni.: *ξηροτριβεῖσθαι μὲν οὖν.* 15) *τοῦτο* mq, *ἰδίου* Vat. 16) *ἄλλως* om. m. 17) *ἔτι — γίνεται* Sauppius pro *ἔστι — γίνεσθαι* (gm). 18) *γὰρ* om. m.

τρίβονται[1] καὶ σχηματίζονται[2] τὸ σῶμα γαύρως. τάχα οὖν διὰ τοῦτο[3] οὐκ ἐπέτρεψε τοῖς δούλοις.[4] Vat. Laur. gm.

τούτῳ αὐτῷ] κατ'[5] ἀμφιβολίαν ἀπὸ τοῦ ἐναντίου. Vat. Laur. gm. οἷον[6] διὰ τὴν ἐναντιότητα.[7] Vat. Laur. Fgm.

139. δημοσίᾳ] οἱ δημόσιοι δοῦλοι ἦσαν ταύτην τὴν πρᾶξιν ἐγχειρούμενοι. Vat. Laur. Fgm.

σωφρονίζει] πῶς σωφρονίζει; τῷ μὴ διδόναι ἄδειαν αὐτῷ διαλέγεσθαι τῷ παιδί. Vat. Laur. gmq.

140. εἴτε ἔρωτα] εἴτε ἔρως εἴτε τρόπος δέον εἰπεῖν. πρὸς τὸ προσειπεῖν τὴν αἰτιατικὴν ἐποίησεν.[8] q.

141. ἐπειδὴ δὲ] ἐνταῦθα συγκρούει αὐτὸν τοῖς δικασταῖς. Vat. Laur. gm.

λέξομεν — ἡμεῖς] πληθυντικῶς εἶπε, δέον ἑνικῶς. ἀδιάφορον κατὰ παλαιὰν συνήθειαν. φιλόσοφον δέ φησι τὸν Ὅμηρον διὰ τὸ παντοδαπὸν τῆς ὠφελείας τῆς ποιήσεως αὐτοῦ. Vat. Laur. Fgm. φανερὸν δὲ ὅτι ἐκ παλαιοῦ φιλόσοφοι ἐλέγοντο οἱ ποιηταί. Vat. Laur. gm. κοινοποιεῖ ἑαυτὸν τοῖς δικασταῖς εἰς πλείω καταφορὰν ἐκείνου Vat.

143. εἰ συμπέμψειεν — Τροίαν] ἐμοὶ δοκεῖ λέγειν· εἰ συμπέρσειεν αὐτῷ τὴν Τροίαν. g.

144. Ὀπόεντα] ἰωνικῇ ἐκτάσει τὴν Ὀπόεντα, ἤτοι τὴν Ὀποῦντα· κλίνεται δὲ ἡ Ὀποῦς, τῆς Ὀποῦντος. g.

ἐρεύθειν] φοινίζειν τῷ αἵματι. Laur. g.

148. εἶμ] τὸ εἶμι ἀντὶ τοῦ πορεύσομαί ἐστιν· εἰ γὰρ καὶ ἐνεστὼς εἶναι δοκεῖ, ἀλλὰ σημασίαν ἔχει μέλλοντος. g.

τεύχεα καὶ κεφαλὴν] ἤγουν αὐτὸν τὸν Ἕκτορα· ἀπὸ μέρους τὸ πᾶν, ὥσπερ ἀλλαχοῦ λέγεται· εὗρε βίην δ' Ὀδυσσῆος ἀντὶ τοῦ αὐτὸν τὸν Ὀδυσσέα. g.

149. εὐηγενέων] ἤγουν τῶν καλὰ γένη ἐχόντων. q.

ἐνθυκέως] ἤγουν ἐπιμελῶς. q.

156. Περιθοίδην] δῆμος Περιθοίδης.[9] Laur. q.

157. Τιμαρχώδεις] τοῦτο Παρμένων ὁ κωμικὸς ἔσκωψεν εἰς Τίμαρχον τοῦτον τὸν ῥήτορα. ἦν δὲ καὶ[10] ἕτερος Τίμαρχος Τισίου μὲν υἱὸς τοῦ Ῥαμνουσίου, Ἰφικράτους δὲ ἀδελφιδοῦς τοῦ στρατηγοῦ.[11] Vat. Laur. gm.

ἐν Κολλυτῷ] ἐνὶ τῶν δήμων. F.

κατ' αὐτῶν] ἀντὶ τοῦ περὶ αὐτῶν, ὥσπερ[12] καὶ ἐν τοῖς Φιλιππικοῖς (or. 6 §. 9 p. 68, 3) „ὅπερ ἐστὶ μέγιστον καθ' ὑμῶν[13] ἐγκώμιον" ἀντὶ τοῦ περὶ ὑμῶν. Vat. Laur. BFgmq.

158. ὧν ἥκιστα] ὧν ἐλάχιστα, ἀντὶ τοῦ ὧν οὐδὲ ὅλως μοι μέλει. Vat. Laur. gmq. Ἄλλως.[14] τοὺς πολλοὺς[15] παρήσω τῶν αἰσχρῶν,

1) τρίβονται g, τρίβεσθαι cett. 2) καὶ σχηματίζοντας Vat. Laur. g, σχηματίζοντες m. cf. etiam Scheibius l. l. 3) γὰρ add. post τοῦτο g. 4) δούλοις Frankius pro φίλοις. 5) Ἄλλως. κατ' Vat. Laur. 6) ὅρον F. 7) τῆς ἐναντιότητος F. 8) ἐποίησεν Sauppius pro ἐποίησαν. 9) Περιθώδης q. 10) καὶ om. Laur. 11) Ῥαμνουσίου gm. 12) ὡς F. 13) ἡμῶν Laur. g. 14) ἄλλως om. gm. 15) ἄλλους Laur.

φεύγων τὰς ἀπεχθείας αὐτῶν, ἐκείνων δὲ ἐξ αὐτῶν μνησθήσομαι, ὧν οὐδέν μοι μέλει. τοῦτο δὲ εἶπεν ἴσως διὰ τοὺς πλουσίους, δεδιὼς αὐτῶν τὸ δυνατόν. Vat. Laur. Fgm.

ἐδυσχέραινεν] ἐμίσει. F.

τίς γὰρ ὑμῶν] πικρὸν καὶ δριμύ. q.

παρήδρευεν] ἑκάστῳ ἄρχοντι συναιρεῖται πάρεδρος πρὸς τὸ φυλάττειν τὰ πράγματα. Vat. Laur. gmq.

159. οὐκοῦν μὴ] ὡς τῶν δικαστῶν ἀποκριναμένων·[1] εἰς τοὺς πεπορνευμένους, οὕτως ἀπήντησεν. Vat. Laur. gm.

συμμορίαν] τὴν τῶν ἡταιρηκότων τάξιν. Vat. Laur. gm.

αὐτομολήσῃς] μεταφορὰ ἀπὸ τῶν ἐν τῇ συμμαχίᾳ ἢ πολέμῳ τοὺς ἰδίους λιπόντων καὶ προδόντων καὶ πρὸς αντιπάλους ἐλθόντων. τοῦτο γὰρ λέγεται κυρίως αὐτομολεῖν. B.

160. ὅπως ἂν] εἴτε κατὰ[2] γραμματεῖον πεποίηκεν εἴτε[3] μή. Vat. Laur. gmq.

ἀπέστη τῆς — φιλοτιμίας] ὅ ἐστιν ἐν δευτέρῳ ἔθετο τὰ τῆς δόξης καὶ ἀρετῆς. Vat. Laur. Fgmq.

ἐπίτιμον] ἔντιμον, ἔνδοξον.[4] Vat. Laur. gm.

162. ὁ τὴν ἡλικίαν προλαβὼν] ἀντὶ τοῦ ὁ πρεσβύτερος. Laur. Bgm. καὶ[5] γὰρ ἐπὶ πολὺ τῶν νεωτέρων ἑαυτῶν[6] ἐρῶσιν ἄνθρωποι. Vat. Laur. gm.

163. τὸν τοιοῦτον] τὸν[7] μισθωθέντα ἐπὶ τῷ[8] ἑταιρεῖν. Vat. Fgmq.

ὁ μισθούμενος] ἀντὶ τοῦ ὁ μισθωσάμενος. Vat. Laur. Fgm.

ἐπωβελίαν] ἐπωβελία ἐπίτιμόν ἐστι τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας[9] καὶ μὴ ἑλόντες, αὐτοῖς τοῖς γραφεῖσιν.[10] B. (cf. Suid. s. v. ἐπωβελία). οἱονεὶ τὸ ἕκτον μέρος τῆς καταδίκης,[11] ὃ ἐδίδου μὴ ἀποδείξας ὁ κατήγορος περὶ χρέους[12] ἐνάγων, ὁ δὲ παρανόμων κατηγορῶν μὴ ἀποδεικνὺς τὰς χιλίας προσώφειλεν.[13] Vat. Laur. Fgm. ἐπωβελία οὖν τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ προσώφειλεν[14] ὁ ἀλούς. ἐνομοθέτησε δὲ τοῦτο ὁ Ἀρχῖνος ἐγγράψας τῷ νόμῳ τὰ μὲν πρυτανεῖα εἶναι τοῖς δικασταῖς παρὰ τοῦ ἁλόντος, ὅ ἐστιν ἐπιδέκατον τοῦ τιμήματος, τὴν δὲ ἐπωβελίαν τῷ δημοσίῳ παρὰ τοῦ μὴ ἑλόντος. Vat. Laur. gmq. Ἄλλως. ἐπωβελία τοῦ τιμήματος τῆς δίκης ἐστὶ κατὰ δραχμὴν ὀβολὸς[15] ἢ ὁποσονοῦν. τοῦτο ἐπωβελία λέγεται,[16] ἣν τῷ δικαστηρίῳ δίδωσιν ὁ ὀφλών. Vat. Laur. gm.

164. σοφὸς] ὁ πανοῦργος καὶ δόλιος καὶ πολυμήχανος καὶ δεινός. B.

οὐ πολλὴ ὀργή. F.

στεφανοῖ] ἀντὶ τοῦ μέλλεις[17] στεφανοῦσθαι. Vat. Laur. Fgm.

1) ἀποκρινομένων m. 2) κατὰ om. Laur. 3) εἴτε καὶ Vat. Laur. 4) ἐν δόξῃ Laur. 5) ὡς Vat. 6) νεωτέρων ἑαυτῶν Scheibius l. l., ἐν αὐτοῖς νεωτέρων Vat., ἑαυτοῖς νεωτ. cett. 7) ἤγουν τὸν mq. 8) τὸ Fm. 9) τινας Suidas. τινα B. 10) γραφείοις B. 11) δίκης Vat. Laur. gm. 12) χρήσεως gm. 13) προσώφειλεν F Vat. Laur., προσόφλει gm, προσῶφλεν Reiskius. 14) ἐπωβελία — προσώφειλεν om. Laur. 15) ὀβολὸν gm. 16) καλεῖται Laur. 17) μέλλει Fm.

ὁ γὰρ εἰς ἀρχὴν καθιστάμενος ἐστεφανοῦτο. ἢ θύων. Vat. Laur. gm.

χρὴ ποιεῖν] οἷον τοῖς ἐλευθέροις. F.

166. παρεμβολαὶ] παρεμβολὴ ἡ τῶν ὁμοίων παρένθεσις. μεταφορὰ ἀπὸ τῶν στρατηγικῶν καὶ πολεμικῶν. B.

πολὺς] πολλὴν τοῦ Φιλίππου μνείαν ποιήσει. ἢ οὕτω· πολὺν περὶ Φιλίππου ποιήσει λόγον. B.

168. ἀντικρούσεις πρὸς ἕτερον παῖδα] οἷον πρὸς κῶλά τινα καὶ ᾄσματα. Vat. Laur. Fgmq.

169. τὴν τῶν λόγων εὐφημίαν] ἐπειδὴ ὑπισχνεῖται[1] ἡμῖν ἀγαθὰ[2] ποιήσειν πολλά, ὡς δῆλον ἐκ τούτου, ὅτι οὔπω ἦν γεγενημένη[3] ἡ τρίτη πρεσβεία οὐδὲ κατασκαφέντες οἱ Φωκεῖς. μετὰ γὰρ τὴν δευτέραν πρεσβείαν εὐθὺς ἐγένετο ἡ κατηγορία ὑπὸ Τιμάρχου καὶ Δημοσθένους κατ' Αἰσχίνου ὡς παραπρεσβεύσαντος. Vat. Laur. Fgm. ὡς ὑπεσχημένου τινὰς ὑποσχέσεις τοῖς Ἀθηναίοις τοῦ Φιλίππου χρηστάς. Vat. Laur. gm.

171. μέγα φρονοῦσα] ἀντὶ τοῦ πλέον ζητοῦσα τοῦ δέοντος φρονεῖν. Vat. Laur. Fgm.

διεχείριζε] διῴκει. F.

Ἀρίσταρχος] περὶ τούτου πολὺς λόγος ἐν τῷ κατὰ Μειδίου λόγῳ. B. τούτου Δημοσθένης ἑταῖρος ἦν. φασὶ δ' ὡς λαβὼν[4] παρ' αὐτοῦ φεύγοντος ἐπὶ φόνῳ παρακαταθήκην τρία τάλαντα, ταῦτα ἀπεστέρησεν. δύο δὲ φόνους ἔδρασεν ὁ Ἀρίσταρχος, πρότερον μὲν Νικόδημον, αὖθις δὲ Εὔβουλον ἀνελών. Vat. Laur. gm.

εἰς τὴν φιλανθρωπίαν] εἰς τὸ προσποιεῖσθαι αὐτοῦ εἶναι φίλος.[5] Vat. Laur. Fgm.

κατάλογον] ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων. m.

172. φεύγει] καθὸ ἐφόνευσε τὸν Νικόδημον. Vat. Laur. Fgm.

προλαβών] ἀντὶ τοῦ ἁρπάξας, καθὸ φεύγων κατέλειψεν αὐτῷ τρία τάλαντα, ὥστε ἀπαιτῆσαι χρεωστούμενα[6] καὶ πέμψαι αὐτῷ ἐν τῇ φυγῇ. καὶ οὐκ ἔπεμψεν. Vat. Laur. Fgmq.

Νικόδημος] κατὰ τοῦ κοινοῦ τὸ ἐξ ὧν. Vat. Laur. gm.

ἔπειθ' ὑμεῖς Σωκράτην] ψεῦδος. F.

173. Κριτίαν] Κριτίας Σωκρατικὸς ἀνὴρ εἷς τῶν λ'.[7] Vat. Laur. gm.

ἑταίρους ἐξαιτήσεται] ἀντὶ τοῦ φίλους σώσει. Vat. Laur. Fmq.

ἰσηγορίας] ἰσολογίας. m. ὡς ἐν δημοκρατίᾳ ἔχων ἰσηγορίαν ἠναντιοῦτο οὕτω κακῶς πολιτευομένῳ.[8] Vat. Fgmq.

ἐργολαβῶν] οἱονεὶ περιττὰ ποιῶν καὶ οἱονεὶ διὰ[9] τούτων τῶν ῥημάτων ὥσπερ προξενῶν ἑαυτῷ πλείονας μαθητάς. Vat. Laur. Fm.

ἀντὶ τοῦ κέρδη περιποιούμενος] οἱ γὰρ μαθηταὶ αὐτοῦ μισθοὺς

1) ὑπισχνεῖτο m. 2) ἀγ. ante ἡμῖν pon. gm. 3) γενομένη gm. 4) φασὶ — λαβὼν] λαβὼν δ' ὡς φασι g. 5) φίλους Vat. m, φίλον F. 6) χρεωστουμένῳ g. 7) εἷς τῶν λ' Scheibius, εἷς τῶν πολιτῶν libri (fort. lemma ad §. 182). 8) πολιτευομένους m, πολιτευόμενος q. 9) περὶ Vat. Laur. g.

αὐτῷ διδόασιν. ἐφ' [1] *ὑμᾶς δὲ* [2] *ἀντὶ τοῦ καθ' ὑμῶν.* [3] Vat. Laur. gm.

174. *παρεμβάλλων*] *ἀντὶ τοῦ φαυλίζων.* Laur. F.

175. *διατριβήν*] *ἀντὶ τοῦ πρόφασιν τοῦ ἔχειν πολλοὺς μαθητάς.* Vat. Laur. Fgmq.

176. *προαισθάνεσθαι*] *πάνυ δεινῶς. ἐπειδὴ γὰρ ἁμάρτυρός ἐστιν ὁ ἀγών, διὰ τοῦτό φησι τὸ προαισθάνεσθαι.* Vat. Laur. gmq.

177. *τῆς πόλεως*] *ἤγουν τῶν νόμων.* q.

ἐπιπλήξεις] *ἤγουν ὀβελισμούς.* q.

179. *ἐφ' ἑτέρων*] *πραγμάτων δηλονότι.* Vat. Laur. gq.

οὐδὲ παρ' ἑτέρου] *ταυτέστι παρ' οὐδετέρου.* B.

180. *καλὸν δ' ἐστὶ*] *τοῦτο καλεῖται ἐπιδιόρθωσις.* Vat. Laur. gmq. *φοβηθεὶς γὰρ τὸ* [4] *εἰπεῖν ἀλλ' οὐ Λακεδαιμόνιοι, χείρους γὰρ αὐτοὺς ἐκείνων ἐποίει, λύει τὸ ἀντιπίπτον καί φησι· δέχομαι τὸ κέρδος οὐ διακρινων τὸ πόθεν.* Vat. Laur. gm.

γερόντων] *ἕνα λέγει* [5] *τῶν εἴκοσι ὀκτώ.* Vat. Laur. Fgmq.

ἀρχήν] *καθὸ ἡ* [6] *γερόντων ἀρχὴ ἐλέγετο* [7] *γερουσία.* [8] Vat. Laur. Fgmq.

καθιστᾶσι] *τοῦτο πρὸς τὸν Τίμαρχον εἶπεν. ἐπειδὴ γὰρ εἶπε γέροντας, ἦν δὲ καὶ ὁ Τίμαρχος γέρων, διὰ τοῦτό φησι· καθιστᾶσι δὲ αὐτούς.* Vat. Laur. gmq.

181. *ὑποδεδειλιακότων*] *ὑποδεδειλιακότας καλεῖ τοὺς κακῶς ζήσαντας, καθὸ ἐν δέει οὗτοι ζῶσιν ὑποπτεύοντες ἀεὶ τιμωρίαν.* Vat. Laur. Fgmq.

182. *χαλεποὶ*] *οὕτω, φησίν, ἐλυποῦντο ἐπὶ τῷ* [9] *θεωρεῖν τινας αἰσχύνης ἄξια τῆς πόλεως πραττομένους.* [10] Vat. Laur. Fgmq.

ἀνὴρ εἷς τῶν πολιτῶν] *Ἱππομένης ἀπὸ Κόδρου καταγόμενος. ἡ δὲ θυγάτηρ Λειμωνίς.* [11] *οὕτω Καλλίμαχος.* Vat. Laur. Bgmq.

ἡλικίαν] *πάλιν* [12] *τὴν νεότητα λέγει ἡλικίαν.* [13] Vat. Laur. Fgm.

ἐγκατῳκοδόμησεν] *ἀντὶ τοῦ ἐν οἰκήματί τινι ἀπέφραξεν.* [14] Vat. Laur. BFgm. *Ἱππομένης* [15] *γὰρ τὸ μὲν γένος τῶν Κοδριδῶν, βασιλεὺς δὲ Ἀθηναίων, λαβὼν ἐπὶ τῇ θυγατρὶ μοιχὸν τοῦτον μὲν αἰκισάμενος ἀπέκτεινε, τὴν δὲ θυγατέρα καθεῖρξεν ἐν οἰκήματι μεθ' ἵππου. ὁ δὲ λιμώττων κατέφαγε τὴν ἄνθρωπον, καὶ ὕστερον καὶ αὐτὸς ὑπὸ λιμοῦ* [16] *ἀπώλετο.* [17] Vat. Laur. Bgm. *καλεῖται δ' ἔτι καὶ νῦν ὁ τόπος ἐν ᾧ καθείρχθησαν Παρ' ἵππον καὶ κόραν.* Vat. Laur. gm.

παρ' ἵππον καὶ κόραν] *ἴσως ἐκαλεῖτο ἱπποκόρειον.* B.

ἀρχαίως] *κοσμίως.* F.

183. *δημοτελῆ*] *τὰ δημόσια. ἦσαν γὰρ καὶ ἰδιωτικὰ ἐν τοῖς οἴκοις τοῖς ἰδίοις, ὧν οὐκ ἀπείργοντο.* Vat. Laur. gm.

1) *ἄλλως* add. ante *ἐφ'* Vat. Laur. g. 2) *δὲ* om. F. 3) vv. *ἐφ' ὑμᾶς — καθ' ὑμῶν*, quae in libris post *περιποιούμ.* leguntur, Dind. huc transposuit. 4) *τὸ* om. Laur. 5) *ἕνα λέγει*] *ἵνα λέγῃ* Vat. Laur., *ἐναλλαγὴ* F. 6) *ἡ* om. Laur. 7) *λέγεται* Fq. 8) *ἡ γερ.* F. 9) *ἐπὶ τῷ* Scheibius, *εἰς τὸ* libri. 10) *διαπραττομένους* F. 11) *λιμωνὶς* gm. 12) *πάλιν* om. Vat. 13) *λέγει ἡλικίαν* om. Vat. Laur. g. 14) *ἐγκατέφραξεν* B. 15) *μὲν* post *Ἱππομ.* add. Laur. 16) *ὑ. λιμοῦ* ante *αὐτὸς* pon. Laur. 17) *ἀπέθανεν* Bm.

ἀνάπηρον] *βεβλαμμένην ποιῆσαι.*[1] *ἐπίτασιν δὲ σημαίνει ἡ ἀνά.*[2] Vat. Laur. F. *Ὁ μέλος τι βλαβείς, τυχὸν ἢ ὀφθαλμὸν ἢ χεῖρα ἢ πόδα ἀποβαλὼν ἤ τι τοιοῦτο.* Vat. gm.

184. *ὀκνούντων*] *ἢ ἀλευομένων.* Laur.

187. *ὅταν οἱ τὴν —*] *ὅταν οἱ δικασταὶ προσκέωνται*[3] *τοῖς πόρνοις καὶ ἐν αἰσχύνῃ ζῶσιν.* Vat. Laur. Fgmq.

188. *θαυμάζω*] *ἀντὶ τοῦ καταγιγνώσκω, καθὰ πρὸς γενικὴν φέρεται.* Vat. Laur. gm.

ταῖς Σεμναῖς] *τρεῖς ἦσαν,*[4] *ὧν τὰς μὲν δύο τὰς ἑκατέρωθεν Σκόπας*[5] *ὁ Πάριος πεποίηκεν ἐκ τῆς*[6] *λυχνίτου λίθου, τὴν δὲ μέσην Κάλαμις.*[7] *οἱ δὲ Ἀρεοπαγῖται τρεῖς που*[8] *τοῦ μηνὸς ἡμέρας τὰς φονικὰς δίκας ἐδίκαζον*[9] *ἑκάστῃ τῶν θεῶν μίαν ἡμέραν ἀπονέμοντες. ἦν δὲ τὰ πεμπόμενα αὐταῖς ἱερὰ πόπανα καὶ γάλα ἐν ἄγγεσι κεραμείοις.*[10] *φασὶ μέντοι αὐτὰς οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότους καὶ Εὐωνύμης,*[11] *ἣν καὶ Γῆν ὀνομάζεσθαι. κληθῆναι δὲ Εὐμενίδας ἐπιηρέστερον*[12] *πρῶτον*[13] *Ἐρινύας*[14] *καλουμένας.* Vat. Laur. gmq.

ἐπιγραφομένων] *ἐγράφετο γὰρ ἐν τοῖς ψηφίσμασιν, ὃ δεῖνα*[15] *εἶπεν, Αἰσχίνης ἢ Τίμαρχος ἤ τις ἕτερος.* Vat. q.

189. *ὃ γὰρ περὶ τῶν —*] *ὁ γὰρ ὑπεριδὼν τοὺς νόμους τοὺς κειμένους περὶ τῶν μεγίστων πραγμάτων καὶ τὴν σωφροσύνην ὥσπερ ἐν ἕξει τινὶ γίνεται τοῦ ἀδικεῖν, καὶ τὰ ἑξῆς.* F.

190. *ἀνατετροφότας*] *ἀπὸ τοῦ ἀνατρέπω. καὶ Ἀριστοφάνης* (nub. 856) „*τὰς δ' ἐμβάδας πῇ τέτροφας, ἀνόητε σύ; ἦγουν ἔρριψας, ἀπώλεσας.* q.

191. *μηδὲν ἱκανὸν ἡγεῖσθαι*] *ἀντὶ τοῦ μηδενὶ*[16] *ἀρκεῖσθαι διὰ τὴν ἀσωτίαν.* Vat. Laur. gm.

ἐπακτροκέλητα] *κέλης καὶ ἐπακτρὶς εἴδη πλοίων εἰσίν. καὶ ἐξ αὐτῶν σύνθετον ἐπακτροκέλης, ληστρικὸν πλοῖον.* Vat. Laur. gmq. *Ἄλλως.*[17] *πλοιάριον ληστρικόν. εἴρηται δὲ*[18] *οὕτω παρὰ τὸν κέλητα, ὅπερ ἐστὶν εἶδος πλοίου μικροῦ, ὡς ἔγνωμεν ἐν τῇ α'*[19] *Θουκυδίδου καὶ τὴν ἐπακτρίδα ἥτις ἐστὶ πάλιν εἶδος πλοίου μᾶλλον ληστρικοῦ.* Vat. Laur. Fgm.

192. *ἐπαρεῖ*] *ἐρεθίσει, προτρέψεται.*[20] Vat. Laur. gmq.

ὁ καιρὸς] *οἱονεὶ τὸ μὴ*[21] *γενέσθαι πολλοὺς τοιούτους.* Vat. Laur. Fgm.

193. *ἀποσκήψατε*] *τὴν ὀργὴν συνεσβάλλετε.* B. *ἤγουν δίκην κε-*

1) *β. π.*] *βεβλαμμένον τὸ σῶμα.* F. 2) *ἐπίτ. — ἀνά*] *ἐπί τισι δὲ σημ. τὸ ἀνά ἐν τούτῳ* F. 3) *προσκέωνται* Scheibius, *πρόσκεινται* libri. 4) *αὗται αἱ λεγόμεναι σεμναὶ θεαὶ ἢ εὐμενίδες ἢ ἐριννύες* add. q. 5) *σκοπᾶς* q. 6) *τοῦ* Baiterus. 7) *καμὶς* Laur. 8) *που* om. q. 9) *τὰς φον. δίκας ἐδίκ.*] *τὰς δίκας ἐδίκ. τ. φονικὰς* m. 10) *κεραμικοῖς* mq. 11) *εὐωνύμου* q. 12) *ἐπιηρέστερον* de coni., *ἐπιηρα* Vat., *ἐπὶ ὀρέστου* cett. 13) *πρότερον* q. 14) *ἐριννύας* scribebatur ante Dind. 15) *δεῖνα* om. Vat. 16) *οὐδενὶ* gm. 17) *ἄλλως* add. Vat. Laur. g. 18) *δὲ* om. F. 19) *τῇ β'* F. „Neuter numerus recte habere videtur. Cf. Thuc. 4, 9. 8, 15." Dind. *τῷ α'* m. 20) *τρέψεται* Laur. 21) *μὴ* delevit Sauppius.

ραυνοῦ ἐνεπέσετε καὶ οἱονεὶ ἐξαγάγετε τὴν ὁρμήν. q. οἷον[1] ἐγκατασκήψατε[2] καὶ ἐξαγάγετε[3] τὴν[4] ὁρμήν. Vat. Laur. Fgm.

194. βοηθείαις] ταῖς ἐπὶ τῶν δικαστηρίων δυνάμεσι. q.

τινες] οἱ πάσχοντες δηλονότι. q.

ἐξαμαρτάνωσιν] ἀντὶ τοῦ πάσχωσιν αἰσχρῶς. ὑποκατιὼν γὰρ καὶ περὶ τῶν ποιούντων λέγει. Vat. Laur. Fgm.

195. ὁ νόμος] ἀληθὲς τοῦτο· φησὶ γὰρ καὶ Λυκοῦργος δοκιμάζεσθαι δεῖν οὐ πάντας ἐπὶ τῷ ἑταιρῆσαι, ἀλλὰ τοὺς πολιτευομένους. ῥήτορας καὶ τὰ ψηφίσματα γράφοντας. Vat. Laur. Bgm.

τοὺς δὲ τῶν νέων] ἰδοὺ ἐνταῦθα περὶ τῶν ποιούντων[5] λέγει. ἡ δὲ σύνταξις οὕτως ἔχει· τοὺς δὲ τῶν νέων[6] θηρευτὰς, ὅσαι ἐξ αὐτῶν ῥᾳδίως τούτῳ τῷ νοσήματι[7] ἁλίσκονται, αὐτοὺς κελεύετε τρέπεσθαι εἰς τοὺς μετοίκους. καθ' ὑπόθεσιν δὲ ὁ λόγος, ὡσανεὶ ἔλεγεν· εἰ δεῖ συγχωρεῖν τοῦτο ὅλως γίνεσθαι, εἰς τοὺς μετοίκους, ἀλλὰ[8] μὴ εἰς τοὺς πολίτας. Vat. Laur. Fgmq. τὸ δὲ ἁλίσκονται ἀντὶ τοῦ εὐχερεῖς εἰσιν εἰς τὸ[9] ἐρᾶν. Vat. Laur. B[10] gmq.

196. εἰ οὖν βουλήσεσθε κ. τ. λ.] λείπει ταῦτα ἔν τινι τῶν ἀντιγράφων. B.

1) οἷον om. F. 2) κατασκήψατε g. 3) προσαγάγετε F, ἐξάγετε m. 4) τὴν om. F. 5) τοιούτων Vat. g. 6) νεωτέρων Laur. 7) τούτῳ τ. ν.] τῷ νοσήματι τούτῳ F. 8) ἄρα Vat. F. 9) εἰς τὸ om. gm. 10) In B ad ὅσοι — ἁλίσκονται leguntur vv. τοὺς εὐχερεῖς εἰς τὸ ἐρᾶν.

II. *ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.*

1. *τὰς τέχνας*] *τὰ μετ' αὐξήσεως εἰρημένα συκοφαντήματα.* Vat. Laur. gm.

2. *ταῦτ' εἶπεν*] *τοῦτο λέγει, ὅτι συνειδὼς ἑαυτῷ ψευδομένῳ οὐ δύναται ὀργίζεσθαι· τότε γάρ τις ὀργίζεται, ὅταν αἰσθάνηται τὴν ἀληθῆ*[1] *ἀδικίαν.* Vat. Laur. Bgim.

οὐδεὶς γὰρ] *ἀντὶ τοῦ οὔτε*[2] *οἱ τἀληθῆ λέγοντες οὔτε*[2] *οἱ τὰ ψευδῆ.* Vat. Laur. BFgim. *ἴσασι γὰρ εἴτε*[3] *ἀληθῆ εἴτε ψευδῆ*[4] *λέγουσιν, ὅτι*[5] *οὐδὲν αὐτοῖς ἐντεῦθεν ὄφελος.* Vat. Laur. Bgim.

3. *οὕτω*] *ὥστε δικαιοπραγεῖν καὶ μὴ συκοφαντεῖν.* Vat. Laur. gm.

τὴν ὑμετέραν ὀργὴν] *εἰς ὀργὴν ὑμᾶς μόνον κινῆσαι θέλει.* Vat. Laur. m.

ἀπίθανος ὢν] *οὐ πιστὸς ὤν, μὴ δυνάμενος πεῖσαι. τοὐναντίον δὲ βούλεται λέγειν, ὅτι γνώριμος ὢν ἐπὶ τῇ αἰτίᾳ ταύτῃ καὶ ὁμολογουμένως δωροδόκος.* Vat. Laur. Bgim. *ἢ οὕτως· ἀπιθάνως τοιαύτην ὑποψίαν ἐμοὶ ἐπιφέρων.* B.

4. *ψυχαγωγηθέντες*] *ἀντὶ τοῦ ἀπατηθέντες ὑπὸ τῆς ἡδονῆς.* Vat. Laur. Fgi. *τουτέστι*[6] *τῇ τῶν λόγων αὐτοῦ*[7] *ἡδονῇ παραπεισθέντες.* Vat. Laur. Bgim.

ἀντιθέτοις] *τοῖς*[8] *ἐξ ἀντικειμένων λεγομένοις. ἀντίθετα γὰρ λέγουσι*[9] *τὰ ἐν περιόδῳ διπλῇ ἐξ*[10] *ἀντικειμένων, οἷον "τοὺς φίλους μὲν λυπῶν, τοὺς δ' ἐχθροὺς εὐεργετῶν." ἔστι γὰρ τοῦτο δίκωλον ἀντικείμενον. ἡδονὴν δ'*[11] *ἔχει τὸ ἀντίθετον σχῆμα, οἷον* (Dem. or.18. §.265. p.315,8) *ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων.* Vat. Laur. Bgim.

5. *ὑμᾶς μὲν οὖν*] *τοῦτο τινὲς τρίτον προοίμιον. ἔστι δὲ*[12] *τοῦ δευτέρου συμπέρασμα.*[13] Vat. Laur. gim.

διαφερόντως] *ἀντὶ τοῦ πάνυ*[14] *καὶ καθ' ὑπερβολήν.* Vat. Laur. gim.

1) *ἀσθενῆ* Bi. 2) *οὔτε — οὔτε* Sauppius pro *οὐδὲ — οὐδέ*. 3) *εἴ γε* gm. 4) *εἴτε ψευδῆ* om. gim. 5) *ὡς* Bi. 6) *τουτέστι* om. m. 7) *αὐτοῦ* om. Laur. g. 8) *καὶ τοῖς* Bi, qui haec cum praecedentibus coniungunt. 9) *ἔλεγον* Bi. 10) *ἀπὸ* m, *ἀπὸ ἑξ* Laur. g. 11) *δ'* Bi, *γὰρ* cett. 12) *γὰρ* Vat. Laur. 13) in F nihil praeter *συμπ τοῦ β*. 14) Gl. *ἀντὶ τοῦ πάνυ* habet F.

ἀνόσιον] τὸν ἃ μὴ[1] ἐπιτέτραπται ποιοῦντα· ὅσιον γὰρ τὸ[2] ἐκ τῶν νόμων ἐπιτετραμμένον. Vat. Laur. Bgim.

6. παράδοξος] ταύτην[3] οἱ περὶ Μαρκελλῖνον προκατασκευήν φασιν· ἔστι δὲ τρίτον προοίμιον. Vat. Laur. Bgim.

ἐπηρώτα] ταῦτά φησιν εἰρηκέναι Δημοσθένην,[4] ἃ οὐκ[5] ἀπαιτητέον ἐκ τοῦ λόγου τοῦ Δημοσθενικοῦ· πολλὰ γὰρ εἰκὸς εἰπεῖν[6] αὐτὸν ἐν τῷ ἀγῶνι καὶ[7] παραλιπεῖν ἐν τῷ λόγῳ, δοκιμάσαντα[8] ὡς περιττά. Vat. Laur. Bgim.

ἀπογνῶναι] οἷον μὴ καταψηφίσασθαι· ἀπὸ[9] κοινοῦ δὲ[10] τὸ εἰ[11] οἷόν τε. Vat. Laur. Fgim.

ἐγὼ δ'] ἡ λύσις· ἔστι δὲ τὸ σχῆμα περιτροπή. Vat. Laur. Fgim.

ἀπογνούς] ὁ μὴ καταψηφιζόμενος ἑαυτοῦ ἀδικίαν, ἀλλ' ἀπολύων τῷ μὴ συνειδέναι ἑαυτῷ ἀδικοῦντι. Vat. Laur. Bgim.

8. Εὐβούλου] οὗτος δημαγωγὸς[12] ἔνδοξος κατὰ τοὺς περὶ[13] Δημοσθένην γεγονὼς χρόνους,[14] οὗ ἀποθανόντος Ὑπερείδης περὶ[15] τῶν τιμῶν λόγον ἔγραψε. λεγομένου δὲ τοῦ λόγου τούτου ἐπὶ τέλει[16] ὁ Αἰσχίνης αὐτὸν συνδικεῖν αὑτῷ παρακαλεῖ. Vat. Laur. Bgim.

9. ατιμάζει] ἀντὶ τοῦ ἐντελίζει. F.

ὅπου αν τύχῃ] ἀντὶ τοῦ ἐν οἱῳδήποτε μέρει τοῦ λόγου. Vat. Laur. Fgim.

10. ἐνεχείρησε δ'] ὅτι[17] ἐπὶ τῶν διαιτητῶν εἶπε τοῦτο[18] ὁ[19] Δημοσθένης, οὐκέτι μέντοι καὶ[20] ἐν[21] τῷ δικαστηρίῳ διὰ τὸ ἀπίθανον. ἐξῆν γάρ τινα παραιτήσασθαι ῥήματα[22] ῥηθέντα παρὰ τοῖς διαιτηταῖς, πλὴν τῶν ἐγγράφων[23] καὶ ἐμβληθέντων[24] ἐν τοῖς ἐχίνοις. Vat. Laur. Fgim.

ἱερείας] περὶ[25] τὴν γραφὴν[26] ἡμάρτηται· δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τίμαιος[27] γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ γυναῖκά τινα τὸ γένος Ἱμεραίαν[28] ἰδεῖν ὄναρ ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν καὶ[29] πρός τινος ἄγεσθαι θεασομένην[30] τὰς τῶν θεῶν οἰκήσεις. ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον[31] ἐπὶ θρόνου, ἐφ' ᾧ[32] ἐδέδετο πυρρός τις ἄνθρωπος καὶ μέγας ἁλύσει καὶ κλοιῷ· ἐρέσθαι οὖν τὸν περιάγοντα ὅστις ἔστιν, αὐτὸν[33] δὲ εἰπεῖν, ἀλάστωρ ἐστὶ τῆς Σικελίας καὶ Ἰταλίας, καὶ ἐάνπερ[34] ἀφεθῇ, τὰς χώρας διαφθερεῖ.[35] περιαναστᾶσαν δὲ χρόνῳ ὕστερον[36] ὑπαντῆσαι Διονυσίῳ[37] τῷ τυράννῳ μετὰ τῶν δορυφόρων, ἰδοῦσαν δὲ[38] ἀνακραγεῖν[39] ὡς οὗτος εἴη ὁ τότε[40] ἀλά-

1) ἃ μὴ] μὴ ἃ B. 2) καὶ τὸ B. 3) τοῦτο Bi. 4) Δημοσθένης m. 5) οὐκ add. Sauppius. 6) εἰπεῖν ante εἰκὸς pon. Laur. 7) ἃ gm. 8) ἀποδοκιμάσαντα B. 9) καὶ κατὰ Laur. 10) δὲ om. Laur. 11) εἰ om. Laur. im. 12) δημαγωγὸς ante οὗτος pon. Bi. 13) παρὰ Laur. 14) χρόνους add. B. 15) ὑπὲρ B. 16) ἐπὶ τέλει] ἐπιστέλλει Vat. 17) ὅτι om. F. 18) τοῦτο ante εἶπε pon. i. 19) ὁ om. gim. 20) καὶ om. gim. 21) ἐπὶ Laur. 22) ῥήματα om. F. 23) ἐγγραφέντων i. 24) ἐκβληθ. Laur. 25) οἷον περὶ Laur. 26) γραφικὴν Laur. 27) τιμήσιος gim, τιμίσιος Laur. 28) Ἱμεραίαν ante τὸ γένος pon. B. 29) καὶ om. B. 30) θεασαμένην m Laur. 31) δικαζόμενον g. 32) ἐφ' ᾧ] ὑφ' οὗ B. 33) τὸν gim. 34) ἐάνπερ Sauppius pro εἴπερ. 35) διαφθερῇ m. 36) χρόνῳ ὕ.] χρόνοις ὕ. Laur., χρόνοις ὑστέροις B. 37) τῷ Διον. B. 38) ἰδοῦσ. δὲ] καὶ ἰδοῦσαν Bi. 39) ἀνακραγῆναι B. 40) ὁ τότε] ὁ τέ Laur.

στωρ[1] δειχθείς, καὶ ἅμα ταῦτα λέγουσαν περιπεσεῖν[2] εἰς τὸ ἔδαφος[3] ἐκλυθεῖσαν· μετὰ δὲ τρίμηνον οὐκέτι ὀφθῆναι τὴν γυναῖκα, ὑπὸ Διονυσίου διαφθαρεῖσαν λάθρα. οὗτος ἱέρειάν φησιν εἶναι τὴν γυναῖκα,[4] μηδενὸς τοῦτο ἱστορήσαντος.[5] Vat. Laur. Bgim.

11. τερατείαν] οἱονεὶ ψευδολογίαν, καθὸ καὶ τὰ τέρατα γινόμενα ψεύδεται τὴν φύσιν.[6] Vat, Laur. Fgim.

ᾗ δ'] δύο ἐστὶ μέρη[7] τοῦ λόγου, σημαίνοντα καθ' ὃν δὴ[8] τρόπον. Vat. Laur. Fim.

12. σπονδαῖς] οἱ καταγγελεῖς τῶν ἀγώνων καλοῦνται σπονδοφόροι καὶ ὁ χρόνος ἐκεῖνος, καθ' ὃν ἄγονται οἱ ἀγῶνες, σπονδαί, διὰ τὸ τοῖς θεοῖς τότε γίνεσθαι[9] σπονδὰς ὑπὲρ τῆς Ἑλλάδος. τὸ οὖν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς ἐν τῷ χρόνῳ ᾧ τὰ Ὀλύμπια ἦγον.[10] Vat. Laur. gim. Ἄλλως.[11] ἐν γὰρ[12] ταῖς ἐπισήμοις ἑορταῖς ἐσπένδοντο οἱ Ἕλληνες πρὸς οἱονδήποτε εἶχον[13] πόλεμον εἰς τὸν χρόνον τῆς ἑορτῆς. Vat. Laur. BFgm.

14. ἐπιγραψάμενοι] ἀντὶ τοῦ προγράψαντες καὶ ὑποβαλόντες, ἵνα αὐτὸς κατηγορήσῃ. Laur. BFgm.

ἀπολογούμενος] ὁ Λυκῖνος δηλονότι. F.

15. ἱκετηρίαν] ἱκετηρία μέν[14] ἐστιν ἡ[15] ὑπέρ του γινομένη δέησις,[16] ἱκετηρία δὲ οὕτως ἐγίνετο·[17] ῥάβδον θαλλῷ[18] ἐλαίας[19] στέψας καθῆστο κατέχων[20] εἰς τὸν Ἐλέου βωμόν,[21] μέχρις οὗ τινος[22] ἔτυχε τῶν δικαίων. Vat. Laur. Bgim.

Ἀριστόδημον] οὗτος ἐπεκαλεῖτο[23] μὲν Στεμφύλιος,[24] Μεταποντῖνος δ' ἦν τὸ γένος, καὶ ἐνίκα δὶς ἐπὶ Ληναίων· διὰ τὴν γνῶσιν δὲ ἤτοι γνώμην[25] ἢ διάνοιαν, ὡς ὄντος ἀγαθοῦ. Vat. Laur. gim.

τὴν φιλανθρωπίαν] τὴν φιλίαν. F.

16. ἀλλ' ἔφθασεν] ἡ σύνταξίς ἐστιν· ἀλλ' ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας, ὃς αἰχμάλωτος γενόμενος ἀφείθη ὑπὸ Φιλίππου ἄνευ λύτρων. Vat. Laur. gim.

17. τὴν βουλὴν] τῶν πεντακοσίων. F.

19. εἰς τὰ πράγματα] εἰς τὸ γενέσθαι εἰρήνην δηλονότι.[26] Vat. F.

οἵτινες — παραιτήσονται] οἱονεὶ[27] συγγνώμην αἰτήσονται.[28]

1) ἀλάστωρ om. B. 2) πεσεῖν Laur. B. 3) τὸ ἔδ.] τοὔδαφος B. 4) ὑπὸ Διονυσίου — γυναῖκα om. B. 5) cf. ad h. scholion Photius lex. p. 102, 20, Bekk. Anecdd. p. 266, 9 et Meineke, Analecta Alex. p. 356. 6) τῇ φύσει pr. m. 7) ἑ. μέρη] μέρη ἐστὶ F. 8) δὴ F, δήποτε cett 9) γενέσθαι Bi. 10) ἦγον om. Bi, ηγεν m. 11) ἄλλως habent Vat. Laur. g. 12) γὰρ om. B. 13) ἦκον B. 14) μὲν om. B. 15) ἡ om. Laur. i. 16) γιν. δέησις] γενομένη δέησις i, νόμου δέησις γενομένη B. 17) ἱκετηρία — ἐγίνετο] οὕτω δὲ ἐγ. ἡ ἱκετ. B. 18) θαλοῦ gm. 19) ἐλαίου i, om. B. 20) κατέχ. ante καθῆστο pon. B. 21) Ἐλέου βωμ.] Ἐλαίου β. g, ἔλεον (om. βωμ.) Laur. 22) τινος om. B. 23) ἐκαλεῖτο Laur. 24) στεμφυλίων Laur. g. 25) γνῶσιν — γνώμην Baiterus. „Nam in textu non γνώμην, sed γνῶσιν legitur": Dindorf. γνώμην — γνῶσιν] libri. 26) δηλονότι om. F. 27) ὅρον εἰς F, ἤτοι i. 28) αἰτήσοντας i, αἰτήσωσιν F.

Vat. Laur. Fgim. *οἷον ὑπὲρ τοῦ χάριν αὐτῷ ὁμολογῆσαι τὸν δῆμον διὰ τὸ ἀγγεῖλαι τὴν εἰρήνην.* F.

τὴν ἐκμαρτυρίαν] *μαρτυρία*[1] *μέν*[2] *ἐστιν ὅταν τινὲς μαρτυρήσωσι παρόντι*[3] *τινὶ, ἐκμαρτυρία δὲ ὅταν*[4] *περὶ ἀπόντος τινὸς καὶ ἀποδήμου ὑπάρχοντος, λέγοντες*[5] *ὅτι μαρτυροῦμεν ὅτι, ὅτε*[6] *παρῆν, ἔλεγε τόδε. καὶ λοιπὸν, εἰ*[7] *ἐπανελθὼν ἐκεῖνος εἶπεν ὅτι οὐδὲν εἶπον,*[8] *ἐκρίνοντο οὗτοι συκοφάνται.* Vat. Laur. BFgim. *Θέλει δ'*[9] *εἰπεῖν ὅτι ἀρραβῶνας ἦν δεξάμενος ὁ Ἀριστόδημος*[10] *ἀπό τινων πόλεων πρὸς τὸ ἀγωνίσασθαι*[11] *ἐν αὐταῖς. ἦν γὰρ τραγῳδός, καὶ ἔδει αὐτὸν ἢ*[12] *ἀγωνίσασθαι ἢ διπλοῦν τὸν ἀρραβῶνα καταβαλεῖν. ἔδει οὖν πρέσβεων τῶν πεισόντων τὰς πόλεις μὴ διπλοῦν τὸν ἀρραβῶνα κομίσασθαι, ἀλλ' ἁπλοῦν.* Vat. Laur. BFgim. *ἐκμαρτυρία ἐστὶν ὅταν μὴ εἰδὼς αὐτὸς μαρτυρῇ, ἀλλὰ φάσκῃ*[13] *ἀκηκοέναι.*[14] *Ἄλλως.*[15] *ἡ τοῦ μὴ παρόντος μαρτυρία καλεῖται ἐκμαρτυρία, οἷον τοῦ ἔξω ὄντος μαρτυρία.*[16] *τῶν ἀποδημούντων γὰρ*[17] *καὶ τῶν μὴ δυναμένων ἐλθεῖν*[18] *εἰς τὸ δικαστήριον καὶ τὰς τῶν*[19] *τετελευτηκότων μαρτυρίας ἐκ γραμματείων ἀνεγίνωσκον, αἳ ἐκαλοῦντο ἐκμαρτυρίαι.*[20] Vat. Laur. Bgim.

καὶ τίς ὁ τὰς δωρεὰς] *ὑπέσχετο γάρ, εἰ μὲν αἱ πόλεις συγχωροῖεν τὰς ζημίας Ἀριστοδήμῳ, ὀρθῶς ἔχειν. εἰ δὲ μὴ συγχωροῖεν,*[21] *τὸν δῆμον πείσειν δωρεὰς αὐτῷ δοῦναι ἃ*[22] *καταβάλοι*[23] *ἀλλαχόθι.*[24] Vat. Laur. Bgim.

20. *ἡ — ἔνστασις*] *ἀντὶ τοῦ ἡ ἀρχὴ τῆς εἰρήνης καὶ ὥσπερ κρηπίς.* Vat. Laur. Fgim.

21. *ὁλοσχοίνῳ*] *τὸ ὁλόσχοινον φυτόν ἐστιν, ᾧ χρῶνται ἀντὶ βελόνης. ἄβροχον δὲ εἶπεν· εἰώθασι γὰρ βρέχεσθαι ὕδατι,*[25] *ἵνα μαλακὰ γενόμενα εὔθετα*[26] *γένωνται εἰς τὴν τῶν*[27] *ἔργων πλοκήν.* Vat. Laur. Bgim. *Ἄλλως.*[28] *οἱ μὲν λέγουσιν ἁπλῶς σχοίνῳ·*[29] *φασὶ δὲ ὡς οἱ*[30] *Ἀττικοὶ ὁλόσχοινον αὐτὸ καλοῦσιν· οἱ δέ φασιν ὅτι εἶδός ἐστι*[31] *φυτοῦ ἱμαντώδους, ὡς περὶ τῶν λύγων λέγει*[32] *ὁ ποιητής* (Il. λ, 105), *ἀβρόχῳ δὲ λέγει οἱονεὶ ξηρῷ. ἵνα διὰ τῶν σιάλων τοῦ στόματος φυσηθὲν*[33] *ὀδύνην δῆθεν ποιήσῃ τῷ στόματι ἐν τῷ ἐρράφθαι.* Vat. Laur. BFgim.

Λεωσθένην] *ὁ Λεωσθένης Ἀθηναῖος.*[34] *οὗτος ἐφυγαδεύθη Ἀθή-*

1) *μαρτυρία* — Hoc et proximum scholion ordine inverso habet F. 2) *μὲν* om. B. 3) *παρὰ* gim. 4) *ἡ* F, *οἱ* Vat. Laur. gim. 5) *λέγοντος* F, *λέγωσιν* B. 6) *ὅταν* Laur. gim. 7) *εἰ* om. Laur. 8) *εἰπὼν* Laur. 9) *δὲ* Bim, *δ'* om. F. 10) *ὁ Ἀριστόδ.* om. B. 11) *ἀγωνίζεσθαι* B. 12) *ἢ* om. Laur. B. 13) *ἀποφάσκῃ* Laur. (*ἀλλὰ* om.). 14) *ἐκμαρτυρία — ἀκηκοέναι* om. B. 15) *καὶ* pro *ἄλλως* habet Laur. 16) *οἷον — μαρτυρία* om. Vat. B. 17) *γὰρ* om. B. 18) *μαρτυρεῖν* Laur. 19) *τῶν* om. m. 20) *αἳ — ἐκμαρτ.*] *ἃ ἐκ. ἐκμαρτυρία* im, *ἃ ἐκαλεῖτο ἐκμαρτ.* g. 21) *συγχωροῖεν* om. B. 22) *ἃ* im. 23) *καταβάλοι* Sauppius, *λάβοι* Vat. Laur. gim, *λάβοιεν* B. 24) *ἀλλαχόθεν* B. 25) *ἐν τῷ ὕδατι* B. 26) *εὐθέα* Bi. 27) *ἄλλων* B. 28) *ἄλλως* om. F. 29) *σχοινίῳ* Fm. 30) *ὡς* om. Bim, *ὡς οἱ* Vat. Laur. g. 31) *οἱ μὲν — εἶδός ἐστι*] *τοῦτό τινες λέγουσιν εἶδος εἶναί τινος* B, *ἐστι* om. Laur. 32) *εἶπεν* B. 33) *φυνθ'* F. 34) *ἦν* add. B. *ὁ Λεωσθ. Ἀθην.* om. g.

νηθεν ὡς φιλιππίζων· καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμώμενος, ἀνὴρ εἰπεῖν δυνατός. Vat. Laur. Bgm. *οὗτος στρατηγὸς Ἀθηναίων καὶ δόξας ἁμαρτεῖν εἰς τὸν περὶ Ἀμφιπόλεως πόλεμον ἐφυγάδευεν. ὕστερον δὲ κατελθὼν ἐστρατήγησεν ἐν τῷ Λαμιακῷ*[1] *πολέμῳ*[2] *καὶ ἀπέθανε τρωθείς.* Vat. Laur. gim.

22. *συνετάξαμεν*] *ἀντὶ τοῦ συνεταξάμεθα.* F.

ὡς ἔφη] *προοικονομούμενος, ὡς οἶμαι, τὰ τῶν ἄλλων πάντων νοήματα ἀπανθίσειν· ἢ ἵνα πάντες αὐτὸν περιμένωσι καυχητιῶντα*[3] *καὶ ἀπειλούμενον.* Vat. Laur. gim.

οὐδ' ἐγγενὴς] *ἐπειδὴ*[4] *διεβάλλετο ὡς πρὸς μητρὸς*[5] *Σκύθης ὤν.* Vat. Laur. BFgim. *ἀστὸς ἐξ ἀστῆς.* Bim.[6]

23. *οὐδὲν ἄπρατον*] *διεβάλλετο γὰρ ὡς ἡταιρηκὼς*[7] *καὶ μισθοῦ λόγους γράφων*[7] *καὶ δωροδοκῶν.*[7] Vat. Laur. Bgim.

26. *ὑπήρξατε*] *ἀντὶ τοῦ προκατήρξασθε τῆς πρὸς ἐκεῖνον εὐνοίας καὶ εὐεργεσίας.* Vat. Laur. BFgim.

Ἀμύντα] *ἐκβληθέντα γάρ ποτε*[8] *τὸν Ἀμύνταν ἐκ τῆς βασιλείας ὑπὸ Θετταλῶν*[9] *Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατήνεγκαν πάλιν ἐπὶ τὴν βασιλείαν.*[10] Vat. Laur. BFgim. *Θετταλοῖς γὰρ πολεμήσας καὶ μέλλων ἐκπίπτειν τῆς ἀρχῆς ἐδεήθη Ἀθηναίων· καὶ τυχὼν κατέσχε πάλιν τὴν χώραν.*[11] Vat. Laur. gim.

τῷ Φιλίππου πατρὶ] *Ἀμύντα*[12] *τῷ Φιλίππου πατρὶ υἱοὶ ἐγένοντο τρεῖς ἐξ Εὐρυδίκης, Ἀλέξανδρος, Περδίκκας καὶ Φίλιππος, ὃς καὶ ἐβασίλευσεν.*[13] *Παυσανίας δὲ συγγενὴς τῶν περὶ Φίλιππον· ἐφυγαδεύθη οὗτοσί.*[14] Vat. Laur. Bgim.[15]

Ἀλεξάνδρου] *τοῦτον ἔκτανε Πτολεμαῖος.* B.

27. *Παυσανίου*] *οὗτος ἦν τοῦ βασιλικοῦ γένους καὶ περὶ τῆς ἀρχῆς ἠμφισβήτει.* Vat. Laur. Bgim.

τῷ καιρῷ] *ἀντὶ τοῦ τῇ*[16] *εὐκαιρίᾳ θαρροῦντος, καθὸ κατὰ νέων ἐπεχείρει*[17] *τὴν ἡλικίαν κατὰ τῶν περὶ Φίλιππον.* Vat. Laur. BFgim.

Ἀνθεμοῦντα — Στρέψαν] *ταῦτα Μακεδονίας χωρία ὀχυρά.*[18] Vat. Laur. Bgim.

αὐτῶν ἐχόντων τὴν πόλιν] *ἀντὶ τοῦ αὐτονομουμένων.* F.

28. *ἐνταῦθ' — μετεπέμψατο*] *ὡς ἐπὶ τὴν Μακεδονίαν ἀπὸ τῆς Θράκης.* F.

29. *Πτολεμαίου*] *οὗτος ἦν ὁ ἐπικαλούμενος Ἀλωρίτης,*[19] *ὃς ἀνε-*

1) *Λαμιακῷ*] in mg. m adscripsit sec. m.: *οἶμαι λαμιακῷ, δηλιακῷ* cett. 2) *πολέμῳ* add. mei. 3) *καύχημά τι ὄντα* (sic) Laur. 4) *ἐπειδὴ* om. B. 5) *πατρὸς* B. 6) In margine F ad verba *συνήθειαι — κηδεσταὶ* legitur scholion: *κατ' ἐρώτησιν*, hic ineptum. 7) *ἑταιρεῖν — γράφειν —δωροδοκεῖν.* B. 8) *ποτὲ* post *Ἀμύνταν* habet F. 9) *τῶν Θετταλ.* Laur., *Θετταλοῦ* F. 10) *ἐπὶ τ. βασ.*] *ἐν τῇ βασιλείᾳ* gim. 11) *τὴν χ.*] *τῆς χώρας* m. 12) *δὲ* add. B. 13) *ὃς — ἐβασίλ.* om. B. 14) *οὑτοσὶ* om. B. 15) huic scholio in Vat. Laur. i adcripta est tabula:

ἀμύντας καὶ εὐρυδίκη
ἀλέξανδρος περδίκκας φίλιππος
ἀλέξανδρος.

16) *τῇ* om. Vat. g. 17) *ἐπεχείρει* post *ἡλικίαν* habet Bi, *ἐνεχείρει* Laur. 18) *ἐχυρά* B. 19) *ἐπικ. Ἀλωρ.*] *ἀλωρείτης ἐπικ.* B, qui post *ἐφυγαδεύθη*, quo superius scholion finitur, pergit *ἀμύντας καὶ εὐρυδίκη, ἀλέξανδρος, περδίκκας, φίλιππος, ὁ ἀλωρείτης ἐπικ. κ. τ. λ.*

λὼν Ἀλέξανδρον τὸν Ἀμύντου, συλλαβομένης[1] αὐτῷ πρὸς τοῦτο[2] Εὐρυδίκης τῆς μητρὸς Ἀλεξάνδρου, καὶ γήμας[3] τὴν Εὐρυδίκην καὶ ἐπιτροπεύσας Περδίκκου καὶ Φιλίππου[4] παίδων ὄντων ἐβασίλευσεν ἔτη ε΄, καὶ[5] ἀποθνήσκει ἀναιρεθείς, Περδίκκου αὐτοῦ[6] τὴν ἐπιβουλὴν συστήσαντος.[7] Vat. Laur. Bgim.

ὃς ἦν ἐπίτροπος] τῶν περὶ Φίλιππον ἔτι μικρῶν ὄντων. Vat. Laur. Fgm.

30. ἀνοχὰς] ἀνοχαί εἰσιν[8] αἱ πρὸς ὀλίγον χρόνον ὑπερθέσεις[9] τοῦ πολέμου, ἃς καλεῖ ὁ[10] Θουκυδίδης ἀνακωχάς, παρὰ τὸ ἀνέχειν καὶ τέως[11] ἀναβάλλεσθαι. Vat. Laur. BFgim. ἀνοχὰς ουν τὴν ἀναβολὴν τοῦ πολέμου πρὸς ὀλίγον χρόνον. Vat. Laur. gim. οὐκ εἶπε ποίας. ἐπλάττετο γὰρ δῆθεν. F.

ἐκδοχὴν] οἱονεί διαδοχήν· διεδέξατο[12] γὰρ τὸν ἀδελφὸν εἰς τὸν πρὸς ἡμᾶς πόλεμον τὸν ὑπὲρ[13] Ἀμφιπόλεως. BF.

31. τὰ ψηφίσματα] ὅτι[14] οἱ μὲν πρόγονοι αὐτοῦ[15] ἀεὶ ἔγραφον πολεμεῖν, ἡμεῖς δ' ἀντεγράφομεν[16] αὐτοῖς εἰρηνικά.[17] Vat. Laur. BFgim.

Ἐννέα ὁδῶν] ἠτύχησαν Ἀθηναῖοι ἐννάκις[18] περὶ τὰς Ἐννέα καλουμένας ὁδούς, ὅς ἐστι τόπος τῆς Θράκης, ἡ νῦν καλουμένη Χερρόνησος. ἠτύχησαν δὲ διὰ τὰς Φυλλίδος ἀράς, ἣ Δημοφῶντος ἐρασθεῖσα καὶ προσδοκῶσα αὐτὸν ἐπανήξειν ἀποτελέσοντα[19] τὰς πρὸς αὐτὴν συνθήκας καὶ ἐννάκις ἐπὶ τὸν τόπον ἐλθοῦσα, ὡς οὐχ ἥκε, κατηράσατο τοῖς Ἀθηναίοις τοσαυτάκις[20] ἀτυχῆσαι περὶ τὸν τόπον. τὰ δὲ ἀτυχήματα ἐγένοντο τάδε· τὸ πρῶτον[21] μὲν Λυσιστράτου καὶ Λυκούργου καὶ Κρατίνου στρατευόντων[22] ἐπ' Ἠιόνα τὴν ἐπὶ Στρύμονι[23] διεφθάρησαν[24] ὑπὸ Θρᾳκῶν,[25] εἰληφότες Ἠιόνα,[26] ἐπὶ ἄρχοντος Ἀθήνησι Φαίδωνος· δεύτερον οἱ μετὰ Λεάγρου[27] κληροῦχοι ἐπὶ[28] Λυσικράτους·[29] τρίτον οἱ μετ' Εὐκλέους καὶ Θουκυδίδου· τέταρτον οἱ μετὰ Κλέωνος, ἐπὶ ἄρχοντος Ἀλκαίου· πέμπτον οἱ ἐνοικοῦντες Ἠιόνα[30] Ἀθηναῖοι ἐξηλάθησαν· ἕκτον οἱ μετὰ Σιμίχου[31] στρατηγοῦντος διεφθάρησαν· ἕβδομον, ὅτε Πρωτόμαχος ἀπέτυχεν, Ἀμφιπολιτῶν αὐτοὺς παραδόντων τοῖς ὁμόροις[32] Θρᾳξίν·[33] ὄγδοον

1) συλλαβόμενος m. 2) αὐτῷ πρ. τοῦτο] αὐτὸν πρὸς τούτῳ Laur. 3) ὃς ἀνελὼν — καὶ γήμας. im, nihil praeter ὁ γήμας habet B. 4) Π. κ. Φ.] περδίκκαν καὶ φίλιππον B. 5) καὶ om. B. 6) αὐτῷ i. 7) αὐτῷ συστήσαντος B. 8) εἰσιν om. B. 9) ὑπερθέσεις post τοῦ π. pon. Bi. 10) ὁ om. Bi. 11) τέως] πρὸς ὀλίγον add. B. 12) διεδέξαντο B. 13) τὸν ὑπὲρ F, περὶ B. 14) ὅτι om. B. 15) αὐτοῦ Sauppius pro αὐτῶν. 16) ἀντεγράψαμεν B. 17) εἰρηνικά F, ἀντειρηνικά ceteri. 18) ἐννεάκις B hic et infra. 19) ἀποπλεύσοντα Vat. Laur. gim. 20) τοσαῦτα B. 21) ἐγένοντο τάδε· τὸ πρῶτον] ἔστι ταῦτα· πρῶτον B. 22) στρατεύοντος gim, στρατευσάντων B. 23) τῷ Στρυμόνι B. 24) γὰρ post διεφθάρ. add. B. 25) Θρήκην im. 26) ἐπ' Ἠιόνα gim. 27) λεάγρου Clinton. Fast. Hell. vol. 2 p. 263, λεαγόρου Laur. m, Λεωγόρου Bi, λεωκόρου Vat. 28) δὲ ἐπὶ Laur. 29) Λυσιθέου Clintonus, Λυσανίου Meierus comment. Andocid. 5 p. 105. 30) Ἠιόνα Meierus pro ἐπ' Ἠιόνα (ἐπηρόνα Vat.). 31) Σιμίχου Sauppius, Σιμμίχου gim, Συμβίχου Vat. Laur. B. 32) ὁμορίοις Laur. 33) Ἀμφιπ. — Θρᾳξίν om. B.

ἐκπεμφθεὶς ὑπὸ Τιμοθέου[1] *Ἀλκίμαχος ἀπέτυχεν, αὐτοῦ παραδόντος*[2] *αὐτὸν*[3] *Θρᾳξίν,*[4] *ἐπὶ Τιμοκράτους Ἀθήνησιν ἄρχοντος· ἔνατον*[5] *Τιμόθεος ἐπιστρατεύσας ἡττήθη ἐπὶ Καλλιμήδους*[6] *ἄρχοντος. τὰς δὲ Ἐννέα ὁδοὺς Ἄγνων*[7] *συνοικίσας Ἀθηναῖος ἐκάλεσεν Ἀμφίπολιν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Εὐθυμένους. τὴν δὲ Φυλλίδα*[8] *οἱ μὲν Φυλληΐδα,*[9] *οἱ δὲ Κίασαν*[10] *ὀνομάζουσι, καὶ τὸν πατέρα αὐτῆς*[11] *οἱ μὲν Φίλανδρον,*[12] *οἱ δὲ Κίασον,*[13] *οἱ δὲ Θῆλον, Δημοφῶντι δὲ ἐκ Φυλλίδος Ἀμφίπολιν καὶ Ἀκάμαντα υἱόν*[14] *φασι γενέσθαι.*[15] Vat. Laur. Bgim.

Θησέως παίδων] *Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας. τούτων Δημοφῶντι λέγεται δοθῆναι προῖκα τὰς Ἐννέα ὁδοὺς οὕτω καλουμένας· οὗτος δὲ παρὰ*[16] *τὴν ἱστορίαν Ἀκάμαντί φησι δοθῆναι, οὐ Δημοφῶντι.* Vat. Laur. Bgim.

ἐν τοῖς ἀρχαίοις μύθοις] *οὐχ ὡς μύθου ὄντος τοῦ περὶ*[17] *τὴν*[18] *Φυλλίδα γάμου, ἀλλ' ὡς παλαιοῦ πάνυ, οὕτως εἶπεν.*[19] Vat. Laur. Bgim.

32. *συμμαχίας*] *οἱονεὶ συλλόγου καὶ κοινοῦ συνεδρίου.* Vat. Fgim.

εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας] *τὸ σχῆμα περιτροπή.* F.

33. *ἀπέστη*] *παρεχώρησε.* q.

34. *σκοτεινὸν*] *ἢ ἀσαφὲς ἢ οὐδεμιᾶς λαμπρότητος ἐχόμενον καὶ οὐκ*[20] *ἄξιον τῆς ἡγεμονίας τῆς πόλεως, ἀλλὰ ταπεινοῦ φρονήματος. τεθνηκὸς δὲ*[21] *οὐδὲν ἔχον φανερόν,*[22] *ἀλλ' ἀφανές, ἐκ μεταφορᾶς τῶν τεθνηκότων.* Vat. Laur. BFgim. *σκοτεινὸν μὲν ἀσαφές, τεθνηκὸς δὲ δειλία*[23] *ἀντὶ τοῦ ταπεινόν.* Vat. Laur. gim.

τελευτῶν] *τὸν λόγον.* F.

μικρὸν — τῶν πραγμάτων] *οὐκ ἀρξάμενος ἀπὸ τῶν κυρίων*[24] *πραγμάτων.* Vat. Laur. Bgim.

35. *τι πεπονθέναι*] *οἱονεὶ συρίττειν*[25] *ἢ τοιοῦτό τι πάσχειν.*[25] *λελη θότως δὲ διασύρει τὴν δημοκρατίαν, ὡς ἐν αὐτῇ τὰ τοιαῦτα πολιτεύεται.* Vat. Laur. BFgim.

τῶν γεγραμμένων] *οἱ γὰρ μὴ δυνάμενοι ἀπὸ μνήμης εἰπεῖν γράφουσι πολλάκις ἃ μέλλουσι λέγειν.* Vat. Laur. BFgim. *ἢ οὖν*[26] *ὡς σκηπτόμενον*[27] *αὐτὸν λέγει, ἢ ἐπειδὴ ἔγραφεν*[28] *ἐν ὑπομνηστικῷ περὶ τίνος καὶ τί*[29] *δεήσει λέγειν.* Vat. Laur. Bgim.

1) *τοῦ τιμοσθένους* B. 2) *παραδόντων* m. 3) *αὐτούς* i. 4) *ὕγδοον — Θρᾳξίν* om. g. 5) *ἔννατον* Bi. 6) *Καλλιμήδους* Corsini Fast. Att. vol. 1 p. 318. *Καλαμῖνος* gim, *Καλαμίωνος* Vat. Laur. B. 7) *ἄγων* Vat. 8) *τὴν δὲ Φυλλίδα*] *τὸν Φυλίδα* B. 9) *Φυληΐδα* B. 10) *βίασον* B. 11) *αὐτοῦ* B. 12) *Φυλέα* Lobeck. Aglaoph. p. 290, *Φίνανδρον* Vat. Laur. 13) *Μίσισον* B. 14) *ἕνα* Vat. 15) *οἱ δὲ Θῆλον — γενέσθαι* om. B. 16) *περὶ* Laur. 17) *παρὰ* m. 18) *τὴν* om. Bi. 19) *πάνυ — εἶπεν*] *τινος . . . . ὄντος* B. 20) *οὐκ* habet B, om. ceteri. 21) *ἀντὶ τοῦ* add. Bi. 22) *ἐχ. φανερ.*] *φανερὸν ἔχ.* Bi. 23) *δηλία* i. 24) *κυρίως* im. 25) *συρίττει — πάσχει* Vat. Laur. F gm, *τοιοῦτόν τι* F, *τι τοιοῦτον* B. 26) *οὖν* om. B. 27) *σκηπτόμενον* Sauppius, *σκηπτόμενος* B, *σκεπτόμενον* ceteri. 28) *ἔγγραφον* m. 29) *τίνος καὶ τί* Sauppius, *τίνος καὶ τίνος* Bi, *τί καὶ τίνος* Laur., *καὶ τίνος* gm, *καὶ τί* om. Vat.

διεσφάλη] γρ. παρεσφάλη, ἐπελάθετο. B.

38. τοῦτο δὲ ἦν ἄρα ἀγχόνη[1]] ἀγχονή ἐπὶ αὐτοῦ τοῦ πάθους ὀξύνεται, ἐπὶ δὲ τοῦ βρόχου παροξύνεται. F.

39. κατέστρεψεν — λόγους] εἶπε γὰρ ποιῆσαι εἰρήνην. Vat. i.[2]

40. ἀφορμώντων] ἀντὶ τοῦ ἀναχωρούντων. παρατήρησαι[3] δὲ[4] ὅτι καὶ ἐπὶ τῆς κατὰ γῆν ὁδοῦ εἴρηται ἡ λέξις. Vat. Laur. BFgim.

παραδόξως] οἱονεὶ παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ, καθὸ ὠμός ἐστι φύσει καὶ ἀγνοεῖ τὸ φιλάνθρωπον. Vat. Laur. BFgim.

κέρκωψ] ζῶα ἦσαν ὠμὰ καὶ πανοῦργα οἱ κέρκωπες, οὓς δή φασι[5] μεταβεβληκέναι εἰς πιθήκους. Vat. Laur. gim. οἱ κέρκωπες[6] γένος τι ὑπῆρχον λῃστῶν καὶ πανούργων περὶ τὴν Λιγύην,[7] οὓς ἐτιμωρήσατο Ἡρακλῆς[8] διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρύονος.[9] ἦσαν δὲ ἀδελφοὶ[10] δύο. Vat. Laur. Bgim. τινὲς δὲ ἐξηγοῦνται τοὺς κέρκωπας εἶδος πιθήκων πανούργων. F.

παιπάλημα] παίπαλα τοὺς τραχεῖς τόπους καλοῦσιν.[11] τὸν οὖν μὴ εὐγενῆ μηδ' ἁπλοῦν οὕτω προσαγορεύουσιν. Ἄλλως. τοὺς μὴ εὐθεῖς ταῖς γνώμαις, ἀλλὰ πλαγίους καὶ ποικίλους οὕτως ἐκάλουν. μετῆκται δὲ ἀπὸ τῶν ὁδῶν· τὰς γὰρ μὴ εὐθείας, ἀλλὰ πολλὰς ἐχούσας ἐκτροπὰς παιπάλους ἐκάλουν. Vat. Laur. Bgim. Ἄλλως.[12] οἷον περίτριμμα ἀγορᾶς, τὸ λεγόμενον ἀεὶ ἐν τῇ συνηθείᾳ ὡς περὶ πανούργου τινός. κυρίως δὲ παιπάλημα λέγεται τὸ λεπτότατον[13] τρίμμα τοῦ ἀλεύρου. Vat. Laur. BFgim. παλίμβολον δὲ[14] οἱονεὶ εὐμετάβλητον, παρὰ τὸ πάλιν μεταβάλλεσθαι, ὅ ἐστιν[15] εἰς τοὐπίσω, καὶ ἐξ ὑποστροφῆς, ὡς ὁ ποιητής (Hom. Il. Θ, 266)·

παλίντονα τόξα τιταίνων. Vat. Laur. BFgim. Ἄλλως. τὸν σφόδρα μεταβάλλοντα[16] ἢ καὶ μεταστρέφοντα τὰ πράγματα.[17] ἢ τρίβωνα ἐν πράγμασι[18] καὶ περίτριμμα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πάλαι κύβων καὶ ἀστραγάλων, ἀπὸ τοῦ πάλιν βάλλεσθαι. Vat. Laur. gim.

τὰ τοιαῦτα ῥήματα] οἱονεὶ τὰ περὶ τῶν πανούργων λεγόμενα. ἐν μέρει δέ, ὅ ἐστι χωρὶς τῶν ἄλλων ἕκαστον. (§. 41) ἔρανον δὲ[19] συστήσειν φησὶν[20] ἀντὶ τοῦ, ὥστε τρέφεσθαι ἀπὸ τῶν[21] δημοσίων χρημάτων.[22] Vat. Laur. BFgim. Ἄλλως.[23] ὥστε ἕκαστόν τι αὐτῷ δοῦναι πρὸς χρῆσιν ἀργύριον· πᾶν γὰρ ὃ πολλοὶ διδόασιν ἀργύριον[24] εἰς[25] χρῆσιν ἔρανος καλεῖται. κἂν[26] μὴ πρὸς χρῆσιν δέ, ἀλλὰ δωρεάν. ἢ[27] ἔρανον τὴν παρὰ[28] τῶν φίλων συνεισφορὰν καὶ ἐπίδοσιν.[29] Vat. Laur. Bgim.

1) ἀγχόνη] Sic F cum duplici accentu. 2) i in textu habet: εἶπε γὰρ εἰρήνην ποιῆσαι Φίλιππος. 3) παρασημειωτέον. B. 4) δὲ om. Bim. 5) φησι Laur. gm. 6) δὲ post κέρκ. add. Laur. 7) Λιγύην Lobeckius Aglaoph. p. 1300 pro Λιβύην. 8) ὁ Ἡρακλ. Laur. 9) Γηρυόνου Laur. B. 10) ἀδελφοὶ om. B. 11) παίπ.— καλ.] παίπαλοι οἱ τραχεῖς B. „cf. schol. Aristoph. nub. 260." Saupp. 12) παιπάλημα δὲ F. 13) λεπτὸν B. 14) δὲ add. Vat. Laur. gm. παλίμβ. est lemma in edd. 15) ὅ ἐστιν] οἷον. 16) μεταβαλόντα Vat. 17) τὰ πράγματα om. Laur. 18) πράγμασι Vat., πράγματι cett. 19) δὲ om. B. 20) φησὶν om Bi. 21) τῶν add. Vat. Bi. 22) πραγμάτων Laur. 23) ἄλλως om Laur. gm. 24) ἀργύριον om. Laur. B. 25) πρὸς g. 26) ἐὰν B 27) καὶ gi. 28) τὴν παρὰ] περὶ gi. 29) καὶ ἐπίδοσιν om. B.

βοηθήσειν τοῖς ἰδίοις] ἐπανορθώσαντα τὰ ἴδια αὐτοῦ πράγματα, τὰ ἰδιωτικά. Vat. Laur. gim.

42. ἐπαφρόδιτον] ἀντὶ τοῦ χαρίεντα. F.

ὁ Σίσυφος] καὶ γὰρ ὁ Σίσυφος[1] ὁ Αἰόλου πανοῦργος ἐνομίσθη. Vat. Laur. BFgim. ἐπὶ πανουργίᾳ[2] γὰρ οὗτος διεβέβλητο. ἐπὶ τοῦ πανούργου ουν[3] καὶ κακοπράγμονος χρῶνται τῷ ὀνόματι. Vat. Laur. Bgim.

43. ἀναισθήτως — προορωμένων] οὐ συνιέντων οὐδ' ἐννοουμένων τὴν ἐνέδραν. Vat. Laur. gim.

συνθήκην] τὴν ὁμολογίαν. Vat. Laur. gim. οἷον εἰς τὸ συνθέσθαι. Vat. Laur. Fgim.

44. προπηλακίζων] ὑβρίζων. Vat. Laur.

προσεπιπονῆσαι] πρὸς τῷ ἤδη πόνῳ ἔτι πονῆσαι. F.

Φωκέων αἰτίας] κατηγορίας. Laur. F.

θεάσασθαι] τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην[4] ἔχει τὴν διόρθωσιν. Vat. Laur. Bgim.

45. ὡς γὰρ] τὸ γάρ ἐνταῦθα ἀντὶ τοῦ δή κεῖται.[5] F.

ἐπὶ κεφαλαίων] ἀντὶ τοῦ συντόμως[6] αὐτὰ τὰ κεφάλαια λέγοντες. Vat. Laur. BFgim. ἐπιστολὴν δέ[7] φησι τὴν περιέχουσαν περὶ τῆς εἰρήνης καὶ ἐπαγγελλομένην πολλὰ καὶ[8] ἀγαθὰ ποιήσειν τοὺς Ἀθηναίους,[9] ἐὰν γένηται. Vat. Laur. BFgim.

καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν] Διὸς ἦν[10] βωμὸς ἐν τῇ βουλῇ. τὴν Ἑστίαν οὖν λέγει τὴν βουλαίαν τὸν βωμὸν αὐτοῦ,[11] τοῦ Διός, τὸν ὄντα ἐν τῇ βουλῇ. ὤμοσε δὲ καθὸ[12] βουλευτὴς ἦν. ἢ Ἑστίαν βουλαίαν λέγει[13] τὴν τράπεζαν, διότι ἔστιν ὅτε συνεδείπνουν ἀλλήλοις οἱ βουλευταί.[14] Vat. Laur. BFgim.

46. οὐ ψευσαίμην] ἀντὶ τοῦ[15] ἀποτυχεῖν ἐποίησα ὡς κακῶς περὶ ἐμοῦ δοξασάντων. Vat. Laur. Fim.

47. ἐντεύξεως] συντυχίας. Vat. F.

49. τερατευσάμενος] τερατῶδες ποιήσας σχῆμα καὶ ἀηδὲς διὰ τοῦ προσώπου καὶ σχήματος. Vat. Laur. Fgim.

ἐπισημαινόμενον δέ φησιν ἀντὶ τοῦ ἐπαινοῦντα. Laur. Fgim. ἐπαινοῦντα[16] καὶ ἀποδεχόμενον. Vat. B.

θαυμάζειν δέ φησιν ἀντὶ τοῦ καταγινώσκειν, ἐπειδὴ πρὸς γενικὴν φέρεται. Vat. Laur. Fgim. ἤγουν καταγινώσκειν. q.

οἱ μὲν τον τοῦ — συμβουλεύειν] τί δεῖ ἀποκρίνασθαι πρὸς τοὺς

1) ὁ add. Vat. Bgm. 2) ἐπὶ παν.] περὶ πανουργίας B. 3) οὖν ante τοῦ πανούργου habet B, οὖν om. Laur. 4) ταχεῖαν Bgi. 5) Dindorfius §. 46 (49) hoc scholion adscripsit. 6) Gl. ἤγουν συντόμως est etiam in q. 7) δὲ om. Bi. 8) πολλὰ καὶ Vat., πολλάκις Laur. g. πολλὰ cett. 9) ἀγαθοὺς Vat. Laur. g. 10) ἦν om. Laur. 11) Διὸς — τὸν βωμὸν αὐτοῦ (αὐτὸν F.)] τὸν βωμὸν αὐτοῦ λέγει B. 12) καθὸ Sauppius pro οὗ (οὖ F) καθό. 13) βουλαίαν λέγ.] λέγει βουλαίαν οἷ εἰς F, λ. βουλ. οἱονεὶ Dindorf. 14) πρεσβευταὶ B. 15) οἷον i. 16) κατανοοῦντα Vat.

πρέσβεις τοὺς[1] Φιλίππου τοὺς ἐλθόντας περὶ τῆς εἰρήνης. Vat. Laur. BFgim.

ἀποδιατρίβωσι τὴν ὑπερόριον λαλιὰν] τὴν πολλὴν καὶ μακράν. Vat. Laur. Fgim.[2] οἷον μάτην ἀναλίσκουσι τοὺς χρόνους, τὰ ἔξωθεν τοῦ πράγματος διαλεγόμενοι. Ἄλλως.[3] ὑπερόριον λαλιὰν[4] τὴν ἔξωθεν τοῦ πράγματος ὁμιλίαν· τὰ γὰρ ἔξω τῶν ὅρων λεχθέντα[5] ἀπαγγέλλουσιν. ὁ δὲ αὐτὸν τὸν λόγον λαλιὰν εἶπεν, ὡς φλυαρίαν. ἢ ὑπερόριον,[6] τὰ ἐν Μακεδονίᾳ Ἀθήνησι λέγοντες. Vat. Laur. Bgim.

51. ὡς πονηρὸς] καθὸ οὐκ ἐᾷ τοὺς συμπρέσβεις τὰ καθ' ἕκαστα[7] λέγειν. Vat. Laur. BFgim.

τὴν τύχην] τὴν εὐτυχίαν. Vat. Laur. Fgim.

52. ἐμοὶ δ' οὐ χείρων] τοῦτο ὡς πρὸς τὸν λόγον τὸν ἄνω εἰρημένον ὅτι ἐπιδέξιός ἐστιν ὁ Φίλιππος ἐν τῇ τραπέζῃ καὶ ἡδὺς καὶ χαρίεις. δεινὸς δὲ ἀντὶ τοῦ δυνατός. F. ἢ ὡς εὐπρεποῦς ὄντος ἢ[8] ὡς δυσειδοῦς. Vat. Laur. gim.

55. Θέαν] τόπον[9] ἐν τῷ θεάτρῳ φησίν,[10] ἐν ᾧ καθεζόμενοι θεῶνται[11] τοὺς ἀγῶνας ἐν τοῖς Διονυσίοις. Vat. Laur. Bgim.

56. τὴν μὲν τοίνυν] πληρώσας τὴν κατάστασιν[12] ἐνταῦθα λοιπὸν ἐπιλογίζεται.[13] Vat. Laur. Bgim.

τῶν μὲν γὰρ ἀπηγγελμένων] ἀρχὴ τῶν ἀγώνων. εἰσὶ[14] δὲ τὰ σημεῖα, ἅπερ ἐστὶ τοῦ στοχασμοῦ ἰσχυρότατον κεφάλαιον, διότι[15] καὶ αὐτοῖς ἀρκεῖται[16] ἕως τέλους σχεδὸν εἰπεῖν. Vat. Laur. BFgim.

57. δεινῶς] ἀντὶ τοῦ μάλιστα καὶ πολὺ πλέον. Vat. Laur. Fgim.

58. αἱρέσεως] τῆς χειροτονίας. Vat. Laur. F.

59. παράσχῃ] δευτέρου προσώπου ὑποτακτικοῦ.[17] Vat. Laur. Fgim. δείξῃς q.

ὄντα] πρὸς τὰ ψηφίσματα συντακτέον.[18] Vat. Laur. Fgi.

60. κατὰ τὸν νόμον] ἀντὶ τοῦ ὡς ὁ νόμος κελεύει, καὶ[19] εὐτάκτως.[20] Laur. Fgim.

τῶν συνέδρων] συνέδρους καλεῖ τοὺς συμμάχους. Laur. BF. ἢ τοὺς παρὰ τῶν συμμάχων πεμφθέντας. B.

61. παρανάγνωθι] οἷον παρὰ τὸ[21] τῶν συμμάχων, ἀντὶ τοῦ εὐθὺς μετ' αὐτό. Vat. Laur. Fgi.

τοὺς πρυτάνεις] ἐπειδὴ[22] πρὸ τῆς ἐκκλησίας ἐγράφοντο[23] αὐτοί,[24] οἱ πρυτάνεις, περὶ τίνων ἡ ἐκκλησία μέλλει βουλεύεσθαι. Vat. Laur. BFgim.

1) τοῦ Laur. B. 2) τὴν πολλ. καὶ μακρὰν h. l. ad v. ἀποδιατρίβωσι adscriptum habent mei, post διαλεγόμενοι cett. m habet ἀποδιατρίβωσι: οἷον — ὑπερόριον λαλιάν: τὴν πολλ. κ. μακρὰν. Est etiam Gl. in F. 3) ἄλλως om. Vat. Laur. B. 4) ὑπερόρ. λαλ.] ὑπερόρ. δὲ λαλ. Bi. λαλιὰν] λέγει add. B. 5) λεχθέντα codd. mei, πραχθέντα cett. 6) ὑπερόρια B. 7) καθήκοντα Bi. 8) ἢ] ἄλλοι δέ φασιν g. 9) τόπον om. Bi. 10) φησὶν habet Vat. 11) ἐθέων (sic) Laur. Est etiam Gl. in F. 12) κατασκευὴν B. 13) ἔτι λογίζεται. B. 14) εἰς B. 15) διὸ F. 16) ἀρκεῖ τὰ B. 17) ὑποτακτικὰ F. 18) συντακτέον om. Vat. 19) καὶ om. F. 20) καὶ καλῶς post εὐτ. add. F. 21) τὸ om. Laur. g. 22) δὲ add. F. 23) ἔγραφον F. 24) αὐτὸν im.

τὴν ἐν Διονύσου] ἐν τῷ θεάτρῳ αὐτῷ[1] μετὰ τὴν ἑορτὴν ἐκκλησία ἠθροίζετο, ἐν ᾗ οὐδὲν ἕτερον ἢ τὰ περὶ τῆς ἑορτῆς[2] ἐσκοποῦντο καὶ τοὺς πλημμελήσαντας περὶ αὐτὴν ἐκόλαζον.[3] Vat. Laur. Bgim.

προϋφαιρῶν] προαρπάζων[4] καὶ[5] ἐπείγων γενέσθαι,[6] ἵνα ἐκκλείσῃ τοὺς Ἕλληνας τῆς εἰρήνης.[7] Vat. Laur. BFgim.

62. τῶν μὲν ψηφισμάτων ἀμφοτέρων] τῶν συμμάχων[8] δηλονότι[9] καὶ[10] τοῦ Δημοσθένους. Vat. Laur. Bgim. αὐτοῖς (61) δέ, τοῖς δικασταῖς δηλονότι. B.

65. λόγον δὲ μὴ προτιθέναι] ἐγεγράφει[11] γὰρ ὁ Δημοσθένης ἐν τῷ ψηφίσματι, τῇ δευτέρᾳ ἡμέρᾳ μόνον ἐπιψηφίζειν, ὅ ἐστι κυροῦν, συμβουλεύειν δὲ μηδένα. πῶς οὖν, φησίν, ἔμελλον Φιλοκράτει συνηγορεῖν,[12] μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα; Vat. Laur. Bgim.

66. πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς] γρ. ἐφημέρους. Bim. καιροὺς λέγει ἐνταῦθα τὰς χρείας.[13] πρὸς γὰρ τὰς χρείας περιπιπτούσας[14] οὕτω καὶ τοὺς λόγους μεταβάλλουσιν. Vat. Laur. BFgim.

προτεθέντων] προβληθέντων. q.

τοὺς αὐτοὺς ἀκροατὰς] τοὺς μέλλοντας καὶ ἐν τῇ ἑξῆς ἡμέρᾳ ἀκοῦσαί μου τἀναντία.[15] Vat. Laur. Fgim.

67. Ἐρχιᾶ[16]) ἀπὸ δήμου. F.

ἐπεψηφίζετο[17]] αντὶ τοῦ ὑπεβάλλετο τῷ δήμῳ καὶ ἠκύρου[17] τὰ ψηφισθέντα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ. Vat. Laur. Fgim.

68. ἐπιδείξασθαι] πρὸς τὸ "μαρτυρεῖ Ἀμύντωρ"[18] συντακτέον τὸ Δημοσθένην ἐπιδείξασθαι.[19] F.

ἐκκλήτευε] ἀντὶ τοῦ ἐκκαλοῦ[20] ἐπὶ ὅρκον,[21] ὅ ἐστι,[22] τῇ σῇ φωνῇ κάλεσον αὐτόν, ὦ κῆρυξ. ἐκινδύνευε γὰρ ὁ καλούμενος καὶ μὴ ὑπακούων, ὡς καταφρονῶν τῶν νόμων. Vat. Laur. BFgim.

70. στρατηγὸν] Χάρητα λέγει.[23] Laur. BF.

εἰς τὸ συνέδριον] οἱονεὶ εἰς τὴν[24] πόλιν τῶν Ἀθηναίων. συνέδριον δὲ αὐτὴν καλεῖ, καθὸ οἱ σύμμαχοι εἰς τὴν εἰρημένην[25] πόλιν συνῆεσαν συνεδρεύσοντες καὶ βουλευσόμενοι. Vat. Laur. BFgim.

καταχρήσασθε] ἀντὶ τοῦ φονεύσατέ με F. φονεύσατε ἢ[26] καταδικάσατε. Vat. Laur. Bgim.

---

1) αὐτοῦ Vat. Laur. gm. 2) τῆς ἑ.] τὴν ἑορτὴν B. 3) ἐκολάζοντο Laur. 4) οἱονεὶ ante προαρπάζ. add. F. 5) ἢ B. 6) φαίνεσθαι Fim. 7) Post τῆς εἰρήνης F pergit: παροξυτόνως δὲ ἀναγνωστέον· ἔστι γὰρ ὥσπερ ἐνεστώς. „Quae aliena ab hoc loco." Dindorf. 8) τῶν συμμ.] τοῦ τῶν συνέδρων Laur. 9) δηλονότι om. Laur. 10) ἢ B. 11) γέγραφε B, γεγράφει gim. 12) Φιλ. συνηγ.] συνηγ. Φιλοκρ. B. 13) τὰς χρ.] τοὺς χρόνους Bim. 14) παραπιπτ. Laur. g. 15) τὰ ἐναντία F. 16) ἀρχιέα F. 17) ἐπεψήφιζε — ἠκύρου Di., ἐπεψήφιζε] ἀντὶ τοῦ ὑπεβάλλετο τῷ δήμῳ καὶ ἐκυροῦ F, ἐπιψηφίσαι ἀντὶ τοῦ ὑπόβαλλε (ὑπόβαλε i) τῷ δήμῳ καὶ ἄκυρον (ἐκύρου Laur.) ceteri. 18) Ἀμύντας F. 19) τὸ Δ. ἐπιδείξασθαι Di., τῷ Δημοσθένει F. 20) ἐκκαλ.] αὐτὸν add. i. 21) ἀντὶ — ὅρκον om. F. 22) ὅ ἐστι] ὅλον B. 23) Χ. λέγει] τὸν Χάρητα F, Χάρητα B. 24) εἰς τὴν] γὰρ Vat. 25) ἡγουμένην F. 26) ἢ om. B.

71. *ἐν τοῖς ἀγῶσιν*] *οἷον ὅταν πολλάκις αὐτοῦ τινες*[1] *κατηγορήσωσιν.*[2] Vat. Laur. BFgim.

αλαζονείας] *ψευδολογίας καὶ*[3] *προσποιήματα.* Vat. Laur. Bgim.

Δηϊάρην — Πολυφόντην] *οὗτοι ξενικῶν στρατευμάτων καὶ μισθοφορικῶν ἡγεμόνες.* Vat. Laur. Bgim. *τούτους δὲ λέγει*[4] *ἡγουμένους τῶν ξενικῶν στρατευμάτων, οὓς παρέφερον οἱ περὶ τὸν Χάρητα εἰς μαρτυρίαν, λέγοντες ὅτι εἰς τούτους ἀνηλώσαμεν. δραπέτας δὲ οἱονεὶ πλανωμένους τινὰς καὶ μὴ ἔχοντας πατρίδας.*[5] Vat. Laur. BFgim.

κατῆγον] *οἱονεὶ*[6] *ἐπειράτευον,*[7] *ἐλῄστευον, καὶ ὡς ἑαυτοὺς λῃστρικῶς κατῆγον τοὺς πλωϊζομένους.* Vat. Laur. Bg.

72. *Μυοννήσου*] *ἡ Μυόννησος*[8] *μικρὰ νῆσος, ἣν λῃσταὶ καταλαβόντες καὶ ἀπ'*[9] *αὐτῆς ὁρμώμενοι τοὺς πλέοντας ἐλῄστευον.* Vat. Laur. Bgim.

Λήμνου — Σκύρου] *αὗται νῆσοι Ἀθηναίων ὑπήκοοι.* Laur. Bg.

συγκλήτους] *ἐξαίφνης ἐπὶ ἑκάστῳ τῶν προσπιπτόντων*[10] *ἐκκλησίαι συλλεγόμεναι ἐκαλοῦντο σύγκλητοι· αἱ δὲ κατὰ μῆνα ὡρισμέναι ὀνομάζονται κύριαι.* Vat. Laur. gim. *σύγκλητος ἐκκλησία ἐκαλεῖτο ἡ μὴ κατὰ τὸν νόμον μηδὲ κατὰ τὸ ἔθος γινομένη, ἀλλὰ ἐκ τοῦ παραχρῆμα καὶ κατὰ χρείαν τινά, οἷον εἴ τι ἐξαίφνης κατεπείξειεν.* B.

73. *τὸν ἐπὶ τῶν ὑπηρετικῶν*] *τὰ λεπτὰ πλοῖα καὶ ταῖς τριήρεσιν ἐφελκόμενα πρὸς ὑπηρεσίαν καλεῖται ὑπηρετικά.* Vat. Laur. gm. *Ἄλλως.*[11] *λείπει τεταγμένοι.*[12] *ἀρχὴ δέ*[13] *τις ἦν τεταγμένη ἐπὶ τῷ ἐπιμελεῖσθαι τῶν κωπῶν καὶ τῶν ἁρμένων καὶ τῶν τοιούτων, ὑπὸ τὴν*[14] *τῶν ἀποστολέων οὖσα καὶ ὑποτεταγμένη αὐτῇ.*[15] *τὰ μικρὰ δὲ πλοῖα τὰ ταῖς τριήρεσιν ἑπόμενα καλεῖται ὑπηρετικά.*[16] Vat. Laur. Fgm.

74. *οἱ συντεταγμένοι*] *οἱονεὶ οἱ φατριάζοντες καθ' ἡμῶν καὶ τῆς σωτηρίας τῆς πόλεως.* Vat. Fgm.

τὰ προπύλαια] *ἅπερ ἔστησαν δι' ἀρετῆς.* Vat. Laur. Fgim. *ἦσαν δὲ πρὸ τῶν πυλῶν τῆς ἀκροπόλεως ἀνακείμενα ἀγάλματα.* Vat. Laur. gim.

75. *Τολμίδου*] *οὗτος περιπλεύσας Πελοπόννησον μετ' Ἀθηναίων*[17] *ηὐδοκίμησε λαμπρῶς καὶ Βοιᾶς*[18] *καὶ Κύθηρα*[19] *εἷλεν ἄρχοντος Ἀθήνησι Καλλίου. ἐνέπρησε δὲ ὁ Τολμίδης καὶ τὰ νεώρια Λακεδαιμονίων.* Vat. Laur. gim.

76. *Δεκελείας*] *Δεκέλεια δῆμος τῆς Ἀττικῆς τῆς*[20] *Ἱπποθοωντίδος φυλῆς. ταύτην ἐπετείχισαν Λακεδαιμόνιοι Ἀθηναίοις*[21] *κατ'*

1) *αὐτοῦ τινὲς*] *τινὲς αὐτοῦ* F, *αὐτούς τινες* B, *ἀντὶ τοῦ τινὲς* m. 2) *κατηγορῶσιν* im. 3) *ἢ* B, *καὶ* om. i. 4) *δὲ λέγει*] *λέγει* F, *καὶ λέγ.* i, *καταλέγει* Sauppius. 5) *πατρίδα* Bim. 6) *οἱονεὶ* om. Laur. 7) Gl. *ἐπηράτευον* (sic) est in F. 8) *ἡ Μυόνν.* om. Bim. 9) *ἐπ'* i, *ἐξ* B. 10) *προσπιπτ.*] *πραγμάτων* add. Laur. 11) *ἄλλως* habent Vat. Laur. 12) *λείπει* om. Vat. Laur. g. *λείπει τεταγμ.* om. m. 13) *δὲ* om. m. 14) *τὴν* om. Vat. Laur. gm. 15) *αὐτῇ* om. Vat. Laur. gm. 16) *τὰ μικρὰ ὑπηρετικὰ* om. F. 17) *μετ' Ἀθην.*] *μετὰ Θηβαίων* Vat. Laur. gm (in m superscr. *μετ' Ἀθηναίων* antiqua manu). 18) *Βοιᾶς* pro *Εὔβοιαν* Sauppius collato Pausania 1, 27, 5. 19) *Κύθηραν* Laur. 20) *τῆς* om. Laur. 21) *Ἀθηναίοις* Sauppius pro *Ἀθήνησι.*

Ἀλκιβιάδου γνώμην, καὶ[1] *ἐξ αὐτῆς ὁρμηθέντες*[2] *κατέσχον τῆς πόλεως.* Vat. Laur. gim.

νομῇ χρημάτων] *προήχθησαν οἱ ῥήτορες ὑπὸ τῶν δήμων διὰ τὸ τῶν πλουσίων κατηγορεῖν ἀφαιρεῖσθαι αὐτοὺς τὰ χρήματα καὶ δημοσιεύειν, ἃ διενέμετο τῷ ὄχλῳ.*[3] Vat. Laur. gim.

77. *ἁρμοστὴν*] *Λακεδαιμόνιοι ἐπολιτεύσαντο ἐν τοῖς Ἕλλησιν ὡς προστάται καὶ κηδεμόνες τῶν πόλεων. Ἀθήνηθεν γὰρ ἐξέβαλον*[4] *τοὺς Πεισιστρατίδας, ἐκ δὲ Νάξου Λύγδαμιν*[5] *τύραννον, τοὺς δὲ ἀπὸ Κλεισθένους ἐκ Σικυῶνος. ὁπότε ουν στασιάζουσαν πόλιν ἁρμόσειαν, κατέλειπον*[6] *αὐτόθι σφῶν ἄρχοντα, ὃν ἐκάλουν ἁρμοστήν, πρὸς τὸ ἁρμόζειν τὴν πόλιν καὶ μὴ ἐᾶν στασιάζειν.* Vat. Laur. gim.

78. *οὔτ᾽ εἰδὼς οὔτ᾽ ἐπιδὼν*] *εἰδὼς λέγει οἷον*[7] *γνοὺς αὐτοῦ τὸν τρόπον· τὸ δὲ ἰδών, οὐ θεωρήσας αὐτὸν*[8] *ἐν τῇ νεότητι αὐτοῦ ὅτε ἐπολιτεύετο καὶ ἐδημοσίευεν.*[9] Vat. Laur. Fgim.

νομάδων Σκυθῶν] *ἔθνος ἐστὶ Σκυθικόν, οἱ*[10] *καλούμενοι ἀμάξοικοι.*[11] Vat. Laur. gim.[12] *ὡσανεὶ ἔλεγε, καὶ ταῦτα οὐδὲ ἀπὸ εὐγενῶν τινῶν Σκυθῶν, ἀλλὰ*[13] *νομάδων καὶ βιοπλανῶν.*[14] Vat. Laur. Fgim.

τοῦ Βουζύγου] *τοῦ*[15] *ὄντος ἐκ τοῦ γένους τῶν Βουζυγῶν.*[16] *ἐν γὰρ ἦν καὶ τοῦτο γένος τιμώμενον*[17] *παρὰ τοῖς Ἀθηναίοις, ἐξ οὗ ἐγίνετο*[18] *ἡ ἱέρεια τῆς Ἀθηνᾶς. Βουζύγης*[19] *δὲ ἐκλήθη*[20] *Ἐπιμενίδης*[21] *Ἀθηναίων τῶν πάλαι, ὅστις πρῶτος ξεῦγος βοῶν ἔζευξεν. ὁθεν καὶ τὸ ἄροτρον αὐτοῦ ἀνέκειτο ἐν τῇ ἀκροπόλει πρὸς μνήμην.* Vat. Laur. Fgim.

79. *ἐν τοῖς μυρίοις*] *μύριοι Ἀρκάδων συνέδριον ἐν Μεγαλοπόλει.* B.

ἐστιγμένος αὐτόμολος] *ἐπειδὴ οἱ φυγάδες τῶν δούλων ἐστίζοντο τὸ μέτωπον, ὅ ἐστιν ἐπεγράφοντο, κάτεχέ με· φεύγω.*[22] *ἢ ὅτι ἐστίζοντο οἱ αὐτόμολοι, ἵνα γνωρίζοιντο καὶ μὴ ἀδικοῖντο παρὰ τῶν πολεμίων. ἢ ἐπειδὴ Ξέρξης Θηβαίους αὐτομολήσαντας ἔστιζεν.*[23] Vat. Laur. gim.

περιορώντων] *οἷον περισκοπούντων.* F. *ἐκδεχομένων τὸ ἀποβαῖνον.* Vat. Laur.

συνίστην] *ἀντὶ τοῦ ἅμα ἐποίουν ὁμονοῆσαι κατὰ Φιλίππου.* Vat. Fgim. *συνίστην δὲ τό τε*[24] *ταὐτὰ φρονεῖν καὶ βοηθεῖν ἀλλήλοις.* Vat. Laur. gim.

1) *καὶ* om. Laur. m. 2) *ὁρμισθέντες* Laur. 3) *δήμῳ* i. 4) *ἐξέβαλλον* m. 5) *Λυγδάμην* im. 6) *κατέλειπον* Bekkerus pro *κατέλιπον*. 7) *ἀντὶ τοῦ* g. 8) *αὐτὸν* om. Laur. 9) *καὶ ἐδημοσ.* om. g. 10) *οἱ*] *οἱ νομάδες* Laur. 11) *ἁμάξοικοι* Sauppius pro *ἁμαξικοί*. 12) *Ἄλλως* add. g. 13) *ἀλλ᾽ ἀπὸ* g. 14) *βιοπλάνων* F. 15) *τινὸς* Vat. 16) *Βουζύγων* Fm. 17) *τίμιον* F. 18) *ἐγένετο* codd. praeter F. 19) *Βουζύγου* Laur. 20) *ἐκλήθην* Laur. 21) *εὔμετις* Vat. Laur., *νευμίτις* F, *ευμιτις* g, *νευμίτης* i, *νεύμιτις* m, correxit Sauppius collato Hesychio s. v. *Βουζύγης* et Lobeckio Aglaoph. p. 209. 22) *φεύγω* Sauppius pro *φεύγων*. 23) *ἔστιξεν* Laur. 24) *τε* om. Laur.

συνεπιστρατευόντων] καθ' ἡμῶν δηλονότι μετὰ Φιλίππου στρατευόντων. Vat. Laur. gim.

80. *οὐ τοῖς νικήσασιν*] οὐ τοῖς πρέσβεσιν, ἀλλα τοῖς στρατηγοῖς. Vat. Laur. Fgim.

81. *ἐν τῇ ὑστέρᾳ*] ἀντὶ τοῦ ἐν τῇ δευτέρᾳ. F. περὶ ταύτης γὰρ ἐγκαλεῖται. Vat. Laur. Fgim. ὁμηρεύοντα δὲ[1] λέγει ἀντὶ τοῦ ὅμηρον ὄντα καὶ ἐνέχυρον κατεχόμενον[2] ὑπὲρ Κερσοβλέπτου τοῦ πατρὸς αὐτοῦ, καθό, φησίν, ἣν χειρωθείς. Vat. Laur. Fgim. *Βυζάντιοι καὶ Περίνθιοι*[3] καὶ Ἀμάδοκος ὁ Θρᾳκῶν Κερσοβλέπτῃ τῷ βασιλεῖ μέρους Θρᾴκης ὑπὲρ ἀμφιλόγου χώρας ἐξηνέγκαντο[4] πόλεμον, οἷς Φίλιππος συλλαμβανόμενος ἐπολέμησε Κερσοβλέπτην καὶ ἠνάγκασε τήν τε ἀμφίλογον παρεῖναι τοῖς ἐγκαλοῦσι καὶ φιλίαν[5] αὐτῶν[6] καταστήσας ἐβεβαιώσατο τὸν βασιλέα, ὅμηρον παρ' αὐτοῦ λαβὼν τὸν υἱόν, καὶ ἀπήγαγεν εἰς Μακεδονίαν. Vat. Laur. Fgim.

82. *λαγχάνει προεδρεύειν*] εἷς ὢν τῶν τότε βουλευτῶν, ὡς ἀνωτέρω εἴπομεν, ἔλαχε γενέσθαι πρόεδρος. ἀπὸ γὰρ τῶν βουλευτῶν ἐγίνοντο[7] καὶ[8] οἱ πρυτάνεις καὶ οἱ πρόεδροι ἀπὸ κλήρου κατὰ φυλήν, ὡς ἔγνωμεν. Vat. Laur. Fgim.

83. *Κριτόβουλος*] ὁ Κερσοβλέπτου τοῦ Θρᾴκης βασιλέως πρεσβευτής. B.

συναναγραφῆναι — συμμάχοις] ἵνα, ὥσπερ οἱ ἄλλοι σύμμαχοι Ἀθηναίων[9] ἐδίδοσαν ὅρκους τοῖς παρὰ Φιλίππου, καὶ[10] ὁ Κριτόβουλος δῷ ὑπὲρ Κερσοβλέπτου, ὡς ὄντος ἐκείνου ἑνὸς[11] τῶν συμμάχων. Vat. Laur. Bgim,

ὁ *Πήληξ*] ἀπὸ δήμου. Laur.

84. *ἐπιψηφιεῖν*] ὁπότε ἐν τῇ ἐκκλησίᾳ ψήφισμα γραφείη,[12] ἐπιψηφίζουσιν[13] αὐτὸ πρότερον[14] οἱ πρόεδροι, εἶτα τῷ δήμῳ ἀναγινώσκεται.[15] ἐπιψηφίζειν δέ ἐστι τὸ ἐπί τινι ψῆφον φέρειν. Vat. Laur. Bgim. ἢ[16] ὑποβάλλειν, ὥστε κυρῶσαι τὸν δῆμον. Vat. BFgim.

οὐδὲ λύσειν — εἰρήνην] ἐπεὶ ἐν ὑποψίᾳ ἦν Κερσοβλέπτης· οὐ γὰρ ἂν ὠμήρευεν ὁ παῖς αὐτοῦ. οὐ καλῶς ἔχει, φησί, διὰ τὸ τοῦτον ἐγγραφῆναι σύμμαχον λύεσθαι τὴν πρὸς Φίλιππον εἰρήνην. Vat. Laur. gim.

οὐδὲ γινώσκειν — τῶν ἱερῶν] ἡ σύνταξις οὕτως ἔχει· καὶ οὐκ ἔφη γινώσκειν τοὺς συνεφαπτομένους τῆς εἰρήνης (λέγει δὲ τὸν Κερσοβλέπτην) ὥσπερ οὐ γινώσκειν ἔφη τοῖς σπένδουσι τοὺς συνεφαπτομένους τῶν ἱερῶν. F. ἐπεὶ ἱερὰ γίνεται ἐν τοῖς ὅρκοις τῆς συμμαχίας καὶ εἰρήνης. οὐχ ὁρῶ, φησί, τὸν σύμμαχον, ὃς αὐτῶν μόνων τῶν ἱερῶν ἐφάπτεται, ὥσπερ οἱ σπένδοντες, ὡς οὐ παρεχομένου[17] ἑαυτὸν τοῦ Κερσοβλέπτου εἰς τἆλλα τὰ συμμαχικὰ δίκαια. Vat. Laur. gim.

1) δὲ om. im. 2) ὄντα gim. 3) περινθιοι m. 4) ἐξήνεγκαν τὸν Laur. g. 5) εἶναι add. i. 6) αὐτῶν Sauppius pro ἑαυτοῦ. 7) ἐγένοντο i. 8) καὶ om. g. 9) οἱ ἄλλοι — Ἀθην.] ἀθην. σύμμαχοι οἱ ἄλλοι gm, ἀθηναῖοι καὶ οἱ αὐτῶν σύμμαχοι B. 10) οὕτω καὶ m. 11) ἓν B. 12) γραφῇ i, ἐγράφη B. 13) ἐπεψήφιζον B. 14) πρότερον post οἱ πρόεδροι pon. B, ante αὐτὸ Di. 15) ἀνεγνώσαντο B. 16) οἱονεὶ F. 17) παρεχόμενον g.

ἀποδοθῆναι — ἐκκλησίαν] ἤδη γὰρ προεγεγένητο ἡ[1] ἐκκλησία, ἐν ᾗ περὶ τῆς εἰρήνης ἐβουλεύοντο, καθ' ἣν τὸν Κριτόβουλον ἀξιοῖ παραγενόμενον τότε ἐπὶ ταύτην ὑπαντᾶν, μὴ[2] ὅτε ἐκείνη ἐξῆκεν. Κριτόβουλος δὲ Κερσοβλέπτου τοῦ Θρᾴκης[3] βασιλέως πρεσβευτής. Vat. Laur. gim.

καὶ τοὺς προέδρους — καλούντων] ὅπως ἀναστάντες εἴποιεν ὃ προαιροῦνται πρὸς[4] Δημοσθένην· οὗτος γὰρ ἠναντιοῦτο τῇ ἐπιψηφίσει. Vat. Laur. gim.

85. ἐν τῷ στρατηγίῳ] οἰκός τις δημόσιος ἦν,[5] ἔνθα συνήεσαν οἱ στρατηγοί, ὥσπερ ἀρχεῖα ἐκάλουν ἔνθα συνήεσαν[6] οἱ ἄρχοντες. Vat. Laur. BFgim.

86. ἀπὸ τῶν ἱερῶν] νῦν[7] ἱερὰ λέγει τὰ ἱερεῖα τὰ καλούμενα τόμια,[8] καθ' ὧν ὤμνυον. Vat. Laur. Bgim. ἢ ἱερῶν λέγει τῶν ἐπὶ τοῖς ὅρκοις[9] θυομένων. Vat. Laur. gim.

87. κατ' ἀνδρὸς — ὑμετέρου] κατ' ἀνδρὸς, ὃς πολίτης ἐστὶν Ἀττικός, οὐ Σκύθης, ὡς Δημοσθένης. B.

ἐπὶ Παλλαδίῳ] ἐπὶ τούτῳ ἐκρίνοντο οἱ ἀκούσιοι φόνοι. οἱ δὲ ἐν τούτῳ τῷ δικαστηρίῳ δικάζοντες ἐκαλοῦντο ἐφέται, ἐδίκαζον δὲ ἀκουσίου φόνου καὶ βουλεύσεως καὶ οἰκέτην ἢ μέτοικον ἢ ξένον ἀποκτείναντι.[10] ὠνομάσθη δὲ ἐντεῦθεν. Ἀργεῖοι τὸ Παλλάδιον ἔχοντες τὸ ἀπὸ Ἰλίου καὶ ἐκ Τροίας ἀνακομιζόμενοι ὡρμίσαντο Φαληροῖ, καὶ αὐτοὺς τῶν ἐγχωρίων τινὸς ἀκουσίως ἀναιροῦσιν. μενόντων δὲ ἐπὶ πολὺν χρόνον τῶν νεκρῶν ἀδιαφθόρων καὶ ἀψαύστων ὑπὸ θηρίων, πολυπραγμονήσαντες οἱ ἐγχώριοι ἔγνωσαν παρ' Ἀκάμαντος ὅτι Ἀργεῖοι ἦσαν, καὶ τὸ Παλλάδιον εὑρόντες ἱδρύσαντό τε παρὰ τῇ Ἀθηνᾷ τῇ Φαληροῖ, καὶ τοὺς νεκροὺς θάψαντες δικαστήριον ἐποίησαν ἐκεῖ τοῖς ἐπὶ ἀκουσίῳ φόνῳ[11] φεύγουσιν. Vat. Laur. gim.

κατέδειξαν] ἀπέδειξαν. B.

τέμνοντας] τὰ ἱερὰ τόμια λέγουσι. τέμνειν δὲ[12] τὸ θύειν τὰ τόμια. Laur. gim.

88. ἦ που] πολὺ πλέον. F.

ἆρ' οὖν] οὐκ ἔστιν ἔμψυχον τουτὶ τὸ χωρίον οὐδ' ἀληθινόν. Laur. gim.

89. κάλλιστον γὰρ] δηλονότι τὰ δημόσια γράμματα. B.

κατευημερηκὼς] οἷον εὐδοκιμήσας ἐλεῖν τὴν ἐκκλησίαν, ὡς καλῶς πρεσβευσάμενος.[13] Vat. Laur. Fgim.

ταῦτα μὴ ποιεῖν] τουτέστι μὴ πολιορκεῖν Κερσοβλέπτην. Bi.

Ὠρεῷ] τῆς Εὐβοίας πόλις Ὠρεός. Vat. Laur. gim.

προξενίας κατασκευαζόμενοι] γινόμενοι πρόξενοι. πρόξενοι δέ

1) ἡ om. Laur. 2) μὴ Sauppius pro ᾗ. 3) Θρᾳκὸς gim. 4) εἰς Laur. 5) ἦν om. g. 6) ἀρχεῖα. — ἔνθα συνήεσαν] τὸ ἀρχεῖον — ἐν ᾧ συνωμίλουν B. 7) νυνὶ i, om. B. 8) τίμια g. 9) ὅρκοις Sauppius pro οἴκοις. 10) ἀποκτείναντι Sauppius pro ἀποκτεῖναι. 11) ἀκουσ. φόν.] φόνῳ ἀκ. g. 12) δὲ ἐστι Laur., δὲ om. i. 13) βουλευσάμενος g.

εἰσι πόλεων οἱ ἐν ταῖς αὐτῶν πατρίσι τῶν πόλεων ἐκείνων προϊστάμενοι, ὧν εἰσι πρόξενοι. Vat. Laur. gim.

90. *τὸ Ἱερὸν ὄρος*] *γράφεται τὸ Ἡραῖον ὄρος. ἔστι δὲ κατὰ στόμα Πόντου ἐμπόριον.* Bi. *τόπος τῆς Ἀψινθίων χώρας ἐν Θράκῃ. καλεῖται δὲ πληθυντικῶς Ἱερὰ ὄρη.* Vat. Laur. gim.

93. *τὴν ἐπιβολήν*] *οἱονεὶ ζημίαν καὶ καταδίκην.* F. *τὴν ζημίαν, τὸ ἐπιτίμιον.* B.

οὐκ ἐπεξιὼν] *οὐκ εἰσῆλθες εἰς τὴν ἐν Ἀρείῳ πάγῳ βουλήν. ἐγράψατο γὰρ ὁ Δημοσθένης Δημομέλην τὸν ἀνεψιὸν τραύματος ἐκ προνοίας, καὶ δωροδοκηθεὶς οὐκ*[1] *εἰσῆλθεν. ἐπιβολὴν δὲ οἱονεὶ ζημίαν καὶ καταδίκην.* Vat. Laur. gim.

ἐπιτεμὼν — κεφαλήν] *θέλει εἰπεῖν ὡς*[2] *ὅτι οὐδὲ ὁ ἀνεψιὸς αὐτοῦ ἐτραυμάτισεν αὐτόν, ἀλλ' αὐτὸς ἑαυτόν, ἵνα συκοφαντήσῃ ἐκεῖνον.* Vat. Fgim. *διαβάλλεται γὰρ ὁ Δημοσθένης ὡς ἐπιτεμὼν ἑαυτοῦ τὴν κεφαλὴν ἐγράψατο Δημομέλην.*[3] *ἦν δὲ Δημομέλης ἀνεψιὸς αὐτοῦ.* Vat. Laur. gim.

τούτοις] *τοῖς δικασταῖς καὶ τοῖς περιεστηκόσιν. γράφεται καὶ τοῦτο.* Bi.

νόθος] *οὐ διὰ τὸ ἐκ παλλακίδος εἶναι, ἀλλὰ τὸ ἐκ διαφόρου γένους, ὥσπερ τὸν ἡμίονον λέγομεν νόθον εἶναι.*[4] Vat. Laur. gim.

94. *Ἀμφικτύονας*] *ὅτι Θηβαῖοι*[5] *καὶ Θετταλοὶ καὶ Λοκροὶ συνῆσαν τῷ Φιλίππῳ Ἀμφικτύονες*[6] *ὄντες. ἐκ τοῦ οὖν*[7] *μερικοῦ τῷ κοινῷ ὀνόματι τῶν Ἀμφικτύονων ἐχρήσατο.* Vat. Laur. Fgim.

ἐξομοσάμενος] *σὺν ὅρκῳ ἀπωσάμενος.* Bi. *ἐξωμοσία ἐστὶ μεθ' ὅρκου ἄρνησις. ἀντωμοσία δὲ*[8] *ἐπὶ δίκης, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα*[9] *ὅτι ἠδίκηκε,*[10] *τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι.*[11] *οἱ δὲ τὴν ἐπὶ πράγμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράφοις εἰς ὅρκον περιϊσταμένην δίκην, ἐφ' ᾗ ἴσοι κριταὶ δικάζουσιν· ἔνιοι δέ,*[12] *ὅτε*[13] *ἐπὶ δημοσίῳ ἀγῶνι*[14] *σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀνθυπόμνυται, φάσκων προσποιεῖσθαι αὐτόν,*[15] *καὶ περὶ τούτου διαλαμβάνουσιν οἱ δικασταί.* Vat. Laur. Bgim.[16]

ἀφ' ἧς ἦκον πρεσβείας] *οἱονεὶ τῆς προτέρας.* F.

πρὸς δὲ τὴν βουλήν] *χρεία γὰρ ἦν μετὰ τὴν χειροτονίαν τοῦ δήμου εἰσιέναι τοὺς πρέσβεις εἰς*[17] *τὴν βουλήν, ἵνα ἐπικυρωθῇ αὐτοῖς ἡ ἔξοδος.* Vat. Laur. Fgim.

1) *οὐκέτ'* Laur. 2) *ὡς* om. gm. 3) *ἐγράψ. Δημομέλην* om. Laur. 4) *εἶναι* ante *νόθον* pon. i. 5) *Ἀθηναῖοι* Vat. Laur. g. 6) *ἀμφικτυόνες* F. 7) *οὖν* F. 8) *δὲ ἐστὶ* Laur. Bi. 9) *τὸν μὲν ἐγκαλοῦντα* om. g, a manu sec. insertum habet m. 10) *ἠδίκηκε* Vat. Laur. gm, *ἠδίκηκας* Bi. 11) *μὴ ἠδικηκέναι* Vat. Laur. g, *ὅτι ἠδίκημαι* im. 12) *δὲ* om. Laur. g. 13) *ὅτε* Dindorf., *ὅταν* codd. 14) *δημ. ἀ.*] *δημοσίων ἀγώνων* g. 15) *αὐτὸν* ante *προσποιεῖσθαι* pon. im. 16) In B haec inde a verbis *μὴ ἠδικηκέναι* sic sunt interpolata: *ἠδίκημαι ἢ ὅτι ἡ πόλις ἀδίκηται, εἴρηται ἀντωμοσία. οἱ δέ, ὅτι ἐπ' ἀδικήμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράπτοις εἰς ὅρκους παρεσταμένη δίκη, ἐφ' ᾗ ὅσοι κριταὶ δικάζουσιν· ἔνιοι δέ, ὅτι ἐπὶ δημοσίου ἀγῶνος τοῦ φεύγοντος σκηπτομένου καὶ ὀμνύοντος, ὁ ἀντίδικος ἀνθυπόμνυται, φάσκων αὐτὸν προσποιεῖσθαι.* Cetera om. 17) *πρὸς* Laur.

95. ἀψευδεῖν] οὐ λέγει ἐμὲ[1] πρὸς τοὺς Ἀθηναίους ψεύσασθαι εἴ γε ἐψεύδετο, ἀλλὰ τοὺς Ἀθηναίους ἐμοῦ[2] ψευσθῆναι,[3] ἵν' ᾖ ψευσθῆναι ποιῆσαι, ὅπερ ἄμεινον. Vat. Laur. gim.

96. ταύτης] αὕτη ἐστὶν ἡ τρίτη πρεσβεία. Bi.

ἐπὶ ταύτην] τὴν δευτέραν. Bi.

97. ὑστέραν] ἀντὶ τοῦ δευτέραν. F.

99. στρωματόδεσμα] ἃ καλοῦμεν ἐν τῇ συνηθείᾳ στρωματοδεσματόφελλα[4] (?) καὶ ἀβελτάρια. Vat. Laur. Fgm.

Βάταλος] Πλούταρχος ἐν τῷ Δημοσθένους βίῳ (c. 4)· βάταλος μόριόν τι τοῦ σώματος παρὰ τοῖς Ἀττικοῖς αἰσχρόν. B.

Βάταλος] ἔκλυτος[5] καὶ ἄνανδρος, ἀπὸ αὐλητοῦ τινὸς ὀνόματι[6] Βατάλου. Vat. Laur. gim. Ἄλλως. οἱ μὲν αὐλητὴν Βάταλον ὠνομάσθαι οὕτως, οἱ δὲ ποιητὴν μελῶν κατεαγότων.[7] Vat. Laur. ἐκ δὲ τούτου σκώπτει αὐτὸν εἰς μαλακίαν. τὸ δὲ ἐκ παίδων ἀπαλλαττόμενος καὶ τὰ ἑξῆς[8] συντεκμαιρόμεθα οὕτως, ὅτι ἑπτὰ καὶ δέκα ἔτη γεγονὼς[9] ἐδοκιμάσθη, κατά τι[10] ψήφισμα ἴσως τοῦτο[11] συγχωρηθὲν αὐτῷ,[12] ἵνα δικάσηται[13] τοῖς ἐπιτρόποις. κατὰ γὰρ τὸν νόμον ὀκτωκαιδεκαετεῖς[14] δοκιμάζονται·[15] εἶτα μετ' ἔτη δύο ἀπολαμβάνουσιν[16] ἀπὸ τῶν ἐπιτρόπων οἱ ὀρφανοὶ τὰς οὐσίας. Vat. Laur. gim.

δεκαταλάντους — λαγχάνων] παρὰ γὰρ τῶν τριῶν αὐτοῦ[17] ἐπιτρόπων τριάκοντα[18] τάλαντα ἔλεγε χρεωστεῖσθαι καὶ δέκα παρ' ἑνὸς ἑκάστου αὐτῶν.[19] Ἀργᾶς[20] δὲ καλεῖται ὁ ὄφις παρὰ Δωριεῦσι· θέλει οὖν αὐτὸν ὀφιώδη τὸν τρόπον δεῖξαι καὶ οἱονεὶ θηριώδη καὶ ἀνάνθρωπον. Vat. Laur. Fgim.

Ἀργᾶς] εἶδός τι ὄφεως ἀναιρετικοῦ.[21] ἢ ὁ ἀργῶν ἐπὶ[22] τῶν ἄλλων, γράφων δὲ[23] λόγους. Vat. Laur. Fgim. ἢ[24] ἀπὸ ποιητοῦ τινος[25] πονηροῦ οὕτω καλουμένου. Vat. Laur. gim. ἢ ἀργᾶς ὁ πονηρός· ἔστι γὰρ εἶδος ὄφεως ἀναιρετικοῦ. Vat. Laur. gm. ἀργᾶς ὄφιος εἶδος. οὕτω δὴ ὠνομάσθη διὰ τὸ τῆς φύσεως πονηρὸν καὶ κακόηθες. B.

101. συνήλθομεν εἰς τοὐτὸν] οἱονεὶ ἅμα. F.

ἀνεγνώσθη μὲν τὸ ψήφισμα] εἰ μὴ γὰρ ἀνέγνω ὅτι Φίλιππος καὶ ἐπείσθη ὅτι ἡ πόλις ἐψηφίσατο, οὐ παρεῖχεν αὐτῶν ἀπόκρισιν. F.

συνηριθμούμεθα] ἀντὶ τοῦ ἐλέγομεν. F.

---

1) ἐμὲ om. Laur. 2) ἐμὲ g. 3) ψευσθ.] ἢ ἐμὲ ἀψευδεῖν add. Laur. 4) στρωματόδεσμα, πόφελλα Vat. Laur. gm. 5) ἔκτος Laur. 6) ὄνομα Laur. 7) vv. οἱ δὲ ἀπὸ ποιητοῦ μελῶν κατεαγότων cum praecedente scholio coniuncta habent gim. 8) τὰ ἑξ.] τὸ ἑξῆς m. Huius scholii posteriorem tantum partem habet B (cum lemmate ἐν παισὶ μὲν γὰρ ὤν), ἑπτὰ καὶ δέκα γοῦν ἔτη γεγονὼς ἐδοκιμάσθη (nam sic legitur in B). Dindorf. 9) γεγονὼς ex B recepi, om. cett. Lectionem librorum Dindorf. correxit in ἑπτακαιδεκαετῆς. 10) κατά τι Sauppius, εἰς gim, κατὰ τὸ B, κατὰ Vat. Laur. 11) τοῦτο hoc loco ponunt Vat. Laur. g, post αὐτῷ cett. 12) τοῦτο — αὐτῷ] συγχωρηθέντος αὐτῷ τούτου. B. 13) δοκιμάσηται Laur. 14) ἐτῶν ιη Laur. g. 15) ἐδοκιμάζοντο B. 16) ἐλάμβανον B. 17) αὐτοῦ Sauppius pro αὐτοῦ. 18) τριάκοντα] λ' Fi, τρία Vat. Laur. Bgm. 19) αὐτοῦ gm, αὐτῷ B. 20) ἀργὰς Laur. F. 21) ἀναιρετικοῦ om. F. 22) ἀπὸ Fgim. 23) δὲ om. F. 24) οἱ δὲ m, qui haec verba in fine huius scholii collocat, ἢ om. i. 25) τινος add. m.

102. *ἀρτίως ὑπεθέμην*] *ἀντὶ τοῦ προεῖπον.* F.

103. *ὅτι δὲ*] *ἀσφαλῶς τοῦτο ἐπήγαγεν, ἵνα μή τις εἴπῃ, καὶ πόθεν αἰσθάνῃ τοῦτο, εἰ μὴ ἦσθα προδότης; ὅτι πάντες οἱ ἐχθροὶ ἡμῶν πάρεισι καὶ εἰς τὸ ἐναντίον ἡμῖν πρεσβεύουσιν.* Vat. Laur. Fgim.

104. *Βοιωτῶν*] *οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν δύο πόλεων τῶν Βοιωτικῶν*[1] *ὧν κατέσκαψαν οἱ Θηβαῖοι, Θεσπιέων καὶ Πλαταιέων.* Vat. Laur. Fgim.

τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν] *ἵνα ἔχωσι λέγειν οἱ Ἀθηναῖοι, ἐὰν Φίλιππος μὴ θελήσῃ ποιῆσαι, ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον ἐγράψαμεν, ἀλλὰ οἱ πρέσβεις ἡμῶν ἁπλῶς ἠθέλησαν εἰπεῖν· καὶ εἰς τούτους*[2] *ἀναφέροντες τὴν αἰτίαν ἔμελλον ἐκφεύγειν τὴν ἀπὸ τῆς ἀποτυχίας αἰσχύνην.* Vat. Laur. Fgim.

105. *εἰς τὴν προστασιὰν τῆς Καδμείας*] *οἷον εἰς τὴν εἴσοδον καὶ προπυλῶνα τῆς ἀκροπόλεως*[3] *τῶν Θηβαίων. Καδμεία γὰρ ἐκαλεῖτο ἡ ἀκρόπολις τῶν Θηβαίων ἀπὸ Κάδμου τοῦ οἰκιστοῦ.* Vat. Laur. Fgim. *εἰς τὴν ταύτης δὲ προστασιὰν*[4] *οἷον ἐπιμέλειαν.* Laur.

106. *βοιωτιάζει*] *τὰ τῶν Θηβαίων φρονεῖ. Βοιωτοὶ γὰρ οὗτοι.* Vat. Laur. gim.

ἀπαγορεύω] *ἀντὶ τοῦ ἀγορεύω, ὅ ἐστι λέγω.* Vat. Laur. Fg.

107. *ἐγκαλύπτομαι*] *ἀντὶ τοῦ κρύπτομαι καὶ σκέπω ἐμαυτὸν· οὐδὲν γάρ μοι μέλει περὶ τούτων.* Vat. Laur. Fgim.

νομίζει συμφέρειν] *ὅτι*[5] *οὐκ ὀφείλει Φίλιππος*[6] *ἐπὶ τὸ ἐν Δελφοῖς ἱερὸν καὶ τοὺς Φωκεῖς ἐπιβαίνειν*[7] *ἐκτὸς*[8] *κοινῆς γνώμης Ἀμφικτυόνων.* Vat. Laur. Fgim.

ὅτι δ' ἀληθῆ λέγω] *ἐπανάληψις.* Fm.

108. *παρά τισιν εὐδοκιμεῖ*] *ἀντὶ τοῦ τοῖς εὐφρονοῦσιν.* F.

109. *ἐν τακταῖς ἡμέραις*] *ὅ ἐστιν ἐν δύο*[9] *ἡμέραις, ἵνα ἐκκλείσῃ διὰ τοῦ τάχους*[10] *καὶ τοὺς ἄλλους Ἕλληνας ἐλθεῖν καὶ συσπείσασθαι. τοὺς τὴν εἰρήνην*[11] *δὲ ἐκκλείοντας οἷον μὴ ἐῶντας εἰρήνην γενέσθαι· οὐ τοῖς λόγοις δέ φησιν, ἀλλὰ τοῖς χρόνοις, τουτέστιν οὐ*[12] *ψιλοῖς ῥήμασιν, ἀλλὰ διὰ τοῦ εἰπεῖν ὡς ἐν δύο ἡμέραις δεῖ βουλεύσασθαι, ὅ ἐστι συντόμως.* Vat. Laur. Fgim.

110. *ἕτερον*] *παρατήρησαι ὅτι οἱ Ἀττικοὶ ἀδιαφόρως λέγουσι τὸ ἕτερον οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ ἐπὶ πολλῶν· μετὰ γὰρ δύο ψηφίσματα εἶπεν ἕτερον.* Vat. Laur. Fgim.

111. *ἐνεκαλύψαντο*] *τὰ πρόσωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων.* B.

οὐ καταδὺς] *τοῦτο ἀπὸ Δημοσθένους ὡς εἰπόντος,*[13] *καὶ ταῦτα ἔπραττον φανερῶς οὕτωσὶ μηδὲ*[14] *ὑποστελλόμενος ὡς ἕτεροί τινες.* Vat. Laur. gim.

112. *γυνὴ γὰρ*] *ἔοικεν ἀμύνεσθαι αὐτῷ διὰ τὴν γενομένην*

1) *Βοιωτιακῶν* F. 2) *τοῦτο* Fi. 3) *καὶ προπ. — ἀκροπόλεως*] *τῶν προπυλαίων τῶν ἀκροπόλεων* g. 4) *προστασίαν* Laur. 5) *οἷον ὅτι* F. 6) *ὁ Φίλιππος* F. 7) *ἐπιμένειν* g. 8) *ἐκ τῆς* g. 9) *δύο* Vat. Laur., *δυσὶν* cett. cf. infra. 10) *τοῦ τ.*] *τὸ τάχος.* Laur. 11) *τὴν εἰ.*] *τῆς εἰρήνης* Fim, quod correxit Sauppius. 12) *ἐν* Laur. 13) *ὡς εἰπόντος*] *εἰρηκότος ἐκείνου* i. 14) *μηδὲν* i.

ὑπὲρ ἀγνείας διαβολήν,[1] εἴ γε[2] κάλλιστον εἶναι γυναῖκα καθίστη. Vat. Laur. gim.

σπογγιᾶς] ὡς καὶ[3] παρὰ τῷ ποιητῇ (Od. α, 111) "σπόγγοισι πολυτρήτοισιν". εὕρηται[4] δὲ καὶ παρὰ τῷ[5] Ἀριστοφάνει (Ran. 482, 487?) ὁ[6] σπόγγος[7] καὶ ἡ[8] σπογγιά, ὥσπερ[9] καὶ ἐνταῦθα. Vat. Laur. Fgim.

ἐργολαβοῦντος] φιλοπράγμονος καὶ περιέργου. Vat. Laur. gim.

ποῖα ἐκεῖνα, ἅπερ εἶπε πρὸς τὸν δῆμον τῶν Ἀθηναίων κατὰ τὴν α' πρεσβείαν ἄρτι ἥκων ἐκ Μακεδονίας μετὰ τῶν περὶ Αἰσχίνην; Κτησιφῶντος γὰρ καὶ τῶν σὺν αὐτῷ Φίλιππον ἐπαινούντων πρὸς τὸν δῆμον καὶ λεγόντων ὡς καλός τε εἴη τὴν ἰδέαν καὶ τοῦ λέγειν ἐμπείρως ἔχων καὶ μνημονευτικὸς αὐτὸς πρὸς ἕκαστα τούτων ἀντεπῆγε τἀναντία. ταῦτα οὖν, φησὶν Αἰσχίνης, πάντα διορθοῦτο[10] Δημοσθένης ἐπὶ τῆς ὑστέρας πρεσβείας πρὸς Φίλιππον, λέγων ὅτι διὰ τοῦτό σε οὐκ εἶπον, ὦ Φίλιππε, πρὸς τὸν τῶν Ἀθηναίων δῆμον ὡραῖον, διότι γυναιξὶ τοῦτο δέδοται καὶ ὑπὲρ γυναικῶν ἄξιον τοῦτο λέγειν καὶ ὅτι δεινὸς εἶ[11] σφόδρα πιεῖν, ὅτι σπογγιᾶς τοῦτο ἔπαινος τὸ πίνειν ὅτι πλεῖστον καὶ τὰ ἑξῆς. g.

115. μηδεμίαν πόλιν] ὅτι Βοιωτῶν[12] Ἀμφικτυόνων ἁπάντων ὄντων πόλεις αὐτῶν ἀναστάτους ἐποίησαν Θηβαῖοι. Vat. Laur. gim.

ναματιαίων[13]] ἐνταῦθα λέγει κυρίως τῶν ποτίμων. Vat. Laur. Fgim. τῶν πηγαίων. Vat. Laur. gim.

ἀναστήσειν] οὐ λέγει πορθήσειν, ἀλλ' ἐπὶ τὸ[14] συμμαχεῖν[15] ἐπεγείρειν.[16] Vat. Laur. gim.

χειρὶ καὶ ποδὶ[17]] ἀντὶ τοῦ πάσῃ προθυμίᾳ, ἁπλῶς δὲ εἰπεῖν, καὶ πάσῃ δυνάμει, ἔστι δὲ καὶ ἀπὸ παροιμίας. Vat. Laur. Fgim.

ἆρα ἰσχυρὰ] αὕτη ἡ ἀρά ἐστιν ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ (§. 110). B.

116. τούτων] τῶν δεδογμένων τοῖς Ἀμφικτύοσιν.[18] Vat. Laur. Fgim.

Δωριέας, Ἴωνας] ἵνα διὰ μὲν τοῦ κοινοῦ ὀνόματος τῶν Ἰώνων καὶ τοὺς Ἀθηναίους περιλάβῃ, διὰ δὲ τῶν Δωριέων τοὺς Λακεδαιμονίους. Vat. Laur. Fgim. λέγει δὲ τὴν τετράπολιν. Vat. Laur. gim.

ἰσόψηφον γενόμενον] ὥσανεὶ ἔλεγε, τὴν αὐτὴν τιμὴν ἔχουσαν[19] ἐν τῷ ψηφίζεσθαι τὴν μικρὰν πόλιν τῇ μεγάλῃ. δύο δὲ ψήφους φησί, μίαν ἐν τῷ ψηφίζεσθαι καὶ μίαν ἐν τῷ ἀποψηφίζεσθαι. Vat. Laur. Fgim. οἷον Θεσπιὰς καὶ Πλαταιάς.[20] F.

ἐκ Δωρίου καὶ Κυτινίου] Δώριον[21] καὶ Κυτίνιον καὶ Ἐρινεὸν[22]

1) ἀγν. δ.] ἀμνείας διαβολὴν i, εὐγενείας ὑπερβολήν g. 2) εἴγε] ἤ γε i. 3) καὶ om. Laur. g. 4) εὕρον Laur. g. 5) τῷ om. Laur. 6) ὁ om. Laur. 7) σπογγιάς F, σπογγίας cett. cf. G. Dindorf. ad h. l. et L. Dindorf. in Thesauro l. gr. t. 7 p. 603. 8) ἡ om. Laur. 9) ὡς g. 10) διορθοῦτο g. 11) εἰς g. 12) Βοιωτῶν Bekkerus pro Βοιωτοί. 13) ναματίων F. 14) τῷ gim. 15) συμμαχῆσαι im, συμμαχήσειν g. 16) ἐπαγείρειν Laur. 17) τὸ χειρὶ καὶ ποδὶ om. signo lemmatis Di. 18) Sic etiam edd., qui alias scribunt Ἀμφικτυόνες. 19) ἔχουσιν im. 20) πλατειὰς F. In i Θεσπιεῖς καὶ Πλαταιεῖς legitur post scholion superius ad v. τούτων. 21) τὸ δὲ Δώριον gim. 22) Ἐρίνεον im.

πολίσματα[1] τῆς ἐν Θετταλίᾳ Δωρίδος. εἰσὶ δὲ καὶ Λακεδαιμόνιοι Δωριεῖς. συνίστησι δὲ καὶ τὸ μέγα ἔθνος πρὸς τὸ ἐλάχιστον, ἴσον δυνάμενον ἐπὶ Ἀμφικτύοσιν[2] Vat. Laur. gim.

117. τὴν μὲν οὖν ἀρχήν] ἡ ἀρχὴ ὁσία. ἔδοξαν γὰρ πλημμελῆσαι περὶ τὸ ἱερὸν καί εἰσι τιμωρητέοι. οὐκοῦν ἐπὶ τὸ τέλος τῆς πολιορκίας χωρητέον . . . . .[3] ὧν καθεξομένων παραδώσειν αὐτῷ τοὺς πλημμελήσαντας· εἰ δὲ μή, τότε πορθητέον. Ἄλλως. τὴν προαίρεσιν καὶ τὴν ἀφορμήν. ἦν γὰρ πρόφασις τὸ δίκην εἰσπράξασθαι παρὰ τῶν ἀδικησάντων περὶ τὰ τοῦ θεοῦ χρήματα. Vat. Laur. gim.

ἐπεξελθὼν] οἷον ἐπὶ πέρας ἐλθὼν τοῦ ἔργου. Vat. Laur. gim. οἷον ἐκπολιορκήσας· ἐπεξελθεῖν γὰρ λέγουσι τὸ ἐπὶ πέρας τινὸς ἐλθεῖν.[4] Vat. Laur. gm.

βεβαιώσεις] ὅτι καὶ Θηβαῖοι ἐπλημμέλησαν περὶ Φωκέας καὶ τὸ ἱερόν. ἔμελλεν οὖν αὐτοὺς ἀπαλλάξειν τῶν ἐγκλημάτων τοὺς[5] Φωκέας μόνους καταστρεψάμενος.[6] ἡ δὲ ἀπαλλαγὴ τοῦ ἐγκλήματος βεβαίωσιν ἔφερε τῆς ἀδικίας ὡς ὀρθῶς πραχθείη. Vat. Laur. Fgim.

παρ' ὧν — χάριν] ἡ σύνταξις· παρὰ τούτων οὐκ ἀπολήψῃ χάριν οἷς βοηθεῖς. Vat. Laur. Fgim.

Ἀθηναῖοι] Ἀθηναῖοι γάρ εἰσιν οἱ τῆς Ἀρχίου[7] τυραννίδος αὐτοὺς ἀπαλλάξαντες καὶ τὴν Λακεδαιμονίων φρουρὰν ἐκ τῆς Καδμείας ἐκβαλόντες. Vat. Laur. gim.

χρήσῃ δ' ἐχθροῖς] τοῖς Θηβαίοις, καθὸ ἀχάριστοί εἰσιν. Vat. Laur. Fgim.

119. ἥκων ἀπήγγελλον] ὅτι πάντως ταῦτα[8] ποιήσει ὁ[9] Φίλιππος. Vat. Laur. Fgim.

τὰς Θήβας Βοιωτίαν] τουτέστι τὰς Θήβας ὅλης[10] τῆς Βοιωτίας μέρος εἶναι καὶ μὴ τὴν ὅλην Βοιωτίαν ἐν Θήβαις εἶναι. B.

120. τοὺς μικροπολίτας] ἐπίθετόν ἐστιν, ὡς ἄν τις εἴποι, τοὺς οἰκοῦντας τὰς[11] μικρὰς πόλεις, ὥσπερ ἂν τοὺς[12] Χαλκιδέας. οἱονεὶ φοβούμεθα ἡμεῖς οἱ μικροπολῖται τὸ ἔγγραφον τὸ ἐν τῷ ψηφίσματι καὶ[13] ἄλλο τι ποιῆσαι ἀγαθόν, μήπως περὶ ἡμῶν αἰνίττηται,[14] ὥστε λαβεῖν ἡμᾶς Φίλιππον καὶ παραδοῦναι ὑμῖν ἀντὶ Ἀμφιπόλεως. Vat. Laur. Fgim.

121. φαίνεται γοῦν ἀπὸ τούτου τὸ λέγειν αὐτὸν ὑφ' ἡμῶν τὰ τοιαῦτα παθεῖν ψευδές· οὐ γὰρ ἂν ἔγραψεν ἐκείνους ἐπαινέσαι καὶ καλέσαι[15] ἐπὶ τὸ πρυτανεῖον, ὑφ' ὧν, ὡς λέγει, τοιαῦτα πεπόνθοι. g.

διαιρούμενος] οἱονεὶ σαφῶς λέγων[16] καὶ ἄντικρυς[17] κατὰ διαίρεσιν καὶ φανερῶς. Vat. Laur. Fgim. ἢ ὑπομερίζων καὶ διαβάλλων,

1) In B: Δώριον καὶ Κοτύνιον καὶ Σπάρτα τρεῖς πόλεις Δωρικαί. 2) Vd. p. 302 ann. 18. 3) lacunam indicavit Sauppius. 4) ἐλθεῖν βεβαίως gm. Quod ortum ex proximo βεβαιώσεις. 5) καὶ m. 6) καταστρεψαμένου Vat. Laur. gm. 7) Ἀρχίου Sauppius pro Ἀρχίνου. 8) πάντ. ταῦτα] ταῦτα πάντα i. 9) ὁ om. Laur. 10) ὅλης Sauppius pro ὅλας. 11) τινὰς F. 12) ἂν τοὺς Bekkerus, αὐτοὺς Fm, αὖ τοὺς Vat. Laur. g. 13) καὶ] τὸ καὶ F, καὶ τὸ im. 14) αἰνίττεται F. 15) καλέσει g. 16) λέγειν g. 17) ἄντικρυ im.

ὡς Σοφοκλῆς Αἴαντι[1] *φάσκει*[2] *δατούμενος· τὸ γὰρ αὐτὸ δύναται. ἢ ἐμοῦ μὲν κατηγορεῖν βουλόμενος, ἀπολογεῖσθαι δὲ ὑπὲρ ἑαυτοῦ. τοιοῦτος γὰρ ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου μάλιστα.* Vat. Laur. gim.

122. *παρακληθεὶς*] *ἀντὶ τοῦ προτραπείς.* F.

123. *εἰ*] *ἀντὶ τοῦ εἴπερ τότε. ἔστι δὲ παραγραφικὸν ἀπὸ χρόνου.* Vat. Laur. Fgim.

κἀκείνης — κατηγορεῖν] *καθὸ μὲν*[3] *ἐγγράφως οὐ*[4] *κατηγόρησε τῆς προτέρας ὥσπερ τῆς δευτέρας, λέγει αὐτὸν μὴ κατηγορηκέναι, καθὸ δὲ εἶπεν ὅτι ἐλάνθανέ με πεπρακὼς ἑαυτὸν τέως, διὰ ῥήματος κατηγόρησεν αὐτοῦ.* Vat. Laur. Fgim.

124. *αἱ ἀπάται*] *ἃς ἠπάτησε Φίλιππος δηλονότι διὰ τῆς ἐπιστολῆς.* Vat. Laur. gm.

Λυδίαν] *Λυδίας Μακεδονίας ποταμός.*[5] Vat. Laur. gm. *γραπτέον Λοιδίαν. ἔστι δὲ Λοιδίας Μακεδονίας ποταμός, ὥς φησιν Ἁρποκρατίων.* B.

ὁ μὲν γὰρ Λεωσθένης] *εἰρωνεία.* B. *ἠθικῶς ἀναγνωστέον· ἔστι γὰρ κατ' εἰρωνείαν ὁ λόγος. ἐπιδεξίως δὲ ἀντὶ τοῦ αἰσίως καὶ καλῶς.* Vat. Laur. Fgim.

Καλλίστρατον] *Καλλίστρατος ὁ*[6] *ῥήτωρ καὶ δημαγωγός, ὃς φυγαδευθεὶς ᾤκησε*[7] *τὸ Βυζάντιον.* Vat. Laur. gim.

125. *Πύθων*] *ῥήτωρ οὗτος, Ἰσοκράτους μαθητής.* Vat. Laur. gim.

126. *καὶ τὸν μὲν λόγον — καταλύω*] *ἡ σύνταξις οὕτως· καὶ τὸν μὲν λόγον καταλύω, εἰ συγχωρεῖ ταῦτα ὁ κατήγορος. ἀντὶ τοῦ καταπαύομαι τοῦ λέγειν, εἰ δοκεῖ ταῦτα πραχθῆναι, ὅ ἐστι τοὺς οἰκέτας βασανίζεσθαι.* Vat. Laur. gim.

πρ. ἕνδεκα γὰρ ἀμφορέας] *μέτρον τι ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ἔρρεεν. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί, ὡς ἐν τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τοῖς δικασταῖς.* B. (cf. Harpocrat. p. 58, 6.). *φασὶν ὅτι τὰς ἡμέρας τοῦ Ποσειδεῶνος μηνὸς ἐπιλεξάμενοι οἱ Ἀθηναῖοι ὡς συμμέτρους καὶ δυναμένας κατέχειν*[8] *ἕνδεκα ἀμφορέας πρὸς αὐτὰς*[9] *καὶ ταῖς ἄλλαις ἡμέραις*[10] *ἐσκευάζοντο*[11] *τὴν κλεψύδραν, μεγάλου πράγματος δηλονότι γυμναζομένου. ἀπενέμοντο*[12] *δὲ οἱ ἕνδεκα ἀμφορεῖς κατὰ τὸ τρίτον τοῖς ἀντιδίκοις καὶ τοῖς δικασταῖς.* Vat. Laur. Fgim. *Ἄλλως. ἡ πᾶσα, φησίν, ἡμέρα τῷ ἀγῶνι ἀποδέδοται. εἰ οὖν βούλει ταῦτα γίνεσθαι καὶ παύσομαι λέγων, δύναται ἐν τῷ λοιπῷ μέρει ταῦτα πράττεσθαι.* Vat. Laur. gim.

ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ] *τοῖς περὶ τῶν*[13] *μεγίστων ἀγωνιζο-*

1) „an Locrensi?“ BS. 2) *φάσκων* Laur. 3) *μὲν* om. F. 4) *οὐ* om. g. 5) *ποταμὸς* ante *Μακεδ.* Laur. 6) *ὁ* om. Laur. 7) *ὤκισε* Laur. gm. 8) *κατασχεῖν* Fgim. 9) *αὐτήν* g. 10) *ταῖς ἄλλαις ἡμέραις* Sauppius pro *τὰς ἄλλας ἡμέρας.* 11) *ἐσκεύαζον* Fgim. 12) *ἀπεπέμποντο* g. 13) *τῶν* om. Laur.

μένοις διηρεῖτο ἡ ἡμέρα καὶ ἐδίδοτο αὐτῆς[1] ἥμισυ μὲν[2] τῷ κατηγόρῳ, ἥμισυ δὲ[3] τῷ ἀπολογουμένῳ. καὶ διεμετρεῖτο τὸ ὕδωρ, ὅσον ἐπαρκεῖ εἰς τὰς[4] ὥρας τοῦ ἡμίσους[5] μέρους[6] τῆς ἡμέρας. τοῦτο δὲ ἀπὸ μιᾶς ὥρας. Vat. Laur. Bgim. φησὶν οὖν ὅτι[7] ἐν[8] ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἠγωνίζοντο, τὸ[9] διαμετρηθὲν ταῖς ἐξ ὥραις ὕδωρ ἦσαν ἀμφορεῖς ὕδατος ἕνδεκα. Vat. Laur. gim.

130. λογισμόν τινα] ἀντὶ τοῦ ἀριθμόν. F.

Φαλαίκου] οὗτος Ὀνομάρχου[10] υἱός, Φωκέων τύραννος, διαδεξάμενος τὴν ἀρχὴν παρὰ Φαύλλου. δρομοκήρυκες δὲ οἱ λεγόμενοι ἡμεροδρόμοι, ὧν γέγονεν ἐπιφανέστατος Φιλιππίδης Ἀθηναῖος. Vat. Laur. gim. οἵτινες διὰ τοῦ δρόμου καὶ τοῦ τάχους δύνανταί τινα ἀγγεῖλαι, ὡς νῦν καλοῦμεν τοὺς βερεδαρίους.[11] F.

131. κατεμισθοφόρησαν] οἷον εἰς τὸν μισθὸν τῶν ξένων κατεδαπάνησαν[12] ὧν ἐμεμίσθωντο.[13] Vat. Laur. Fgim.

132. Ἅλπωνον —] πόλεις Λοκρικαί, ὧν ἡ Νίκαιά ἐστι παραθαλάσσιος, ἀπέχουσα Θερμοπυλῶν σταδίους μ΄. Vat. Laur. gim.

133. τοῖς σπονδοφόροις] τοῖς καταγγελεῦσι τῶν μυστηρίων. καθόλου πάντες οἱ τὰς πανηγύρεις[14] καταγγέλλοντες σπονδοφόροι. Vat. Laur. gim.

μυστηριώτιδας] τὰ τῶν Ἐλευσινίων λέγει, ἅπερ ἐξαιρέτως μυστήρια ἐκάλουν. τούτων οὖν ἀγομένων περιήεσάν τινες χειροτονηθέντες σπονδὰς ποιοῦντες ἐν ταῖς πόλεσιν, ὥστε μὴ πολεμεῖν τινα τῶν Ἑλλήνων, ἀλλ' ἡσυχάζειν ἐν τούτῳ[15] τῷ καιρῷ. Vat. Laur. Fgim.

οὐκ ἐσπείσαντο] οὐκ ἐδέξαντο τὰς ἐπαγγελίας. Vat. Laur. gim.

135. οὔπω διελέλυσθε] οὔπω, φησί, διηλλάγητε πρὸς Φίλιππον, ἀλλ' ἔτι πόλεμος ἦν. Vat. Laur. gim.

παραναγιγνωσκομένων] οἱονεὶ[16] πλησίον[17] τῶν μαρτυριῶν. Vat. Fgim.

136. οὗτος] ὁ Φάλαικος.[18] ὡσανεὶ ἔλεγεν, ἀλλ' ἔχει τις εἰπεῖν ὡς ὅτι αὐτὸς μόνος ὁ Φάλαικος ἠγνόει τὴν Φιλίππου γνώμην. ἆρα[19] δὲ καὶ ὑμεῖς οὐχ οὕτω διέκεισθε καὶ ἠγνοεῖτε αὐτὸν οἷός ἐστιν; Vat. Laur. Fgim.

ἐπαυξῆσαι[20]] ἀντὶ τοῦ αὐξηθῆναι ἐᾶσαι. F.

τῶν ἄλλων] τῶν οἰομένων ὑπὲρ Θηβαίων εἶναι τὸν πόλεμον, ἀλλ' οὐ κατὰ Θηβαίων. Laur. gim.

ὑπὲρ αὐτῶν] οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ Θετταλῶν. Vat. Laur. gim.

1) αὐτοῖς B. 2) et 3) μὲν et δὲ om. B. 4) τὰς] ἐξ add. Sauppius. 5) τοῦ ἡμ.] τοῦ ἡμίσεως B, τὸ ἥμισυ im. 6) μέρος m, om. B. 7) ὅτι add. Bekkerus. 8) ἐν a man. sec. additum in m. 9) τὸ add. Sauppius. 10) Ὀνομακρίτου codd. correctum ex Diodoro 16, 38. 11) βενεδαρίους F. 12) κατεδαπανήθησαν Laur. 13) ἐμισθοῦντο F. 14) τὰς πανηγύρεις ex meis recepi; reliqui μυστήρια, ubi scholion incipit in F, antecedentibus verbis praesectis. 15) τούτῳ Sauppius pro αὐτῷ. 16) οἷον F. 17) πλησίοι F. 18) ὁ Φάλαικος om. F. 19) ἆρα codd. 20) ἐπαυξῆσαι de coni. Lemma est in F: Λακεδαιμόνιοι οὐ μεθ' ἡμῶν.

137. *τὰς ἐν Βοιωτοῖς πόλεις*] *ἃς ἦσαν Θηβαῖοι καταστρεψάμενοι.* Vat. Laur. gim.

κατοικιεῖ] *ἀνίστησι, τειχίζει. Δημοσθένης* (or. 19 §. 112. p. 375) *ἐν τῇ κατηγορίᾳ "οὗτος γὰρ ἔφη καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν".* B.

οὐκ ἐξεληλύθεσαν] *ὡς ὑπὲρ αὐτῶν*[1] *μαχούμενοι, ἀπιστοῦντες δὲ τοῖς παρὰ Φιλίππου παραγγέλμασιν.* Vat. Laur. gim.

138. *οἷς*] *οἱ Φωκεῖς δηλονότι.* B.

139. *ἐσκευαγώγησαν — Ἀθηναῖοι*] *μετὰ γὰρ τὸ λαβεῖν τὰς ἐν Φωκεῦσι πόλεις τὸν Φίλιππον Ἀθηναῖοι φοβηθέντες περὶ τῇ ἑαυτῶν καὶ νομίζοντες ὅσον οὔπω καὶ καθ' αὑτῶν*[2] *παρεῖναι τὸν Φίλιππον καὶ μάλιστα φοβούμενοι τοῦτο, διά τε τὸ μὴ ἐθελῆσαι Φιλίππῳ συστρατεῦσαι καὶ διὰ τὸ γενέσθαι καταφανεῖς ψηφισαμένους βοηθεῖν περὶ τὰς Πύλας ἐσκευαγώγησαν ἐκ τῶν ἀγρῶν Καλλισθένους, ὥς φησι Δημοσθένης* (or. 19 §. 86. p. 368), *οὐχὶ Δημοσθένους τοῦτο ψηφισαμένου.* g.

πρεσβεύοντος ἐμοῦ] *λύει τὸ ἀντιπῖπτον· ἐχρῆν γὰρ*[3] *ἀντειπεῖν, ἀπεδήμουν, φησίν.*[4] Laur. gim.

ἐχθρὸς δ' ὤν] *εἰ ὡς λέγεις, φησίν, ἀχειροτόνητος ἐξῆλθον, διὰ τί με οὔπω ἔκρινας παραπρεσβείας, καὶ ταῦτα ἐχθρὸς ὤν;*[5] Vat. Laur. gim.

οὐ γὰρ δὴ φθονεῖς] *οὐχ ὥσπερ, φησί, τῶν ἄλλων μοι φθονεῖς,*[6] *οὕτω καὶ τοῦ*[7] *παθεῖν κακῶς. τοῦτο γὰρ κἂν*[8] *εὔξαιο τοῖς θεοῖς, λαβεῖν με τιμωρίαν εἰς τὸ σῶμα.* Vat. Laur. gim.

τιμημάτων] *οἱονεὶ τιμωριῶν. χλευάζοντος δ' ἐστὶν ὁ λόγος. ὡς γὰρ ἐπὶ ἀγαθοῦ*[9] *τοῦτο εἶπεν.* Vat. Laur. Fgim.

140. *παρακαθημένων*] *Φιλίππῳ*[10] *δηλονότι· πρὸς τὰ ἄνω δέ ἐστιν ὁ νοῦς.* Laur. Fgim. *ἢ συνιόντων ἢ παροξυνόντων.* Vat. Laur.

δεομένων] *ἀντὶ τοῦ βοηθείας.* F. *βοηθείας τῆς παρ' ἡμῶν, ἢ δεομένων Φιλίππου τὴν Βοιωτίαν πορθῆσαι.* B.

διὰ σὲ] *ἐπειδὴ ἐκώλυσας ἡμᾶς ἐξελθεῖν.* Vat. Laur. Fgim.

κατηλόησαν] *ἐπάτησαν, ἐκάκωσαν, ἔτυψαν.* B. *ἀλοᾶν ἐστι τὸ τύπτειν.*[11] *ὡς τῶν ὁμήρων οὖν*[12] *ξύλῳ ἢ ὁπωσδήποτε κατακτανθέντων.* Vat. gim.

ἐλθεῖν] *ἀντὶ τοῦ ἀπελθεῖν· λέγει γὰρ ἐν τῇ τρίτῃ πρεσβείᾳ. ἡ δὲ σύνταξις οὕτως ἔχει· Φαλαίκου δὲ ὑποσπόνδου ἀπελθόντος, πρὶν ἐμὲ καὶ τόνδε ἀπελθεῖν ἐπὶ*[13] *τὴν τρίτην πρεσβείαν. κάτω δέ ἐστιν ἡ ἀπόδοσις εἰς τὸ, τότε ἀπώλοντο αἱ πράξεις, οἷον τὰ Φωκικὰ πράγματα.* Vat. Laur. Fgim.

141. *ὑπολειπομένης*] *εἰ μὴ πολεμήσαι Φωκέας, ὑπελείπετο ἔχθρα τῷ Φιλίππῳ πρὸς Θετταλοὺς καὶ Θηβαίους.* Vat. Laur. gim.

142. *ῥῆρηνται*] *ἐχειροτόνησαν.* F.

1) *αὐτῶν* Sauppius, *αὐτῆς* i, *αὐτοῦ* ceteri. 2) *καθ' αὑτῶν* de coni., *κατ' αὐτῶν* g. 3) *γὰρ* om. Laur. 4) *φημὶ* gm. 5) *ὤν* ante *ἐχθρὸς* habet Laur. 6) *μοι φθον.*] *μὴ φθονηθῆς* g, *μὴ φθονηθεὶς* m. 7) *τοῦ* Bekkerus pro *τό*. 8) *ἂν* Laur. 9) *ἀγαθῶν* Vat. Laur. Fi. 10) *τῷ Φιλίππῳ* Laur. 11) *ἀλοᾶν — τύπτειν* om. Vat. 12) *οὖν* om. Vat. 13) *ἐπὶ* F, *εἰς* cett.

Οἰταίων] οὗτοι μετέχουσι τοῦ Ἀμφικτυονικοῦ, οἰκοῦσι δὲ ὑπὸ Οἴτῃ τῷ ὄρει, πλησίον Τρηχῖνος. τὸ δ' ὅλον τοῦτο Θετταλία καλεῖται. Vat. Laur. gim.

ὠθεῖν — κρημνοῦ] οἱ πρὸς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς ἁμαρτάνοντες κατὰ τῶν Φαιδριάδων πετρῶν ὠθοῦντο. Vat. Laur. gim.

143. *τοὺς συμπρέσβεις*] Μνάσωνος δηλονότι. Laur. F.

Λίπαρε] ὡς[1] ἔπίθετον, ὡς ἔχοντος αὐτοῦ πιμελὴν καὶ λίπος. Vat. Laur. Fgim.

πῶς οὐν οὐκ] ἐντεῦθεν οἱ[2] ἐπίλογοι. Laur. F.

εἰ] πρὸς τὸ[3] ἁλοίην συντακτέον, ὅ ἐστι τιμωρηθείην.[4] Vat. Laur. Fgim.

144. *ὡς ἐγὼ — περιπίπτω*] τουτέστιν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις ἐλέγχομαι καὶ ἁλίσκομαι, ἢ ὡς τὰ ὑπ' ἐμοῦ κατὰ τοῦ ἄλλου εἰρημένα, ἤγουν κατὰ τοῦ Τιμάρχου, ταῦτα εἰς ἐμὲ πάλιν ἔρχεται καὶ κατ' ἐμοῦ ἰσχύει τῇ συκοφαντίᾳ. Bi.

145. *προβολὰς*] προβολὴ κατηγορία πρὸς τὸν δῆμον ἀσεβείας ἢ συκοφαντίας. B. προβολὴ ὄνομα δίκης, μάλιστα δὲ ἐν[5] τοῖς Διονυσίοις. τοὺς γὰρ ἁμαρτάνοντας περὶ τὴν ἑορτὴν ἐν τῷ δήμῳ ὠνόμαζον καὶ καταχειροτονοῦντος τοῦ δήμου οὕτως εἰς δίκην περιίστασαν ὁρᾶν.[6] Vat. Laur. gim. *Ἄλλως.*[7] ἀντὶ τοῦ κατηγορίας. καταχρηστικῶς δὲ[8] λέγεται προβολὴ[9] κοινῶς ἡ κατηγορία, περὶ πάσης δίκης καὶ οὐ μόνον περὶ τῶν ἀσεβούντων καὶ ἁμαρτανόντων εἰς τὰ Διονύσια. Vat. Laur. Fgim.[10]

μὴ οὖν σύναγε] πρὸς προδοσίαν. Vat.

146. *ταῖς αἰτίαις ταύταις*] ἀντὶ τοῦ διὰ ταύτας τὰς κατηγορίας καὶ τοιοῦτόν με δεῖ γενέσθαι. ὡς εἰ ἔλεγεν, ἵνα μου Δημοσθένης κατήγορος ἀναφανῇ, καὶ τὴν φύσιν μετήλλαξα.[11] Vat. Laur. gim.

καὶ πολλοῖς — ἔνοχον] παρὰ προσδοκίαν. Laur. ὡσανεὶ[12] ἔλεγεν, οὐκ ἄν τις προδότης εἴη, μὴ καὶ τάδε πράξας[13] πρότερον. οἷον δείξον τὸν πρότερον βίον καὶ κάλει προδότην, ἂν εὕρῃς παραπλήσιον. Vat. Laur. gim.

τοῖς — πολλοῖς ἀσύνοπτα] ἀντὶ τοῦ τέκνα. τοῖς πολλοῖς ἀντὶ τοῦ τοῖς[14] μὴ γνησίως γεγόνασι[15] καὶ νόθοις καὶ ὠμοῖς τὴν φύσιν. ἀσύνοπτα δὲ ἀντὶ τοῦ μὴ[16] ἐν φροντίδι καὶ ἐννοίᾳ[17] παρὰ τὸ μὴ ἐποπτεύειν. Vat. Laur. Fgim.

ἀναβιβῶμαι] οἷον ὡς παῖδας παραστήσομαι τοὺς νόμους συνδίκους ἐμαυτῷ ἀναβιβάσας ἐπὶ τὸ βῆμα. Vat. Laur. Fgim.

1) ὥσπερ F. 2) ἐντεῦθεν οἱ om. F. 3) τὸ om. Laur. 4) τιμοιρητῶ (sic) Laur. 5) δὲ ἐν Sauppius pro δὲ οἱ ἐν. 6) ὁρᾶν delevit Bekkerus. 7) Ἄλλως habent Vat. Laur. g. 8) καταχρ. δὲ] παρατήρησαι δὲ ὅτι καταχρηστ. F. 9) λέγ. πρ.] λέγει προβολὴν Laur. 10) In marg. Vat. et Laur. haec reperiuntur:

διαβολὴ

πᾶς οὐδεὶς
συκοφαντία φήμη.

οὐδὲν

11) μετήλλαξεν Laur. 12) ὡσεὶ i. 13) μὴ — πράξας] μὴ γὰρ καὶ τὰς πράξεις gm. 14) ἀντὶ τοῦ — τοῖς] ἀντὶ τοῦ τέκνα τοῖς πολλοῖς, Vat. Laur. 15) γεγόνασι recepi ex Laur., γήμασι cett. 16) μὴ om. m. 17) ἐννοίᾳ Sauppius, εὐνοίᾳ F, μὴ εὐνοίᾳ cett.

147. *τὸν πόλεμον*] *ἵνα λέγῃ τὸν πόλεμον τὸν*[1] *Πελοποννησιακὸν καὶ τὸν*[2] *Ἑλληνικόν. Θέλει δὲ εἰπεῖν ὅτι ὑπὲρ εὐνοίας τῆς πόλεως τριηραρχῶν καὶ τὰ*[3] *τοιαῦτα ἄλλα ποιῶν ἀνάλωσε τὴν οὐσίαν.* Vat. Laur. Fgim.

στρατεύεσθαι] *ἀντὶ τοῦ μισθώσας*[4] *ἑαυτὸν ἐκεῖσέ τισι τῶν σατραπῶν διὰ πενίαν καὶ τὴν φυγὴν τὴν ἀπὸ τῶν λ΄.* Vat. Laur. Fgim.

Ἐτεοβουτάδαις] *Ἐτεοβουτάδαι οἱ Βούτου τοῦ ἱερέως ἀπόγονοι, γένος λαμπρὸν παρ᾽ Ἀθηναίοις. τὸ δὲ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ.* B.

τῆς Πολιάδος] *τῆς πολιούχου, τουτέστι τῆς τὴν πόλιν φυλαττούσης καὶ συνεχούσης.* B. *εἶχε καὶ τὰ γένη ἰδίους βωμοὺς ἐν ταῖς οἰκίαις ἑαυτῶν. Πολιάδος δὲ οἱονεὶ πολιούχου καὶ συνεχούσης καὶ σωζούσης τὴν πόλιν.* Vat. Laur. Fgim.

Βούτης ἀπ᾽ Ἐρεχθέως] *γένος ἔχει, καὶ ἀπ᾽ αὐτοῦ καλεῖταί τι Αθήνησι γένος Ἐτεοβουτάδαι, οἱ τῷ ὄντι ἀπὸ τοῦ Βούτου. οὗτοι προΐστανται τοῦ ἱεροῦ τῆς ἐν ἀκροπόλει Ἀθηνᾶς τῆς Πολιάδος, καὶ ἐκ τοῦ γένους τούτων ἱέρεια γίνεται τῆς Ἀθηνᾶς τῆς Πολιάδος.*[5] *οὐ πᾶσαι δὲ φρατρίαι τῶν αὐτῶν μετέχουσιν, ἀλλ᾽ ἔοικεν Αἰσχίνης ἀπὸ τοιαύτης ἑαυτὸν δεικνύναι, ἢ*[6] *οὕτως ἐστὶν εὐγενὴς ὥστε τοῖς Ἐτεοβουτάδαις κοινωνεῖν τῶν ἱερῶν τῶν τῆς Πολιάδος. τὸ δὲ κοινωνεῖν τὸ μεταλαμβάνειν τῆς οὐσίας.* Vat. Laur. gim.

148. *φοβουμένη*] *ἀντὶ τοῦ ἀμηχανοῦσα.* Vat.

ἀμφισβητῶν ἀνὴρ εἶναι] *ἀνδρόγυνον εἶναι δηλοῖ. ἀναγνωστέον δὲ ἀμφισβητούμενος ἀνὴρ εἶναι, τουτέστιν οὐχ ὁμολογούμενος ἀνὴρ εἶναι.* B.

Ἀριστάρχου] *τούτου μνημονεύει Δημοσθένης* (or. 21. §. 104. p. 548, 14) *ἐν τῷ κατὰ Μειδίου καὶ ἀλλαχοῦ. τούτου δὲ μειρακίου ὄντος ἐρασθεὶς καὶ δι᾽ αὐτὸ παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς, ὥς φασί τινες.* B.

ἐμβάλλειν] *οὐ προσῆκον*[7] *εἰσέρχῃ.* B.

149. *ἀγεννεῖς*][8] *ἀνελευθέρους. εὐγενὲς γὰρ λέγομεν πολλάκις τὸ ἐλεύθερον.* Vat. Laur. Fgim.

ἐπὶ τὴν κοινὴν διοίκησιν] *οἷον ἐπὶ τὰ δημόσια χρήματα, ἐπὶ αὐτὴν τῶν προσόδων τὴν ἀπαίτησιν.* Vat. Laur. Fgim.

Κνωσίωνι] *λέγεται Δημοσθένης Κνωσίωνα τοῦτον μειρακίσκον ὄντα, καίτοι γυναῖκα ἔχων, ὥστε*[9] *καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι, ἀναλαβεῖν καὶ εἰσδέξασθαι εἰς τὴν οἰκίαν.* B. *μειράκιον ἦν ὁ Κνωσίων ἐρώμενον ὑπὸ*[10] *Δημοσθένους.* Vat. Laur. gim.

[11] *εὐτελεῖ τινι οἰκείῳ αὐτοῦ.* Vat. Laur. Fgim.

τὸ γὰρ ψευδὲς] *ὡσανεὶ ἔλεγεν, οὐχ ἅπτεται τῆς διανοίας τοῦ συνετοῦ*[12] *διὰ τὸ καταφρονεῖν αὐτοῦ,*[13] *ἀλλὰ μέχρι τοῦ ἀκουσθῆναι γίνεται.* Vat. Laur. Fgim.

1) *πόλεμον τὸν* om. gim. 2) *τὸν* om. Laur. 3) *τὰ* om. Fim. 4) *μισθῶσαι* Fgim. 5) *τῆς Πολιάδος* om. Laur. 6) *ἢ* im. 7) *προσῆκον* Reiskius pro *προσήκων*. 8) *ἀγεννεῖς*] *ἀντὶ τοῦ* add. F. 9) Taylorus suspicatur hic aliquid deesse. 10) *ὑπὸ* add. Sauppius. 11) *Ἄλλως* add. Laur. qui hoc cum proximo scholio coniungit. 12) *σετοῦ* (sic) F. 13) *διὰ — αὐτοῦ* om. Laur.

150. *τῶν ἐμῶν κηδεστῶν*] *ἀντὶ τοῦ*[1] *τῶν ἀδελφῶν τῆς γυναικός μου.* Vat. Laur. Fgim. *πόρρωθεν δὲ ἀντὶ τοῦ ἐξ ἀρχῆς, οὐ*[2] *νῦν.* Vat. Laur. F. *τὸ δὲ πόρρωθεν ἀντὶ τοῦ ἐφεξῆς.* i. *ἀντὶ τοῦ πάνυ.* Vat.

151. *Ἐπικράτους*] *ἔοικεν οὗτος εἶναι ὁ Κυρηβίων,*[3] *περὶ οὗ Δημοσθένης* (or. 19 §. 287. p. 433, 22) *εἶπεν· "ὃς ἐν ταῖς πομπαῖς ἄνευ προσωπείου κωμάζει".*[4] Vat. Laur. gim. *τοῦτον Δημοσθένης λοιδορῶν Κορύβωνα ἐπονομάζει ἐν τῷ κατ' Αἰσχίνου.* B.

εὐαγωγίαν] *οἱονεὶ καλὸν βίον,*[5] *ἀπὸ τοῦ εὖ καὶ καλῶς ἀχθῆναι* Vat. Laur. Fgim. *καὶ παιδευθῆναι.* F.

152. *τοὺς πάντων — φιλτάτους*] *τοὺς παῖδας.* Bim.

153. *ἠγεῖται*] *ἀντὶ τοῦ προηγεῖται, ὅ ἐστι πρὸ τοῦ εἰπεῖν εὐθὺς ὄμνυσι κατὰ τῶν ἀναισχύντων αὐτοῦ ὀφθαλμῶν.* Vat. Laur. Fgim.

Ἐν δὲ εὐτυχοῦμεν] *εἴ γε πρὸς τούτοις, φησί, νοῦν εἶχε, δεινὰ ἂν ἐπάσχομεν.* Vat. Laur. gim.

ἐξερρίφη] *ἐξεβλήθη.* Bim.

τοιούτων] *οἷον τῶν*[6] *αἰσχρῶν.* Laur. BFim.

154. *πόρρωθεν*] *ἀντὶ τοῦ*[7] *πρὸ πολλοῦ χρόνου.* Laur. F.

συσταθεὶς] *οἱονεὶ φίλος γενόμενος. ὅθεν ἔτι καὶ νῦν λέγομεν ἐν τῇ συνηθείᾳ, συνέστησα τόνδε τῷδε, ἀντὶ τοῦ γνώριμον ἐποίησα.* Vat. Laur. Fgim.

155. *ἄριστα*] *ἀντὶ τοῦ πάνυ.* F.

156. *διομνυμένων*] *ἀντὶ τοῦ ὀμνυόντων. κυρίως διωμοσία λέγεται ἡ παρὰ τῶν δύο δικαζομένων.* Vat. Laur. Fgim.

ὅτι ξένους] *οὐ τοῦτο εἶπε Δημοσθένης* (or. 19 §. 192 sqq. p. 401) *ἐν τῇ κατηγορίᾳ, ἀλλ'*[8] *ὅτι τὰς*[9] *Ἀπολλοφάνους τοῦ Πυδναίου θυγατέρας ἐξῃτήσατο. ἐκ δὴ τούτου δῆλον ὅτι οὐκ ἐλέχθησαν οἱ λόγοι. οὐ γὰρ ἂν ἄλλ' ἀκούσας ὁ*[10] *Αἰσχίνης ἄλλα ἔλεγεν. ἀλλὰ δῆλον ὅτι ἃ ὑπενόησεν ἐρεῖν αὐτὸν πρὸ τοῦ ἀγῶνος, ταῦτα ἐνέγραψεν.* Vat. Laur. gim.

157. *ταῦθ' ὑποθεὶς*] *ὑποβαλὼν τῷ ἰδίῳ λόγῳ.* F.

ὀξεῖαν] *οἱονεὶ τὴν λεπτὴν καὶ μὴ μεγάλην.* Vat. Laur. Fgim.

τοὺς Καρίωνας καὶ Ξανθίας] *ἀντὶ τοῦ*[11] *δούλους· τοιαῦτα γὰρ τὰ τῶν δούλων πρόσωπα εἰσάγεται εἰς τὴν κωμῳδίαν,*[12] *Ξανθίου καὶ Καρίωνος καὶ ἄλλων τινῶν.* Vat. Laur. Fgim.

ἐγὼ] *τὸν Αἰσχίνην φησί.* Vat.

παραθερμανθεὶς] *ὑπὸ μέθης δηλονότι.* Vat. F.

ῥυτῆρα] *νῦν μὲν ἱμάντα.* Vat. Laur. i. *κυρίως δὲ*[13] *ἡνία, κατεχρήσατο δὲ ἐπὶ τοῦ ἱμάντος· οὐ γὰρ χαλινόν φησιν.*[14] Vat. Laur. gim.

158. *μοῦ συγκατεψεύσατο*] *σὺν τῷ Δημοσθένει κατεψεύσατό μου.* F.

1) *ἀντὶ τοῦ* om. F. 2) *οὐ* om. Laur. 3) *Κυριβίων* i, *κορηβίων* gm. 4) *κομπάζει* g. 5) *καλὸν β.*] *καλοῦ βίου* Laur. g. 6) *οἷον* (*ὅρον* F) *τῶν* om. Bim. 7) *ἀ. τοῦ*] *τοῦτ' ἔστι* Gl. in Laur. 8) *ἀλλ'* m, *ἄλλα* i. 9) *τὰς* om. Laur. 10) *ὁ* om. Laur. 11) *ἀντὶ τ.*] *ὅ ἐστι* F. 12) *εἰς τ. κ.*] *ἐν τῇ κωμῳδίᾳ* F. 13) *μὲν* gim. 14) *δὲ ἐπὶ — φησίν*] *δὲ τούτῳ* i.

ἐάσετε οὖν — ἀναστρέφεσθαι;] κατ' ἐρώτησιν. ἆρα, φησί, τοῦτον ἐᾶσαι δεῖ ζῆν[1] τὸν[2] ἑαυτοῦ προστρόπαιον; μὴ γὰρ[3] γένοιτο αὐτὸν γενέσθαι τῆς πόλεως. προστρόπαιός ἐστιν ο εἰς ἑαυτὸν ἐπισπώμενος τὰ κακά, ὅπερ ἐστὶν ἐναντίον τοῦ[4] ἀποτρόπαιος,[5] τοῦ ἀποτρέποντος τὰ κακά. διὸ καὶ Διὶ ἀποτροπαίῳ θύομεν, οὐκέτι μέντοι καὶ προστροπαίῳ. τὸ δὲ[6] ἐν ὑμῖν πρὸς τὸ ἐάσατε συντακτέον. Vat. Laur. Fgim.

προστρόπαιον] μιαρόν, κατάρατον. B.

159. μετακαλεῖ] ἀντὶ τοῦ μετάγει. F. ἀντὶ τοῦ μεταλλάττει. οὐκ ἐᾷ, φησί, τὸν κρινόμενον ὀργίζεσθαι ὁ κίνδυνος. Vat. Laur. gim.

160. ἢ τί — ἀπαλείψας] ὁ γὰρ Δημοσθένης λέγει ὅτι[7] ἀπήλειψεν ἐν Μακεδονίᾳ τὸ περὶ τῶν[8] Φωκέων γεγραμμένον ἐν τῷ ψηφίσματι. Vat. Laur. gim.

προσγράψας[9]] ἰδίᾳ μὴ[10] βουλομένης[11] τῆς πόλεως. Vat. Laur. Fgim.

161. ἔπειτα οὐ τότε] παραγραφικὸν ἀπὸ χρόνου τοῦ κατὰ ἀπόφασιν. F.

ἀργίαν] οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόθεν ζῆσαι ἢ ἀπὸ ταραχῶν. ἡ παροιμία, εἰρήνη στρατιώτην οὐ τρέφει. Vat. Laur. Fgim.

162. συνῆδον] τουτέστι συνεπαιώνιζον Φιλίππῳ· τούτῳ γὰρ ῥήματι χρῆται Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (or. 19 §. 128. p. 380, 27). B.

οὐχ ὑποσιγῶν] οὐ μετὰ πάντων σιγῶν. ἡ ὑπό ἀντὶ τῆς μετά. Vat. Laur. gim.

163. καὶ τῷ γε δῆλος ἦν] καὶ τίνι τεκμηρίῳ[12] δῆλος ἦν ἐγὼ ᾄδων; F.

εἰ μὴ — προῆδον] εἰ μὴ ἄρα εἶποις ὅτι[13] ὥσπερ ἐν τοῖς χοροῖς ποιοῦσιν, ὅτι προᾴδουσιν,[14] ὃ μέλλουσιν ᾄδειν, πρὸ τοῦ ἐλθεῖν ἐν τῷ θεάτρῳ, οὕτω κἀγὼ ἐποίησα, οἱονεὶ ἦσα ἐνταῦθα παρὰ σοὶ πρῶτον ἅπερ ἔμελλον ᾄδειν ἐκεῖσε παρὰ τῷ[15] Φιλίππῳ. Vat. Laur. Fgim.

μετὰ τῶν ἄλλων πρέσβεων] τῇ κοινωνίᾳ τῶν ἄλλων τὴν συγγνώμην πυρίζεται. Vat. Laur. gim.

ἀνηλέητος] μηδενὸς ἐλέου ἄξιος. B.

164. ἐμπληξίαν] οἷον τὸ μαίνεσθαι καὶ ποιεῖν ἐναντία ἑαυτῷ. Vat. Laur. gim.

Μαντινείᾳ] Μαντίνεια[16] πόλις Ἀρκαδίας. Vat. Laur. Fg.

Θεμίσωνι] ὁ τύραννος Ἐρετριέων. Vat. Laur. Fgi.

πρὸς τὸ κράτιστον] πρὸς τὸ χρήσιμον. Laur. F.

ἀντὶ τοῦ πρὸς] τὸ λυσιτελοῦν καὶ πόλις καὶ ἀνὴρ μεταβάλλεται. Vat. Laur. gim.

1) τοῦτ. ἐ. δ. ζῆν Vat. Laur., δεῖ τοῦτ. ἐᾶσαι ζῆν F, τ. ἐ. δεῖ ζῶντα gim. 2) τὸν om. Vat. Laur. gim. 3) μὴ γὰρ F, μὴ cett. 4) τὸ im. 5) ἀποτροπαίου F. 6) δὲ om. F. 7) ὅτι καὶ Laur. 8) τῶν om. m. 9) huic v. recte adscribitur schol. in meis; in cett. legitur ad vv. ἢ τι τῶν δεδογμένων. 10) μὴ om. gim. 11) βουλομένης g, βουλευομένης cett. 12) „ante δῆλος duo tresve literae obliteratae in F, fortasse ἦγουν". Dindorf. 13) ὅτι add. gim. 14) ὅτι προᾴδουσιν om. Laur. 15) τῷ om. im. 16) Μαντίνεια om. Laur.

τὸν ἄνδρα] τινὲς κοινῶς αὐτὸ λαμβάνουσι[1] καὶ ἀφελῶς, τινὲς δὲ πικρῶς, ἄνδρα μὲν τὸν[2] τύραννον, πόλιν δὲ τὴν δημοκρατίαν, ὡς ἔχομεν τὸ ὅμοιον ἡμῖν ἐν τοῖς Φιλιππικοῖς (or. 9 §. 72. p. 129), ἐν οἷς λέγει· ἐπειδὴ γάρ ἐστιν[3] πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως· ἰσχὺν ὁ πόλεμος. Vat. Laur. Fgim.

165. ἔγραψας — Φορμίωνι] ἵνα εἴποι[4] κατὰ Ἀπολλοδώρου δικαζομένου πρὸς αὐτόν. Vat. Laur. Fgim. ἐκ τούτου δῆλον ὅτι καὶ οἱ περὶ τὴν οἰκίαν Ἀπολλοδώρου λόγοι οὐκ Ἀπολλοδώρου, ἀλλὰ Δημοσθένους. Vat. Laur. gim.

ἐξήνεγκας] οἱονεὶ[5] ἀνέγνως καὶ ἐξεῖπας. Vat. Laur. Fgm.

166. εἰσῆλθες] δηλονότι ὡς διδάσκαλος. ταύτην[6] ἀπώλεσας διὰ τοῦ αὐτόν,[7] τὸν Ἀρίσταρχον, ἀναπεῖσαι φονεῦσαι τὸν Νικόδημον καὶ διὰ τοῦτο φεύγειν. Vat. Laur. Fgim. ἀντὶ τοῦ ἀπεστέρησας. F.

ζηλωτὴς] οἷον ἐραστὴς εἶναι κατὰ τὸν ψυχικὸν δῆθεν ἔρωτα, οἷον λέγων ὅτι[8] ἐρῶ αὐτοῦ τὸν ψυχικὸν[9] ἔρωτα.[10] καλὴ γὰρ ἐκ τούτου παρέπεται φήμη· ταῦτα δέ, φησίν, οὐκ[11] ἐποίεις· οὐ γὰρ δὴ τῇ ἀληθείᾳ ζηλωτὴς ἦσθα τοῦ μειρακίου. Vat. Laur. Fgim.

167. ἀνεπίφθονον] ὡς ἄν τις εἴποι, οὐδεὶς φθόνος ἔσται εἰπεῖν περὶ τούτων,[12] ἀλλὰ λέξω. τινὲς δὲ ἀντὶ τοῦ ἄμεμπτον.[13] Vat. Laur. Fgim.

ποῦ γὰρ ἦ πότε] ἐν ποίᾳ ἡλικίᾳ ἢ ποίῳ καιρῷ. Vat.[14] gim.

πρὸς τίνας] πολέμους,[15] ἐν οἷς ἥμην ἀστράτευτος. Vat. Laur. gi. Ἄλλως.[16] οἷον[17] πολεμίους,[18] ἐγὼ παραλιπὼν (ἢ τοὺς στρατιώτας ἢ τὰς στρατείας[19]) τήνδε τὴν ἡμέραν (ἀντὶ τοῦ ἐν αὐτῇ τῇ ἡμέρᾳ[20]) δύναμαι μνησθῆναι; τινὲς δὲ λέγουσι· μνημονεύομαι παρὰ τῶν ἄλλων ἕως σήμερον λιπὼν τὴν τάξιν. Vat. Laur. Fgim.

περίπολος] εἴρηται περίπολος παρὰ τὸ περιπολεῖν τὴν χώραν. οἱ γὰρ ἔφηβοι τὸν δεύτερον ἐνιαυτόν, ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιεπόλουν, τουτέστι περιήρχοντο τὴν χώραν καὶ διέτριβον ἐν τοῖς φυλακτηρίοις ἢ ἐν τοῖς φρουρίοις, ἐνίοτε ἔτος ἓν μόνον, ἐνίοτε δύο (Ulpian). B. ὁ περιερχόμενος[21] τὴν πόλιν καὶ φυλάττων. "οὗτος ἐν τοῖς φρουρίοις κοιτάζεται". Εὔπολις. καὶ "τοὺς περιπόλους ἀπιέναι εἰς τὰ φρούρια." τοῖς ἐφήβοις γὰρ προστέτακται τὴν χώραν μετὰ τῶν ὅπλων περιέρχεσθαι. Vat. Laur. gim.

168. πρώτην δ'] ἐπειδὴ ἀπὸ ιη΄ ἐτῶν ἕως κ΄ ἐγίνοντο[22] οἱ στρατιῶται ὡς περίπολοι[23] φύλακες, ἀπὸ δὲ κ΄ λοιπὸν ἐξῆγεσαν εἰς τοὺς ὑπερορίους[24] πολέμους. Vat. Laur. Fgim.

1) αὐτὸ λ.] λαμβ. αὐτὸ im. 2) τὸν om. F. 3) ἐστιν habet F, om. cett. 4) εἶπη Fi. 5) οἱονεὶ om. Laur. 6) τὴν αὐτὴν F. 7) αὐτοῦ Laur. 8) ὅτι om. Fim. 9) verba οἷον — ψυχικ. praesecta sunt in F. 10) τὸν ψυχικὸν ἔρωτα Saupp. pro τοῦ ψυχικοῦ ἔρωτος. 11) οὐκ om. F. 12) τούτου Fgim. 13) ἀμέμπτως Vat. Laur. gim. 14) Glossa in Vat. vv. ποῦ γὰρ ἦ πότε est superscripta: τῷ στρατιώτῃ. 15) πολέμοις i, qui haec post τὴν τάξιν ponit. 16) ἄλλως om. i. 17) οἱωνὸν m. 18) πολεμίους Sauppius pro πολεμίων cum Laur.. 19) τὰς στρ.] τὴν στρατείαν Laur. 20) ἡμέρᾳ om. Laur. 21) περιεχόμενος Laur. 22) ἐγένοντο F. 23) ὡς περίπολοι Bekkerus pro ὥσπερ οἱ πολλοί. 24) περιορίους im.

τὴν ἐν τοῖς μέρεσι καλουμένην] *τὴν ἐκ διαδοχῆς πεμπομένην ἀπὸ τῶν φυλῶν· οὐ γὰρ ἀεὶ οἱ αὐτοὶ ἐστράτευον. τὴν αὐτὴν δὲ λέγει καὶ τὴν ἐκ διαδοχῆς τὴν ἐν τοῖς ἐπωνύμοις.* Vat. Laur. Fgim. *Ἄλλως. ὅτε κατὰ μέρη*[1] *ἐξῆλθον Ἀθηναῖοι καὶ κατ' ἐναλλαγὴν πάλιν ἀνέστρεφον.*[2] *ἦν δ' ὁ πόλεμος πρὸς Λακεδαιμονίους. ἐξ ἑκάστης δὲ φυλῆς ἀνὰ μέρος ἐξήρχοντο διάδοχοι ἀντὶ τῶν πρώτων στρατευσόμενοι, ὅταν μὴ ᾖ χρεία πανδημεὶ στρατεύειν ἀλλ' ἀριθμόν τινα μερῶν.*[3] *αἱ δὲ τοιαῦται ἔξοδοι ἐκαλοῦντο ἐν τοῖς μέρεσιν.* Vat. Laur. gim.

συμπαραπέμπων] *οὐ λέγει προπέμπων,*[4] *ἀλλὰ συστρατεύων, ὡς καὶ παραπομπὴν τὴν συστρατείαν.*[5] Vat. Laur. Fgim.

καὶ τῶν Ἀλκιβιάδου ξένων] *οὗτοι ἐοίκασιν Ἀλκιβιάδου εἶναι ξένοι καὶ φίλοι Ἀθήνησιν. ἡ δ' ἔξοδος ἦν εἰς*[6] *Φλιοῦντα. ἔστι δὲ πόλις τῆς Ἀργείας.* Vat. Laur. g (im?).

τὴν Νεμεάδα — χαράδραν] *τόπος τῆς Ἀργείας. χαράδρα δὲ τόπος κοῖλος πλέως ὕδατος.* Vat. Laur. g (im?).

ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν] *ἐν τοῖς ἐπωνομασμένοις ὀρθῶς, οἷον*[7] *τοῖς ἀξιοχρέοις πρὸς τὴν μάχην καὶ διὰ τοῦτο ἐπωνομασμένοις μέρεσιν.* Vat. Laur. gim.

169. *Ταμύναις*] *χωρίον τῆς Εὐβοίας, ὡς*[8] *ἔγνωμεν ἐν τοῖς κατα Μειδίου* (or. 21 §. 162. p. 567, 2). *ἔστι δὲ τόπος ἱερὸς Ἀπόλλωνος.* Vat. Laur. gim.

ἐπιλέκτοις] *ἐκλεγομένοις στρατιώταις ἀριστίνδην.* Vat. Laur. gim.

ἐκενδύνευσα] *ἀντὶ τοῦ ἀνδρείως ἐπολέμησα.* Vat. Laur. Fgim.

στεφανωθῆναι] *ὑπὸ τῶν ἡγεμόνων.* Laur. F.

συμπρεσβεύσαντος] *παρακαλέσαντος. τὸ δὲ σύν πρόσκειται*[9] *δηλοῦν οτι καὶ ἡγεμόνες ἐπῆνεσαν.*[10] Vat. Laur. Fgim.

ἦν] *ἀντὶ τοῦ ἦμην.* F.

170. *μήπω συνήγορον*] *μέλλει γὰρ ὕστερον καὶ*[11] *συνήγορον καλέσαι. τοῦτο δὲ λέγει, ἐπειδὴ ὁ μὲν μάρτυς μαρτυρῶν ὑπεύθυνος ἐγίνετο,*[12] *ὁ δὲ συνήγορος, μόνον παρακαλῶν ὑπέρ τινος, οὐδὲν ἔπασχεν.* Vat. Laur. Fgim.

171. *τῶν παίδων τῶν ὑμετέρων*] *οἱονεὶ τῶν ἐξελθόντων ἀπὸ τῆς ἥβης. παίδων δὲ ὡς πρὸς σύγκρισιν τῶν ἄλλων τῶν*[13] *τελείων*[14] *τὴν ἡλικίαν.* Vat. Laur. Fgim.

πόρρωθεν] [15] *ἀντὶ τοῦ ἀπὸ παλαιῶν χρόνων.* Vat. Laur. Fgim.

172. *βούλεται ἀφ' ἑκατέρων δεῖξαι, καὶ ὑπὸ τοῦ πολεμῆσαι εὐκαίρως καὶ ἀπὸ τοῦ εἰρήνην ἄγειν, καλῶς προβαίνοντα τὰ πράγματα, ἀπὸ δὲ τοῦ ἀκαίρως εἰς δυστυχίαν μεταπίπτοντα. διό, φησί, κἀγὼ εὐκαίρως συνεβούλευσα γενέσθαι τὴν εἰρήνην.* F.

ὑπό τινων] *ἵνα λέγῃ τῶν τότε πονηρῶν ῥητόρων καὶ πολεμοποιῶν.* Vat. Laur. gim.

1) *μέρος* Laur. 2) *ἀνέστρεφον* Sauppius pro *ἀντέστρεφον* cum meis. 3) *μερῶν* Sauppius pro *ἡμερῶν*. 4) *ἀποπέμπων* Laur. 5) *τὴν στρατείαν* Fim. 6) *εἰς τὴν* Laur. 7) *οἱ* m. 8) *ὡς* om. Laur. 9) *σύν προσκ.*] *συμπρόσκειται.* F. 10) *ἐπῆσαν* Laur., *ἐπήγεσαν* im. 11) *ὕστερ. καὶ* om. Laur. 12) *ἐγένετο* m. 13) *τῶν* om. m. 14) *ἐξελθόντων* i. 15) *πόρρωθεν* F. „In im ad *πρότερον* refertur §. 183 172) *ἐπὶ* pro *ἀπὸ* scripto.“ Dindorf.

προκηρυκευσαμένου] ἀντὶ τοῦ πρεσβευτοῦ[1] πεμφθέντος. προξένου δὲ δημοσίου φίλου. Vat. Laur. Fgim.

173. κατεσκευασάμεθα][2] καταχρηστικῶς, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς (or. 1 §. 20. p. 14) στρατιώτας κατασκευασθῆναί φησιν ὁ Δημοσθένης. Σκύθας δὲ οἱονεὶ τοξότας· τοξόται γὰρ οἱ Σκύθαι καὶ οἱ Κρῆτες. Vat. Laur. Fgim.

ἐπριάμεθα] τουτέστιν ἐμισθωσάμεθα. B.

174. ὑψηλὸν ἦρε] αντὶ τοῦ ὑψωθῆναι ἐποίησε. Vat. Laur. Fgim.

175. καὶ πάλιν] μετῆκται τὰ πλεῖστα ἐκ τῶν Ἀνδυκίδου (or. 3 §. 8), ἔστι δὲ ψευδῆ. ἡ μὲν γὰρ Νικίου εἰρήνη ἐπὶ ἄρχοντος Ἀριστωνος ἐγένετο τῷ τετάρτῳ[3] ἔτει τῆς ὀγδοηκοστῆς ἑνάτης[4] ὀλυμπιάδος· ἐν δὲ ταύτῃ οὐχ ὅτι ἐννακισχίλια[5] τάλαντα εἰς ἀκρόπολιν ἀνήγαγον, ἀλλὰ καὶ τὰ προανενηνεγμένα[6] ἐκ Δήλου μύρια πεντακισχίλια προσανάλωσαν. περὶ τῶν ἀποικιῶν δὲ ψεύδεται· οὐ γὰρ ἐπὶ τῆς Νικίου εἰρήνης ἐγένετο, ἀλλὰ πολλοῖς χρόνοις πρότερον. Vat. Laur. gim.

πλωΐμους] ἀντὶ τοῦ δυναμένους πλεῖν· ἐντελεῖς δὲ ὅ ἐστι πάντα τὰ ἐπιτήδεια ἐχούσας. F.

φόρος] ὅτι τὸ ἄνω πρὸς τὸ ἀποθησαυρίσασθαι[7] καὶ[8] συναγαγεῖν εἴρηται, τοῦτο δὲ ὅπερ[9] κατ' ἐνιαυτὸν εἶχον[10] εἶπε[11] φόρον. Vat. Laur. Fgim.

ἀποικίας] ὅπερ[12] ἐστὶ σημεῖον ἰσχυόντων ἀνθρώπων· χρήζουσι γὰρ δυνάμεως οἱ ἀποικίζοντες κατὰ τῶν κωλυόντων αὐτοὺς κτίσαι τὴν ἀποικιζομένην πόλιν. Vat. Laur. Fgim.

176. ἀψιμαχίας] τοῦ[13] ἀεὶ φιλεῖν ἅπτεσθαι τοῦ πολέμου. Vat. Laur. Fgim.

τοὺς τετρακοσίους] οἱ περὶ Πείσανδρον τὸν Ἀχαρνέα δημαγωγὸν[14] ἔπεισαν τὸν δῆμον, ἐπεὶ δεῖται τὰ πράγματα σπουδῆς καὶ ἐπινοίας ταχείας, ποιήσασθαι κυρίους ἁπάντων[15] ἄνδρας τετρακοσίους. οὗτοι ἦσαν οἱ πρῶτοι τὸν δῆμον καταλύσαντες. οὗτοι δὲ κατέστησαν ὑπὸ τὰ ἔσχατα τοῦ πολέμου πρὸ τῆς Λακεδαιμονίων ἐπικρατείας. ἐκεῖνοι γὰρ λ' τυράννους κρατήσαντες κατέστησαν αὐτοὺς πολίτας Ἀθηναίων. Vat. Laur. gim.

ὅθεν σοφωτάτην] καθὸ οὐχ εἵλετο ἐπὶ πολὺ στασιάζειν πρὸς ἑαυτήν, ἀλλ' εἰρήνην[16] εἶχεν.[17] Vat. Laur. Fgim.

177. ἀναφθέντος[18]] ἀναφύντος, ἀναζωπυρηθέντος. B.

ἀναφύντος] οἱονεὶ ὥσπερ ἀναβλαστήσαντος καὶ ἀναζήσαντος. Vat. Laur. Fgim.

τὸ νοσοῦν τῆς πόλεως] νόσημα πόλεως οἱ[19] πολῖται κακοῦργοι. τοῦτο ουν τὸ ἔθνος προσποιούμενοι καὶ ἐπιτειχίζοντες τῇ πόλει ἀνατρέπουσι τὰ πράγματα. Vat. Laur. gim.

1) πρεσβ. τοῦ Laur. 2) in textu est προσκατεσκευασάμεθα. 3) τετάρτῳ Sauppius pro τεσσαρεσκαιδεκάτῳ. 4) ἑνάτης Sauppius pro πέμπτης. 5) „immo ἑπτακισχίλια" Saupp. 6) προανηνεγμένα Laur. 7) ἀποθησαυρίζεσθαι Laur. 8) καὶ om. im, eoque omisso συναγαγεῖν in ἀναγαγεῖν mutavit Sauppius. 9) ἅπερ Fgim. 10) εἶχεν Laur. gm. 11) εἶπε Sauppius pro εἰς. 12) ἅπερ Fim. 13) ἀπὸ τοῦ gim. 14) δημαγωγοὶ m. 15) ἀπ' αὐτῶν gm. 16) εἰς εἰρήνην F. 17) ἀλλ' — εἶχεν om. i, εἶχεν Sauppius pro εἶδεν. 18) in textum recepi ἀναφύντος. 19) οἱ om. gim.

ἐν μὲν εἰρήνῃ] *οἷον*[1] *ἐν τῇ εἰρήνῃ ἐπιδεικνύμενοι δῆθεν τὸ ἀνδρεῖον αὑτῶν ἐπιτάττουσι προφυλάξασθαι ἑαυτοὺς καὶ παρασκευάσασθαι.* Vat. Laur. Fgim.

ἐξεταστὰ] *ἐξαριθμηταὶ τῶν πραγματευομένων.*[2] *οὗτοι καὶ τοὺς ἀστρατεύτους ἐξελέγχουσι, καὶ ὅλον τὸ ἔργον καλεῖται ἐξέτασις, ἀποστολεῖς δὲ οἱ ἐπὶ τῶν ἀποστόλων, ὥστε ἐκπεμφθῆναι τοὺς πλέοντας στρατιώτας.* Laur. gim. *περὶ τῶν ἀποστολέων ἔγνωμεν ἐν τῷ περὶ*[3] *τοῦ στεφάνου* (§. 107. p. 262, 18) *ὅτι ἀρχὴ ἦν ἐπὶ τὸ ἐπείγειν τὸν στόλον ταχέως ἐκπλεῦσαι τεταγμένη. ἐξεταστὰ δὲ τίνες εἰσὶν ἐν τῷ κατὰ Τιμάρχου* (§. 43) *ἔγνωμεν.* Vat. Laur. Fgim.

οὐ τοῖς ἤθεσιν] *ἵνα λέγῃ ὅτι*[4] *ουκ ἀληθῶς κατὰ φύσιν εἰσὶ φιλοπόλιδες, ἀλλ ὑποκρίνονται.* Vat. Laur. Fgim.

178. *συστραφέντες*] *οἱονεὶ συνελθόντες καὶ φατριάσαντες.* Vat. Laur. Fgim.

καὶ φασὶ μὲν] *πάλιν ἡ μετάθεσις τῆς αἰτίας, ὡς ἠπάτησέ με Φίλιππος.* Vat. Laur. Fgim.

179. *κἀμοὶ μὲν οἱ συνδεησόμενοι*] *ἐλέου αἴτησις.* F.

γυναικείῳ — τὴν ὀργὴν] *ἀντὶ τοῦ ὠμῷ καὶ ἀνηλεεῖ, ἐπειδὴ δοκοῦσιν αἱ γυναῖκες πικραὶ σφόδρα*[5] *εἶναι περὶ τὸ ὀργίζεσθαι. διὸ καὶ ὁ Μένανδρός φησι "φιλόνεικος δ' ἐστὶ καὶ νέα*[6] *γυνὴ εἰς μῆνιν."* Vat. Laur. Fgim.

180. *λογογράφῳ*] *οἷον φιλοδίκῳ καὶ κακοπράγμονι.* Vat. Laur. Fgim.

ἀναμνησθέντες] *διότι*[7] *προετρεψάμην ἐκείνους σωφρονεῖν διὰ τοῦ κατηγορῆσαι τοῦ Τιμάρχου ἀσελγείας καὶ ὀφείλετέ μοι χάριν*[8] *ὑπὲρ τούτων.*[9] Vat. Laur. Fgim.

181. *τὴν μὲν τύχην*[10]] *οὐ τὴν τύχην δηλονότι, ἀλλὰ τὸν τρόπον, ὅ ἐστιν, οὐ πανοῦργος ὢν ὡς Δημοσθένης.* Vat. Laur. Fgim.

φοβερὰ] *προσθετέον ἔξωθεν· τοῖς σώφροσιν.* Vat. Laur. Fgim.

182. *οὐδ' ὑπεύθυνος*] *καθὸ μετὰ τὴν ἀρχὴν οἱοσδήποτε παρεῖχεν εὐθύνας πῶς ἦρξεν.*[11] Vat. Laur. Fgim.

183. *τῆς ὑμετέρας ἀδείας*] *τοῦ μὴ φοβεῖσθαι τὸν πόλεμον.* Vat. Laur. Fgim.

184. *πολιτικῶν*] *οἱονεὶ δημαγωγῶν καὶ μεταχειριζομένων τὰ κοινὰ πράγματα.* Vat. Laur. Fgim.

κέχρημαι] *ἀντὶ τοῦ φίλος εἰμί, ὡς*[12] *καὶ ἀλλαχοῦ* (Dem. or. 19. §. 225. p. 411, 10) *κεῖται· "τούτῳ πάνυ ἐκεχρήμην.*[13]" Vat. Laur. Fgim.

1) *οἱονεὶ* F. 2) *ἐξαρ. τῶν πρ.*] *ἐξαριθμεῖται τοὺς πραγματευομένους* Laur. 3) *ὑπὲρ* gim. 4) *ὅτι* om. Laur. 5) *σφόδρα πικραὶ* Laur. 6) *καὶ νέα* de coni., *καὶ μία* codd., *κἀγρία* Sauppius. 7) *ὅτι* gim. 8) *χάριν ἔχειν* g. 9) *ἑαυτῶν* Laur. 10) „scholiasta videtur *ψυχὴν* legisse, quod est in aliquot codd." Saupp. 11) *πῶς ἦρξεν* om. Laur., *πῶς ἦ.* i, *ὅπως ἦ.* cett. 12) *ὡς* om. Laur. 13) *ὡς — ἐκεχρήμην* om. i.

III. *ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.*

1. *τὴν μὲν παρασκευὴν*] *ὅτι οὐ δεῖ μεταφορικοῖς ὀνόμασι κεχρῆσθαι ἐν τοῖς*[1] *προοιμίοις. πῶς οὖν Αἰσχίνης ἐχρήσατο παράταξιν εἰπὼν καὶ παρασκευήν*; Laur. g. *τὴν*[2] *τῶν παρακεκλημένων σπουδήν. παρασκευὴν δὲ*[3] *εἶπεν ὡς καθ ἑαυτοῦ γινομένην, δέησιν δὲ ὡς πρὸς τοὺς δικαστάς. φησὶ γάρ, ἐμοὶ μὲν ἀπειλοῦσιν, ὑμῶν δὲ δέονται.* Vat. Laur. gm.

τὴν παράταξιν] *ἀντὶ τοῦ σύνταξιν καὶ παρακλήτων καὶ συναγωνιστῶν σπουδήν. δοκεῖ δὲ τραγικώτερον*[4] *κεχρῆσθαι εὐθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα*[5] *ἐν τῷ τῆς παραπρεσβείας, εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως· "ὅση*[6] *μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ καὶ παραγγελία γέγονε". καὶ τὰ ἑξῆς.* Vat. Laur. gm.

τὰ μέτρια καὶ τὰ συνήθη] *μέτρια τὰ προσήκοντα, τὰ καθήκοντα· συνήθη δὲ τὸ*[7] *ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι.* Vat. Laur. gm. *"Αλλως.*[8] *ἀντὶ τοῦ τὰ δίκαια· συνήθη δὲ τὰ εἰθισμένα τῇ δημοκρατίᾳ, ὅ ἐστι τὰ ἴσα.* Vat. Laur. Fgm.

2. *τὴν βουλὴν τοὺς πεντακοσίους*] *πρὸς διαστολὴν τῆς Ἀρειοπαγιτικῆς βουλῆς, ἥτις ἦν ἀδιάδοχος.* B.

τῷ πρεσβυτάτῳ] *τῷ ὑπὲρ πεντήκοντα ἔτη.* B.

3. *οὐκ ἐκ τοῦ δικαιοτάτου*] *ἑκάστη φυλὴ κατὰ μῆνα ἐπρυτάνευε, καὶ ταύτης τινὲς ἦσαν πρόεδροι, καὶ τούτων πρῶτος ὁ ἐπιστάτης, ὃς πρῶτος ἐπεψήφιζεν. ἦσαν δὲ οὗτοι κληρωτοί. φησὶν οὖν ὅτι οὐ κληρωτοὶ ἦσαν οἱ ἐπιψηφίσαντες οὐδὲ νομίμως εἰληχότες*[9] *προεδρεύειν, ἀλλὰ κατασκευαστοὶ καὶ ἐγκάθετοι*[10] *σπουδασταί. εἰκὸς δὲ πανουργεῖσθαι περὶ τὰς διακληρώσεις τινάς, καὶ ὑπωνεῖσθαι τοὺς κλήρους, καὶ ἄλλως πως πραγματεύεσθαι πρὸς τὸ δοκεῖν εἰληχέναι.*[11] *ἐγίνοντο γάρ τινες, ὡς εἴπομεν, κληρωτοὶ ἐξ ὅλου τοῦ δήμου πρόεδροι. οὗτοι δὲ μετὰ τῆς προεδρευούσης φυλῆς ἐκάθηντο καὶ ἐπεψήφιζον τὰ δοκοῦντα τῇ ὅλῃ βουλῇ.* Vat. Laur. gm.

1) *τοῖς* add. g. 2) *τὴν* om. Laur. 3) *δὲ* om. Laur. 4) *τραγικωτέρᾳ* m. 5) *ὄνομα* Laur. 6) *ὅσοι* Laur. 7) *τὰ* m. 8) *ἄλλως* om. F. 9) *εἰληχότες* Bekkerus pro *εἰληφότες*. 10) *ἐγκατάθετοι* pr. m. 11) *εἰληχέναι* Bekkerus pro *εἰληφέναι*.

ὄντως] οἱονεὶ ἀληθῶς καὶ οὐ κεκακουργημένως. λάχῃ δὲ κληρούμενος ἀντὶ τοῦ ἀπὸ κλήρου σχῇ[1] τὴν ἐξουσίαν τοῦ προεδρεύειν. Vat. Laur. Fgm.

4. τὸ κάλλιστον] τοῦτο δὲ ὡς δημοτικὸν ἐπαινεῖ. ἔστι δὲ προσαγωγὸν τῶν δικαστῶν, εἰ μὴ τοὺς πλουσίους καλεῖ, ἀλλὰ τὸν βουλόμενον. Vat. Laur. gm.

οἱ πρόεδροι] πρόεδροι ἐλέγοντο οἱ δέκα ἄνδρες οἱ καθ' ἑκάστην πρυτανείαν τὰ τῆς ἐκκλησίας διοικοῦντες. οὕτω δὲ ἐκαλοῦντο, ὅτι τῶν ἄλλων ἁπάντων προήδρευον. ἦσαν δὲ πρυτανεῖαι δέκα, ὅσαι καὶ Ἀθηναίων φυλαί, εἶχε δὲ ἑκάστη φυλὴ πρυτάνεις πεντήκοντα, οἳ τὰ ὅλα διῴκουν ἡμέρας τριάκοντα πέντε. οὗτοι δὲ διῃροῦντο εἰς δεκαδαρχίας πέντε τῶν προέδρων λεγομένων, οἳ ἡμέρας ἑπτὰ διῴκουν τὰ πολιτικά, καὶ προήδρευον κατὰ μέρος. καὶ οὕτω τρεῖς ἦσαν τῆς διοικήσεως ἄμοιροι. ὁ δὲ μίαν ἡμέραν τὰ ὅλα διοικῶν ἄρχων ἐφήμερος καὶ ἐπιστάτης ἐκαλεῖτο. B. ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς, ὅτι ἑκάστη τῶν δέκα φυλῶν τριάκοντα ἐξ ἡμέρας διῴκει τὴν πόλιν, καὶ αὐτὴ εἶχε τὴν προεδρίαν τῶν ἄλλων. πάλιν δὲ καὶ[2] αὐτῆς τῆς προεδρευούσης φυλῆς ἦσάν τινες τιμιώτεροι, οἱ πρόεδροι, οἵτινες δι' ἑαυτῶν διῴκουν ἐν[3] αὐταῖς ταῖς ἡμέραις πάντα τὰ καθήκοντα τῇ αὑτῶν[4] φυλῇ. Vat. Laur. Fgm.

τὸ δέκατον μέρος] δέκα γὰρ ἦσαν φυλαὶ καθεσταμέναι Ἀθήνησιν ἀπὸ τῆς Κλεισθένους πολιτείας, εἰς ἃς ἅπαντες ἦσαν Ἀθηναίων διανενεμημένοι. ἔοικε δὲ ἡ βουλὴ πόλις εἶναι μικρά· ἔστι γὰρ ἐκ τῶν δέκα φυλῶν καὶ ὅλη ἡ πόλις. τὸ γὰρ δέκατον μέρος ταύτης δέκατον μέρος ἐστὶ τῆς πόλεως. Vat. Laur. gm.

5. τοιούτων, ὁποίους] τὸ ἐπαχθὲς ἔφυγεν, ἵνα μὴ λυπήσῃ. Vat. Laur. gm.

6. τυραννίς] τυράννους ἔλεγον καὶ τοὺς βασιλεῖς. Vat. Laur. gm.

ὀλιγαρχία] ταύτην τινὲς ἀριστοκρατίαν λέγουσιν. Vat. Laur. gm.

τῶν ἐφεστηκότων] τῶν προεστώτων. Vat.

παρρησίας] ὅ ἐστιν[5] ἐλευθερίας. Laur. Fg.

7. δίκαιον] ἀντὶ τοῦ δικαίωμα. Laur.

9. περὶ μὲν —] ἡ προκατασκευή. F.

ἐλπίζω] ἀντὶ τοῦ νομίζω. F.

ἐν γὰρ τοῖς —] ἡ κατάστασις. F.

προσόδους] οἷον τὸ θεωρικόν. Laur.

προσλαμβάνοντες] ἀντὶ τοῦ φίλους κτώμενοι. Laur. F.

εὐθύναις] εὔθυναι[6] αἱ τῶν δικαιωμάτων ἐξετάσεις. Vat. Laur. gm. οἱ ἀπολογισμοί. Laur.

τῶν ἀρχόντων] τῶν λογιστῶν. λογισταὶ δὲ ὄνομα ἀρχῆς. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς οἱ πρεσβεύσαντες ἤ τι δημόσιον διοικήσαντες ἤ τινα ἀρχὴν ἄρξαντες ἐδίδοσαν τὰς εὐθύνας. εὔθυναι[7]

1) σχοίη gm. 2) καὶ om. m. 3) ἐν om. gm. 4) ἑαυτῶν ante Di. scribebatur, αὐτῶν Di. cum libris. 5) ἤγουν g. 6) εὐθύναι m. 7) εὐθῦναι B.

δὲ αἱ τῶν διωκημένων ἐν ταῖς ἀρχαῖς δοκιμασίαι καὶ ἐξετάσεις καὶ ἀπολογισμοί. B.

10. *τὰς εὐθύνας ὠφληκὼς*] *ὥσπερ λέγομεν εὐθύνας δέδωκεν, ἐὰν μὴ ἄμεμπτος εὑρεθῇ, οὕτω καὶ*[1] *ὠφληκώς, ἐὰν ἀδικήσας ὀφθῇ.* Vat. Laur. gm.

11. *κατιδὼν*] *ἀρχὴ τοῦ νομίμου κεφαλαίου.* F.

τοὺς ὑπευθύνους] *τοὺς μήπω λόγον τῶν διωκημένων ἀποδεδωκότας.* Vat. Laur. gm.

προβάλλονται] *προκάλυμμα ποιοῦνται*[2] *τῆς αἰσχύνης.* Vat. Laur. gm.

τὸ μέτριος] *εἶπε πρὸς τὸ ἀναιδεῖς, ὅπερ οὐ λέγει μὲν φανερῶς, διὰ δὲ τοῦ εἰπεῖν "Κτησιφῶν δὲ ὑπερπηδήσας" παραδηλοῖ. ἔχει δὲ οὕτω· τῶν τὰ παράνομα περὶ τοῦ στεφανοῦν τοὺς ὑπευθύνους γραφόντων οἱ μέν εἰσι μέτριοι προσγράφοντες καὶ τοῦτο· ὅτι ἐπειδὰν τὰς εὐθύνας δῷ, οἱ δὲ ἀναιδεῖς, οἷος ὁ Κτησιφῶν, ὑπερπηδῶντες καὶ τὸν νόμον τὸν ἀπαγορεύοντα καὶ τὴν πρόφασιν, ἤγουν τὸ προσγράψαι· ἐπειδὰν δῷ τὰς εὐθύνας, κελεύοντες δὲ ἁπλῶς στεφανοῦν τοῦτον, κἂν οἱῳδήτινι νόμῳ ὑπεύθυνος τύχοι ὤν.* g.

προσγράφουσι] *τὸ προσγράψαι*[3] *ἐπειδάν τις εὐθύνας δῷ.* Vat. Laur. gm.

λόγον] *ἀντὶ τοῦ ἀπολογίαν, ὡς καὶ*[4] *ἐν τοῖς Φιλιππικοῖς ὁ Δημοσθένης* (or. 1. §. 6. p. 10, 27)· "*οὐδὲ λόγος οὐδὲ σκῆψις*". Vat. Laur. Fgm.

12. *Κτησιφῶν δὲ*] *εἰπὼν οἱ μὲν*[5] *μέτριοί εἰσιν, ἔδει ἐπενεγκεῖν οἱ δὲ ἀναιδεῖς, ὧν ἐστι Κτησιφῶν. ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ "οἱ μὲν φύσει μέτριοι, Κτησιφῶν δέ,*[6] *ὦ Ἀθηναῖοι,*[7] *ὑπερπηδήσας τὸν νόμον" καὶ τὰ ἑξῆς.* Vat. Laur. gm.

ὑπερπηδήσας] *ὑπερβάς.* B.

μεταξὺ Δημοσθένην ἄρχοντα] *ἀντὶ τοῦ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀρχῆς, ἢ μεταξὺ τοῦ χρόνου τοῦ εἶναι αὐτὸν*[8] *ὑπεύθυνον. Ἄλλως.*[9] *οἷον κατὰ μέσον ἄρχοντα, μεσοῦντα τῆς ἀρχῆς.* Vat. Laur. gm. et ex parte F.

13. *ἕτερον*] *οὐδένα προεῖπε τῶν ἀδικούντων λόγον. πῶς οὖν*[10] *φησι καὶ ἕτερον;* Vat. Laur. m.

ἀρχὰς] *τρεῖς εἰσιν*[11] *Ἀθήνησιν ἀρχαί, αἵ τε κληρωταί, καὶ ἃς ὁ δῆμος ἐν ἀρχαιρεσίαις χειροτονεῖ, αἵ τε κατὰ καιροὺς φυλακαὶ καὶ*[12] *τειχῶν ἐπισκευῆς*[13] *καὶ ὅσα τοιαῦτα. αἱροῦνται δὲ ταύτας καὶ φυλαὶ καὶ δῆμοι. τὸν γὰρ*[14] *Δημοσθένην καὶ τειχοποιὸν εἵλετο Πανδιονὶς*[15] *φυλή. τούτων δὴ τῶν τριῶν τὰς τελευταίας ἴσως φησὶ καλοῦσιν ἐπιστασίας καὶ πραγματείας, ὧν μίαν ὁ Δημοσθένης ἔπραττε. δείκνυσιν*

1) *οὕτω καὶ*] *καὶ οὕτω καὶ* Laur. 2) *ποιοῦντες* Vat. Laur. 3) *προγράψαι* m. 4) *ὡς καὶ*] *καὶ γὰρ* Fgm. 5) *οἱ μὲν*] *εἰ* Laur. 6) *Κτ. δὲ*] *ὁ δὲ Κτησιφῶν* gm. 7) *ὦ Ἀθηναῖοι* om. gm. 8) *αὐτὸν* ante *εἶναι* pon. F, qui nihil habet praeter verba *μεταξὺ — ὑπεύθυνον*. 9) *ἄλλως* om. Laur. 10) *οὖν* addidit Dindorf. 11) *ἦσαν* gm. 12) *καὶ* om. gm. 13) *ἐπισκευαῖς* codd. 14) *γοῦν* Laur. 15) *ἡ Πανδ.* Bekker.

οὖν κατὰ τοὺς νόμους ἀρχὰς αὐτὰς λεγομένας καὶ συμπάσας τὰς ὑπὲρ μῆνα ἐπιστασίας. Vat. Laur. gm.

ἀποκληροῦσιν] ἀντὶ τοῦ διὰ κλήρου αὐτοῖς παρέχουσι τὴν ἀρχὴν ἐν τῷ Θησείῳ, ἴσως τῶν θεσμοθετῶν ἀεὶ [1] χειροτονούντων εὐτελεῖς τινας διοικήσεις, ὡς πρὸς τιμὴν τοῦ Θησέως τοῦ οἰκιστοῦ, [2] οὗτινος τὰ ὀστᾶ ἐκεῖ ἔκειτο. νόμος δ' ἦν τοὺς ἀποφυγόντας τῶν οἰκετῶν εἰς τὸ τοῦ Θησέως τέμενος ἀτιμωρήτους εἶναι. οἱ δὲ θεσμοθέται τῶν ἐννέα ἀρχόντων εἰσί, τὸν ἀριθμὸν ὄντες ἓξ. διαλλάσσουσι δ' αὐτῶν [3] οἱ καλούμενοι νομοφύλακες. Vat. Laur. gm et ex parte F.

Θησείῳ] δύο Θησεῖα ἐν τῇ πόλει· ** ὃ ἦν αὐτοῦ κενοτάφιον ποιήσαντες καὶ ἔξω τῆς πόλεως, ὃ ἔκτισεν αὐτῷ Κίμων, [4] ὅτε κατήνεγκεν αὐτοῦ ἀπὸ Σκύρου [5] τὰ ὀστᾶ. ἔφυγε δὲ διὰ τὸν Ἱππολύτου θάνατον, ὑπὸ Λύκου κατηγορηθείς. Vat. Laur. gm.

ἐν ἀρχαιρεσίαις] ἀρχαιρεσίαι ἐκαλοῦντο αἷ [6] ἡμέραι ἐν αἷς οἱ ἄρχοντες ἐπεχειροτονοῦντο. — ὡρισμένας τινὰς [7] κατ' ἐνιαυτόν, παρὰ τὸ τὰς ἀρχὰς ἐν αὐταῖς αἱρεῖσθαι, [8] ὅ ἐστι χειροτονεῖν. [9] Vat. Laur. Fgm.

14. ἐν ᾧ] ὑπερβὰς τὰς χειροτονητάς [10] φησιν ἀρχὰς καὶ τοὺς ἐπιστάτας καὶ τούσδε καὶ τούσδε [11] οὐ διακονεῖν, [12] ἀλλ' ἄρχειν δοκιμασθέντας. Vat. Laur. gm.

ἡγεμονίας δικαστηρίων] οἷον ἐξουσίαν τοῦ καταδικάζειν [13] τοὺς ὑπαιτίους. [14] Vat. Laur. Fgm. ἄρχοντες ἕκαστοι εἰσῆγόν τινας δίκας εἰς τὸ δικαστήριον. ἐκαλεῖτο δὲ τοῦτο ἡγεμονία δικαστηρίου. Vat. Laur. gm. Ἄλλως. αἱ ἀρχαί, αἳ λαμβάνουσιν ἡγεμονίαν δικαστηρίου. Vat. Laur. g. τί δ' ἔστι τοῦτο; [15] ὑπάρχει τις βασιλεύς, θεσμοθέτης, τειχοποιός, λογιστής. οὗτοι τοὺς ὑφ' αὑτοὺς ἐκκληροῦντες [16] δικαστήριον εἰσάγουσιν εἰς τοῦτο, οἷον ὁ [17] λογιστὴς τοὺς ἄρχοντας κληρώσας δικαστήριον, οὗ προέστη τε καὶ εἰσάγει· καὶ πάλιν ὁ θεσμοθέτης. διὸ καὶ παρ' Ἀριστοφάνει (Vesp. 935) δικαστής φησιν·

ὁ θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα [18] μοι δότω. Vat. Laur. gm.

15. οὐ διακονεῖν] ἀντὶ τοῦ οὐ διακόνους τούτους οἶδεν ὁ νομοθέτης. F. οὐχ ὅτι ἐν τῷ νόμῳ γέγραπται μὴ διακόνους εἶναι, [19] ἀλλὰ τοῦ νόμου λέγοντος τούσδε καὶ τούσδε ἄρχειν δοκιμασθέντας ὑπολαβών [20] φησιν οὐ διακονεῖν, αλλ' ἄνχειν δοκιμασθέντας. Vat. Laur. gm.

ἐπειδὴ] ὃ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ οἱ ἀποκληρούμενοι [21] δο-

1) ἐκεῖ ante ἀεὶ add. m. 2) ἀντὶ τοῦ — οἰκιστοῦ] hanc scholii partem habet etiam F. 3) αὐτῶν Sauppius pro αὐτούς. 4) Κίμων Saupp. pro ἱερόν. vid. Plut. vit. Thesei c. 36 et vit. Cimon. c. 8. 5) αὐτοῦ ἀ. Σκ.] αὐτὸ ἀπὸ Σκύρου Vat. Laur., αὐτὸς Κύρου m, αὐτοῦ Σκύρου g, αὐτοῦ ἐκ Σκύρου Bekker. 6) αἱ om. Fgm. 7) τινὲς Fm. 8) ὡρίσθαι g. 9) χειροτονεῖσθαι Laur. g. 10) τ. χειροτον. om. Laur. 11) καὶ τούσδε ter in m. 12) διακρίνειν g. 13) οἷον ἐξουσίαν τοῦ κ. Bekker, οἷον ἐξουσίας τοῦ ἔχειν ἐξουσίαν (φησὶ add. Vat. Laur. gm) κ. codd. 14) ὑπεναντίους Laur. m. 15) τάδε Vat. 16) ἐκκληροῦντας m. 17) ὁ om. m. 18) ἀμίδα m. 19) διακ. εἶναι] διακονεῖν gm. 20) ὑπολαβ. Baiterus pro ἀλλ' ὑπολαβ. 21) ἀπὸ κλήρου γινόμενοι Fgm.

κιμάζονται, οὐκοῦν πολὺ[1] *πλέον δεῖ δοκιμάζειν καὶ τοὺς χειροτονητούς.* Vat. Laur. Fgm.

εὐθύνας] *τὰς κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀρχάς.* Vat. Laur. gm.

τὸν γραμματέα] *γραμματέα λέγει τὸν εἰωθότα ἐν τῷ κοινῷ τὰ τοῦ δήμου γράμματα ἀναγινώσκειν.* B.

τοὺς λογιστάς] *λογιστὴς ἑκάστης φυλῆς εἷς. γραμματέα δὲ ἕκαστοι εἶχον. λέγει οὖν νῦν*[2] *τὸν τῶν λογιστῶν. Ἄλλως.*[3] *ἄρχοντες ἦσαν δέκα ἠρημένοι καλούμενοι λογισταί, οἷς*[4] *λόγον οἱ ὑπεύθυνοι τῶν διαχειρισθέντων ἐδίδοσαν. καὶ ἐδίκαζον αὐτοὶ τὰς εὐθύνας.* Vat. Laur. gm.

17. *πρὸς δὲ*] *Δημοσθενικῶς προδιαβάλλει τὴν ἀντίθεσιν,*[5] *μετὰ ἤθους δέ. ἔστι δὲ κατὰ ῥητὸν καὶ διάνοιαν. φησὶ γὰρ ὁ Αἰσχίνης ὅτι ὑπεύθυνος εἶ· τειχοποιὸς γὰρ εἶ.*[6] *ὁ δὲ Δημοσθένης τειχοποιὸς εἶναι συντρέχει, τὸ δὲ*[7] *τὰ γὰρ ἴδια ἀνάλωσα*[8] *διάνοια τοῦ ῥητοῦ ἐστι, καὶ ἀμφισβητεῖται, ποῖα ἀνάλωσε, τὰ ἴδια ἢ τὰ κοινά.* Vat. Laur. gm.

τηλικαύτη] *ἐν γὰρ τῇ μεγάλῃ ἐνδέχεται καὶ λαθεῖν.* Vat. Fgm.

ὁπωσοῦν] *δι' ἥντινα πρόφασιν, ὁποία ποτ' ἂν ᾖ.* Vat. Laur. gm.

18. *παραδόξων*] *τῶν παρὰ τὴν δόξαν, περὶ ὧν οὐκ ἄν τις προσδοκήσειεν οὐδ' ὑπολάβοι.*[9] Vat. Laur. gm.

γένη] *γένη οὐ τὰς συγγενείας καλεῖ, ἀλλὰ ταῦτα ὧν οἱ μετέχοντες γεννῆται καὶ ὁμογάλακτες καλοῦνται. εἰσὶ δὲ ὥσπερ πατριαί τινες, ἱερωσυνῶν κοινωνίας ἔχουσαι.* Vat. Laur. gm.

Εὐμολπίδας] *Εὐμόλπου ἀπογόνους. ἐγένετο δὲ Εὔμολπος Μουσαίου υἱὸς ἢ μαθητής, τοῦ τὰ μυστήρια ευρηκότος.* B. *οἱ Εὐμολπίδαι γένος εἰσὶν ἀπὸ Εὐμόλπου. οὗτοι εἰσιν οἱ μυοῦντες· ἐκ τούτων γίνεται δαδοῦχος, ἱεροφάντης. οἱ δὲ Κήρυκες καὶ αὐτοί εἰσι τῶν περὶ τὰ μυστήρια. καὶ τοῦτο δὲ τὸ γένος ἀπό τινος ὀνομαστικῶς λεχθέντος Κήρυκος. Ἄλλως.*[10] *γένη καὶ πατριαί τινες διάσημοι, ἀφ' ὧν Ἀθήνησιν ἱεροφάνται μὲν τῆς Δήμητρος ἀπὸ Εὐμολπιδῶν, δαδοῦχοι δ' ἀπὸ Κηρύκων.* Vat. Laur. gm.

ἐγένετο μὲν οὖν] *πρῶτος ἱεροφάντης Εὔμολπος, Κηρύκων δὲ τέσσαρα γένη, πρῶτον μὲν οἱ παναγεῖς ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ Πανδρόσου τῆς*[11] *Κέκροπος, δεύτερον*[12] *οἱ κατὰ τὸν ἀγῶνα, τρίτον*[13] *οἱ περὶ τὰς τελετὰς ἀπὸ τῶν Εὐμολιδῶν*[14] *γένους, τέταρτον*[15] *οἱ κατὰ τὴν ἀγορὰν καὶ τὰ ὤνια.* Vat. Laur. g.

19. *διαχειρίσαντας*] *τοῦτο καθ' ὑπόκρισιν προενήνεκται.*[16] *ἀποτείνεται γὰρ πρὸς τὸν Δημοσθένην ὡς αὐτὸν κεκλοφότα ἐκ τῶν δημοσίων καὶ ἱκανῶς σεμνυνόμενον ἐπὶ τοῦ ἀναλωκέναι ἐκ τῶν ἰδίων.* Vat. Laur. g.

20. *στεφανωθήσεται*] *τὸ τοιοῦτο σχῆμα ἐπερώτησις φαίνεται, ὅταν τις αὐτὸς ἐπερωτᾷ*[17] *ἑαυτὸν καὶ ἀποκρίνηται. τοῦτο δὲ ὅτε μὲν*[18]

1) *πολὺ* habet F, om. cett. 2) *νῦν* om. Laur. 3) *ἄλλως* om. gm. 4) *οἷς* mg. m, *οὓς* m in textu. 5) *θέσιν* Vat. Laur. 6) *τειχοπ. γ. εἶ* om. Laur. 7) *τὸ δὲ* om. Laur. 8) *ἀναλῶσαι* Vat. 9) *οὐδ' ὑπολάβοι* om. Laur. 10) *ἄλλως* om. gm. 11) *τοῦ* Vat. 12) *δεύτεροι* g. 13) *τρίτοι* Laur. g. 14) *εὐμενίδων* libri. 15) *τέτταρτοι* g. 16) *προενεκτε* (sic) Vat. *προ . . . .* Laur. *προαποτείνεται* g. 17) *ἐπερωτήσῃ* Laur. g. 18) *μὲν*] *δὴ* addit Laur.

γίγνεται διηγηματικόν, ὁτὲ δὲ μιμητικόν. διηγηματικὸν[1] *μὲν οὕτως· ἴσος δή τις ὑπολαβών*[2] *φησιν· οὐκ ἄρα στεφανωθήσεται,*[3] *μιμητικὸν δέ, ὅταν*[4] *μηδὲν προειπὼν ἀπ'*[5] *αὐτοῦ τοῦ ἐρωτήματος εἰσβάλῃ,*[6] *ὡς νῦν πρὸς τὸ ἐρώτημα ἀπεφήνατο.* Vat. Laur. g.

οἱ δὲ γὰρ πάτριον —] *δηλοῖ διότι*[7] *οὐκ ἔστι πάτριον στεφανοῦσθαι τὴν βουλὴν πρὸ τῶν εὐθυνῶν.*[8] Vat. Laur. g.

21. *ἐκποίητον*] *τοῦτο διφορεῖται· ἐὰν μὲν γὰρ παρ' ὄνομα ᾖ, προπαροξύνεται, ἐὰν δὲ παρὰ ῥῆμα, ὀξύνεται.* F.[9]

23. *δέκα τάλαντα — εἰληφὼς*] *οὐ λέγει ὅτι δέδωκεν ἡ πόλις εἰς ἀνάλωμά*[10] *σοι δέκα τάλαντα· οὐ γὰρ ᾧ τάλαντα*[11] *εἰς τὰ τείχη*[12] *ἔμελλεν*[13] *δαπανᾶν,*[14] *ἀλλ' αἰνίττεται ὅτι πολλὰ κλέψας ἐκ τῶν θεωρικῶν*[15] *ὀλίγα ἡμῖν χαρίζῃ.* Vat. Laur. g.

ἀλλ' ὕστερος πολιτεύου] *μὴ μείζονα σαυτὸν ἄγειν*[16] *τῆς ἀπο τῶν νόμων ἐξουσίας, ἀλλὰ ταπεινότερον.* Vat. Laur. g.

24. *τὴν ἐπὶ τῷ θεωρικῷ ἀρχήν*] *χρήματα θεωρικὰ Ἀθηναῖοι διενείμαντο πρῶτον δραχμὴν ἑκάστῳ*[17] *Περικλέους εἰσηγησαμένου. ὕστερον καὶ*[18] *πολλὰ ἅμα χρήματα διενείμαντο*[19] *ἐπὶ τῇ τοῦ θεωρικοῦ προφάσει, τὰ μὲν Διοφάντου, τὰ δὲ Εὐβούλου διανέμοντος,*[20] *τὰ δὲ χρήματα τὰ θεωρικὰ εἰς στρατιωτικὰ μεταβάλλειν*[21] *ἔπεισε πρῶτος Δημοσθένης.* Vat. Laur. g.

ἐκκλησίᾳ] *τρεῖς γὰρ ἐκκλησίαι κατὰ μῆνα ἐγένοντο.* Vat. Laur. Fg.

25. *πρῶτον μὲν τοίνυν — τῷ δήμῳ*] *πρότερον μέν, φησίν, ἀντιγραφεύς τις ἦν τῷ δήμῳ τὰς προσόδους ἐκλογιζόμενος. οὐ περὶ Δημοσθένους λέγει ἀλλ' ἔθος τι ὂν*[22] *Ἀθήνησιν.* Vat. Laur. g. *Ἄλλως. οἷον τὰ ἴσα*[23] *ἀπογράφων ὧν λαμβάνει παρὰ τῶν συντελεστῶν, καὶ παρέχων αὐτοῖς ὡς νῦν λέγομεν τὰς ἀποχάς, ὡς καὶ ἐν τῷ κατὰ Ἀνδροτίωνος ἔγνωμεν.*[24] Vat. Laur. Fg. *ἀντιγραφεῖς δὲ διττοί ἦσαν, οἱ μὲν τῆς διοικήσεως, οἱ δὲ τῆς βουλῆς.*[25] Vat. Laur. g.

διὰ δὲ τὴν πρὸς Εὔβουλον γεν. πίστιν] *ἴσως Εὔβουλος ἐπὶ τῶν θεωρικῶν γενόμενος ἐπιστεύετο*[26] *τὸ σύμπαν καὶ οἱ ἀπ' αὐτοῦ λοιπόν, τέως Ἠγήμων*[27] *τις τὸν περὶ τοῦ ἀντιγραφέως νόμον εἰσηγήσατο.* Vat. Laur. g. *Ἄλλως. τοῦτο ὡς ἀντιπίπτον βούλεται λῦσαι, ἵνα γὰρ μὴ εἴπῃ ὁ Δημοσθένης ὅτι οὕτως εὔνους ἦμην τῇ πόλει, πολ-*

1) *μιμητικὸν* g. 2) *ὑπὸ τειχῶν* Laur., *ὑποτυχὼν* g. 3) *στεφανώσεται* codd. 4) *ὅτι* Laur. g. 5) *ἐπ'* Vat. 6) *εἰσῦ . . . .* Vat., *εἰσβάλλῃ* g. 7) *δ' ὅτι* g. 8) *Ἀθηναίων* Vat. Laur., *εὐθύνων* g. 9) Vat. eadem manu, qua glossae scriptae sunt, ad vv. *οὐδ' ἄλλα πολλὰ* habet: *ἀντὶ τοῦ ἐπρέσβευσεν ἢ τι τοιοῦτον.* 10) *ἀναλώματα* g (*εἰς* om.). 11) *οὐ — τάλαντα* om. Laur. 12) *τὸ τεῖχος* Laur. 13) *ἔμελλον* libri. 14) Pro verbis *οὐ γὰρ — δαπανᾶν* cod. g dat: *ἃ ἔμελλον δαπανᾶν.* 15) *θεωρητικῶν* Laur. g. 16) *ἄγῃ* Vat. 17) *δρ. ἑκ.*] *δραμὼν ἕκαστος* libri. 18) *δὲ* g. 19) *πρῶτον — διενείμαντο* om. Vat. 20) *διανείμαντος* Laur. g. 21) *μεταβαλεῖν* Laur. 22) *ὢν* Vat. 23) *ἴσα* om Laur. in lacuna. 24) Haec ad §. 22 refert F. 25) cf. Harpocr. s. v. *ἀντιγραφεύς.* 26) *ἐπίστευς* Vat. g, *ἐπίστας* Laur. Aut *ἐπιστεύετο* scribendum, aut *Εὐβούλῳ — γενομένῳ — καὶ τοῖς* (sc. *ὁ δῆμος*). 27) *ἢ γέρων* g.

λάς μοι ἀρχὰς ἐπίστευσε, λύει λέγων ὅτι οὐ διὰ τὴν εὔνοιαν τὴν σήν, ἀλλ' ἐπειδὴ[1] ἔθος τοῦτο ἐγένετο ἀπὸ Εὐβούλου. οὗτος γὰρ πολιτευόμενος ἦρχε τῶν θεωρικῶν, καὶ διὰ τὴν εὔνοιαν αὐτοῦ καὶ ἄλλας διοικήσεις αὐτῷ[2] ἐπίστευσεν οἷον[3] καὶ τὴν τοῦ ἀντιγραφέως ἀρχήν. ἐκ τούτου λοιπὸν καὶ εἰς[4] τοὺς ἀναξίους ἔδραμε τὸ ἔθος.[5] Vat. Laur. Fg.

πρυτανείαν] ἡ ἦν ἡμερῶν τριάκοντα πέντε, ὡς ἄνω εἴπομεν. B.

ἀποδεκτῶν] ἀποδέκται ἦσαν οἱ δεχόμενοι τὰ χρήματα τῶν καταβολῶν, εἴ τις ἐχρεώστει τῷ δημοσίῳ ἀπὸ καταδίκης. ὁδοποιοὶ δὲ οἱ ἐπιμελούμενοι τῆς καθαρότητος τῶν ὁδῶν τῆς πόλεως. Vat. Laur. Fg. Ἄλλως. οὗτοί εἰσι[6] ταμίαι εἰσφορὰς[7] καὶ φόρους παραλαμβάνοντες. τὰς ἀρχὰς ἐξηγεῖται ἃς εἶχον οἷον[8] τὰς λειτουργίας[9] ἢ[10] τὰ σκεύη ἀποδέχεσθαι, τὰ νεώρια ἐφορᾶν,[11] τὰς ὁδοὺς ποιεῖν ἐκ τῶν χρημάτων ἀναλίσκοντες. Vat. Laur. g.

27. ἐπιβολὰς] οἷον ζημίας καὶ πρόστιμα[12] καὶ καταδίκας τοῖς ὑπ' αὐτόν, ὅπερ ἐστὶν ἔργον τῆς ἀρχῆς. Vat. Laur. Fg. Ἄλλως. οἷον καὶ[13] ἐζημίου[14] χρήμασιν οἷς ἐβούλετο·[15] τοῦτο δὲ[16] ποιεῖν τοῖς ἄρχουσιν ἔξεστιν. Ἄλλως. ἐπιβολὴν λέγουσιν ἣν ἡ ἀρχὴ[17] ζημίαν ἐπιτίθησιν, ἡνίκα ἐν τοῖς θεάτροις κηρύττει οἷον· ἐπιβάλλει ὁ ἄρχων[18] τῷ δεῖνι ποιητῇ τοσόνδε, ἂν μὴ τὸν χορὸν εἰσάγῃ.[19] Vat. Laur. g.

ἀγορὰν ποιῆσαι] οἷον ἀθροῖσαι παρὰ τὸ ἐγείρειν ἐκκλησίαν. Vat. Laur. g.

ἱσταμένου] καλῶς τὸ ἱσταμένου μηνός, ἐπειδή ἐστι καὶ δευτέρα φθίνοντος. F.

28. ἀντιδιαπλέκει] οἷον ἄλλο ἀντ' ἄλλου εἰσάγει. μὴ δυνάμενος γὰρ[20] δεῖξαι ὅτι οὐκ ἦν ὑπεύθυνος, λέγει ὅτι ἀλλ' οὐχ ὑπὸ[21] τῆς πόλεως ἐχειροτονήθην, ἀλλ' ὑπὸ τῆς φυλῆς μου.[22] Vat. Laur. F. Ἄλλως. ἀντιτίθησι καὶ διαμάχεται μετὰ πανουργίας. Vat. Laur. g.

ὡς οὔτ' — δήμου] ἀντὶ τοῦ[23] οὔτε κληρωτὸς ἐγένετο οὔτε αἱρετός.[24] Vat. Laur. g.

30. τριττύες] ὅ ἐστι τὸ[25] τρίτον μέρος τῆς φυλῆς. πολλάκις γὰρ ἡ[26] πᾶσα φυλὴ ὑπὲρ[27] ἑαυτῆς ἕνα προεβάλλετο· πολλάκις δὲ καὶ ἓν[28] ἕκαστον μέρος τῶν τριῶν τῆς φυλῆς ἕνα ὑπὲρ ἑκάστου μέρους. καὶ οἱ δῆμοι οἱ μερικοί οἷον ὥσπερ αἱ κῶμαι. τοῦτο δὲ εἶπεν, ὡς ὅτι[29] οἱ δῆμοι ἐξ αὐτῶν[30] αἱροῦνταί τινα, ἵνα ὑπὲρ τοῦ δήμου αὐτοῦ[30] τοῦ μερικοῦ φροντίζῃ. Vat. Laur. Fg. Ἄλλως. τὰ τρία μέρη τῶν φυλῶν καὶ οἱ ἡγεμόνες τριττύαρχοι.[31] Vat. Laur. g.

1) ἐπεὶ Laur. g. 2) τούτῳ Laur., αὐτῷ om. Vat. 3) οἷον om. F. 4) ὑπὲρ Vat. 5) ἔδρ. τὸ ἔθ.] ἔδραμον τὰ ἔθη Vat. 6) γὰρ g. 7) εἰσφορὰς Laur. g, εἰσφορῶν Vat. 8) οἱ Laur. 9) οἷον τὰς λειτουργίας om. g. 10) ἢ de coni., τὸ libri. 11) ἐφιστᾶν Vat., ἐφορῶν Laur. g. 12) καὶ πρόστιμα om. F, κ. πρός τινα dat Laur. 13) καὶ om. Laur. g. 14) ἐζημίουν Laur. g. 15) ἐβούλοντο g. 16) δὲ om. Laur. g. 17) ἣν ἡ ἀρχὴ] ἣν ἀρχὴν Vat. Laur. 18) ἄρχειν g. 19) ἀγάγῃ Laur. 20) ταῦτα Laur. 21) ἀπὸ F. 22) μου om. Laur. 23) ἀλλ' Laur. 24) ὠνητός g. 25) τὸ add. Vat. 26) καὶ ἡ F. 27) ὑπὲρ om. F. 28) ἓν om. Vat. 29) ὅτι καὶ Laur. 30) αὐτῶν — αὐτοῦ Bk. pro αὐτ. — αὐτ. 31) τριττύαρχαι g.

31. ὁ δὲ ῥήτωρ] κατ' εἰρωνείαν εἴρηται, μᾶλλον δὲ κατ' ἀλήθειαν. βούλεται γὰρ αὐτὸν εἶναι[1] ῥήτορα διὰ τὸ χρήσιμον αὑτοῦ, ἐπειδὴ λέγει, διά τί μὴ αὐτὸς ἀπολογεῖται ὑπὲρ ἑαυτοῦ, ἀλλὰ τὸν Δημοσθένην εἰς συνηγορίαν ἐκάλει; Vat. Laur. F.

τοὺς ἀντιδίκους] διὰ τὸ μὴ[2] ἔχειν[3] αὐτοὺς ἀντιλέγειν πρὸς τὰ προειρημένα.[4] Vat. Laur. F.

32. ὡς τοίνυν —] ἐπλήρωσε τὸν νόμον τὸν κελεύοντα τοὺς ὑπευθύνους[5] μὴ στεφανοῦν. ἀρχεται δὲ ἐντεῦθεν τοῦ ἑτέρου νόμου τοῦ κελεύοντος ὃν ἂν στεφανοῖ ὁ δῆμος[6] μὴ[7] ἐν τῷ θεάτρῳ ἀλλ' ἐν τῇ ἐκκλησίᾳ ἀνακηρύττεσθαι.[8] Vat. Laur. g.

διαρρήδην] φανερῶς, διωρισμένως. B.

33. οὗτος] ἐπὶ τὸ δεύτερον νόμιμον μεταβαίνει. Laur. F.

ἐργολαβεῖν] ἵνα διὰ τοῦ ἐν τῷ θεάτρῳ στεφανοῦσθαι ἔχῃ ἑαυτῷ[9] τοὺς παρέχοντας τὰ χρήματα, ὡς δυνατῷ καὶ τιμωμένῳ ἐν[10] τῇ πόλει. Vat. Laur. F.

34. ἐν τῷ δήμῳ] ἀντὶ τοῦ[11] δήμου[12] θεωρουμένου[13] καὶ οὐχὶ ἐν τῷ θεάτρῳ ξένων παρόντων. Vat. Laur. g.

Πυκνὶ] ὁ τόπος, ἐφ' οὗ ἡ ἐκκλησία ᾠκοδόμητο, Πνὺξ ἐκαλεῖτο. ην δὲ τόπος ὑψηλὸς καὶ νεφώδης. Vat. Laur. g. Πνὺξ τόπου ὄνομα, ἐν ᾧ ὁ δῆμος ἐκκλησιάζων συνήγετο. B.

35. νόμον] Θέλει εἰπεῖν τὸν περὶ τῶν ξένων, ὅτι κελεύει ὁ νόμος τὸν ξενικὸν στέφανον ἐν τῷ θεάτρῳ ἀναγορεύεσθαι. τοῦτον γὰρ[14] καλεῖ Διονυσιακόν. ὁ δὲ Δημοσθένης διακόψας τὸ ἥμισυ τοῦ νόμου[15] τοῦ πολιτικοῦ τὸ ἥμισυ παρενέβαλε τὸ[16] τῶν ξένων, ὡς ἔγνωμεν ἐκεῖσε ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, διὸ ἐπάγει μέρει τινὶ λέγων. Vat. Laur. Fg.

39. τῶν ἐπωνύμων] τῶν δέκα[17] λέγει, ἀφ' ὧν αἱ φυλαὶ τὰς ὀνομασίας ἔχουσιν. Vat. Laur. g.

ἐπιγράψαντας] οἱονεὶ ὑποβαλόντας. Vat. Laur. F.

διαχειροτονίαν] οἱονεὶ[18] διάσκεψιν. Vat. Laur. F.

40. νομοθέταις] δηλονότι πρὸς τὸ κρίνειν. Vat. Laur. F.

ὁ ἕτερος τῶν νόμων] ἀντὶ τοῦ ὁ διονυσιακὸς νόμος, ᾧ χρῆται Δημοσθένης. Vat. Laur. g.

41. οἱ νόμοι] πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ.[19] Vat. Laur. F.

γιγνομένων — τραγῳδῶν] ἀντὶ τοῦ ἀγωνιζομένων τῶν τραγικῶν. Vat. Laur.

ὑποκηρυξάμενοι] ἀττικῶς ἀντὶ τοῦ κηρύξαντες. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς. Vat. Laur. F.

1) εἶναι κατὰ Laur. 2) μὴν F. 3) παρέχειν Vat. 4) εἰρημένα Laur. 5) τοὺς ὑ.] τὸν ὑπεύθυνον Laur. g. 6) νόμος Vat. Laur. 7) μὴ add. de coni. 8) ἀλλ' ἐν τῇ ἐκκλ. ἀνακ. de coni., ἀλλὰ κηρύττεσθαι Vat., ἀνακηρύττεσθαι cett. 9) ἐν ἑαυτῷ Vat. Laur. 10) ἐν om. Laur. 11) τοῦ om. Vat. 12) δήμου om. Laur. g. 13) τεθεωρημένου g. 14) γὰρ om. Laur. 15) τὸ ἥμισυ τ. νόμου] τὸν ἥμισυ σὺν τῷ νόμῳ Laur. 16) τὸ om. Laur. 17) τῶν ῑ(?) Vat., τῶν ιβ g, τῶν δώδεκα Laur. 18) οἱονεὶ om. F. 19) ἑνικῶς Vat.

μάρτυρας — ποιούμενοι[1]*]* *εἰρωνείας καὶ ἤθους μεστὸς ὁ λόγος.* Vat. Laur. F.

42. *ὃ δ' ἦν ἐπιφθονώτατον]* *λείπει, τοῦτο προσθήσω.*[2] *εὑρημένοι δὲ ἀντὶ τοῦ ποιούμενοι.* Vat. Laur. Fg. *ἐπιφθονώτατον δὲ ἀντὶ τοῦ ἐπίμεμπτον.* Vat. Laur. g. *τοῦτό φησι· τινὲς ἐνταῦθα ἑαυτοῖς κατεσκεύαζον, προσποιούμενοι εἶναι πρόξενοι πόλεων τινῶν, ἵνα αὗται*[3] *αἱ πόλεις πέμπωσιν αὐτοῖς στεφάνους.* F.

ἀνδραγαθίας] *κακοήθως τοῦτο· δέον γὰρ εὐνοίας εἰπεῖν ἀνδραγαθίας εἶπεν ὡς τοῦ Δημοσθένους ἀνάνδρου ὄντος.* Vat. Laur. g.

καταθέμενοι] *ἀντὶ τοῦ ὁμολογήσαντες.* F.

45. *ἀποδείξῃ]* *ὁ νόμος.* Laur.

ἐρανίζων] *οἱονεὶ*[4] *συλλέγων.* Vat. Laur. F.

ὅταν δὲ —] *ἐνταῦθα ἡ ἀπόδοσις ἐν σχήματι ἐπαναλήψεως, ἐπειδὴ διὰ πολλῶν ἦν ἠρτημένη ἄνωθεν ἀπὸ τοῦ ὅταν ουν*[5] *ἀποδείξῃ.* Vat. Laur. Fg.

48. *ὑποβάλλειν]* *ἀποκρίνασθαι, ἀπαντᾶν λόγοις.* Vat. Laur. Fg.

μὴ κηρύττεσθαι] *περιττεύει*[6] *ἡ μία ἄρνησις.* Vat. Laur. g.

49. *ἔστι δὲ ὑπόλοιπον]* *ἐπλήρωσε τὸν δεύτερον νόμον καὶ μεταβαίνει ἐπὶ τὸν τρίτον νόμον τὸν κελεύοντα ψευδῆ γράμματα μὴ τίθεσθαι*[7] *ἐν τῷ Μητρῴῳ, ὃ καλοῦσι δίκαιον κεφάλαιον.* Vat. Laur. g.

50. *ἁπλοῦς]* *ὅτι*[8] *τριχῶς λέγεται τὸ ἁπλοῦν, ἢ ἐπὶ τοῦ ἀπανουργήτου,*[9] *ἢ ἐπὶ τοῦ*[10] *ἐρήμου, ἢ ἐπὶ τοῦ*[10] *συντόμου. ἐνταῦθα οὖν ἁπλοῦν λέγει*[11] *τὸ σύντομον, ὥσπερ Εὐριπίδης* (Phoen. 472).

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

ἐντεῦθεν δὲ[12] *μετέρχεται ἐπὶ τὸν τρίτον νόμον τὸν περὶ τῶν ψευδῶν γραμμάτων,*[13] *οἷον ὅτι οὐ δεῖ ψευδῆ γράμματα ἀποκεῖσθαι*[14] *ἐν τῷ Μητρῴῳ· τοιοῦτοι δὲ*[15] *οἱ περὶ Δημοσθένους ἔπαινοι.* Vat. Laur. Fg.

τοὐναντίον] *οὐκ ἔστι τοῦτο πρὸς τὸ πρὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ ἔτι ἀνώτερον. οὐ γὰρ λέγει ὅτι δεικτέον αὐτῷ, εἰ ἔξεστι ψευδῆ γράμματα*[16] *ἀποθέσθαι,*[17] *ἀλλ' εἰ*[18] *ἀληθεῖς οἱ περὶ αὐτοῦ τοῦ Δημοσθένους ἔπαινοι.* Vat. Laur. Fg.

ὑμεῖς — κριταὶ] *ἴαμβος τρίμετρος.* Laur.

51. *ἐγὼ μὲν]* *τὸ δίκαιον κεφάλαιον οὕτω*[19] *διείλεν· εἷς τε*[20] *τὰ ἴδια Δημοσθένει πραχθέντα καὶ εἰς τὰ δημόσια πεπολιτευμένα, ἀλλὰ τὰ μὲν ἴδια τῷ καθ' ὑποσιώπησιν σχήματι μετέρχεται, τὰ δὲ δημόσια διαιρεῖ εἷς τε τοὺς πρὸ τῆς εἰρήνης χρόνους καὶ εἰς τὰ ἐν αὐτῇ τῇ εἰρήνῃ καὶ τὰ*[21] *μετὰ τὴν κατάλυσιν τῆς εἰρήνης ἕως τῆς ἐν Χαι-*

1) Hoc scholion habet F ad verba *ἕνεκ' ἀρετῆς* §. 42. 2) *προσθήτω* F. 3) *αὗται* F. 4) *ἀντὶ τοῦ* F. 5) *δὲ* Laur., *οὖν* om. g. 6) *περιττὸν* Vat. 7) *τιθέναι* Laur. g. 8) *ὅτι* om. Laur. 9) *ἀνενεργήτου* g. 10) *τοῦ* om. g. 11) *λέγεται* g. 12) *δὲ* om. g. 13) *ψευδῶν γρ.] ψευδομαρτυριῶν* Laur. 14) *ἐγκεῖσθαι* F. 15) *δὲ* om. Laur. 16) *γράμματα* Bekk., *γραμμάτια* F, *γραμματεῖα* cett. 17) *ἐνθέσθαι* F. 18) *εἰ* om. Laur. 19) *οὕτως* Vat., *οὔτε* Laur. 20) *τε* om. g. 21) *τὰ* om. Vat.

ρωνείᾳ καὶ τὰ[1] μετὰ Χαιρώνειαν ἕως τῆς εἰσαγωγῆς τῆς γραφῆς. πάλιν δὲ τοὺς χρόνους ὑποδιαιρεῖ. Vat. Laur. g.

τί γὰρ] τῷ κατὰ παράλειψιν[2] σχήματι κέχρηται. Vat. Laur. Fg.

τῆς κεφαλῆς ἐπιτομὴν] λέγεται γὰρ ὡς Δημοσθένης ἐπιτέμνων τὴν κεφαλὴν ἑαυτοῦ ἐγράψατο τραύματος ἐκ προνοίας Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ἑαυτοῦ[3] ὡς τραυματισθεὶς ὑπ' αὐτοῦ καὶ λαβὼν ἀργύριον οὐχ εἷλε τὴν δίκην ἀλλὰ διελύσατο. Vat.

Κηφισοδότου] ουτος πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην καὶ καταψηφισθείς, πέντε ταλάντοις ἐζημιώθη. εἰσαγγελία δέ ἐστι κατηγορία διὰ τὰ ἀδίκως ἢ κακῶς πεπραγμένα. B.

ἐπὶ ἄρχοντος Καλλιμήδους[4] τῷ πρώτῳ ἔτει τῆς ἑκατοστῆς πέμπτης Ὀλυμπιάδος, ᾧ ἔτει Φίλιππος ἐβασίλευσε Μακεδονίας,[5] Ἀθηναῖοι δύναμιν εἰς Ἑλλήσποντον ἐξέπεμψαν καὶ στρατηγὸν ἐπ' αὐτῇ Κηφισόδοτον, ὃς ναυμαχήσας Λαμψακηνοὺς εἰσηγγέλθη[6] ὡς προδεδωκὼς καὶ ἐθελοκακήσας καὶ διὰ κακίαν ἡττηθεὶς τὴν ναυμαχίαν καὶ κριθεὶς[7] περὶ θανάτου τῆς μὲν θανατικῆς ζημίας ἀπελύθη, ἐζημιώθη δὲ ὑπὸ τοῦ δήμου ταλάντοις πέντε. ἐγένετο δὲ αὐτοῦ, ὥς φησιν Αἰσχίνης, κατήγορος ὁ Δημοσθένης συνεκπεπλευκὼς αὐτῷ τριήρχαρχος καὶ περιάγων ἐπὶ τριήρους καὶ συσσιτῶν καὶ συσπένδων διὰ τὸ πατρικῶς αὐτῷ φίλος εἶναι. Laur. g.

52. περιάγων] δοκεῖ γὰρ τοῦτο ὥσπερ τιμή τις εἶναι τοῦ τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθ' ὃ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην. οὐκ ἐμνήσθη δὲ τούτου ὁ[8] Δημοσθένης ἐν τῷ[9] κατ' Ἀριστοκράτους, ἐπειδὴ[10] μάλιστα μὲν οὐ δι' ἑαυτοῦ λέγει ἐκεῖνον τὸν λόγον, ἀλλ' Εὐθυκλῆς ἐστιν ὁ ἐκεῖσε λέγων, λαβὼν τὸν λόγον παρὰ Δημοσθένους· εἶτα[11] οὐδὲ ἀναγκαῖον ἦν. Vat. Laur. Fg.

καὶ ταῦτα ἤδη —] κατὰ κοινοῦ· ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι[12] καὶ τὰ ἑξῆς. Vat. Laur. g.

τὴν — καταχειροτονίαν] ἵνα λέγῃ περὶ τῆς προβολῆς ἐκείνης. Vat. Laur. F.

53. προδιδοὺς ὑμᾶς[13]] λείπει, τούτῳ τῷ Δημοσθένει. Vat. F.

ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα] πῶς τὰ αὐτὰ ἀρχαῖα καὶ ὁμολογούμενα; ὀφείλει γὰρ[14] λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ χρόνου, ὅτι[15] οὕτω φησὶ μεγάλα ἐστίν,[16] ὅτι οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι. ὅτῳ δὲ ἀντὶ τοῦ ᾧτινι, τῷ Δημοσθένει. Vat. Laur. Fg.

ὦ Κτησιφῶν] τὸ σχῆμα ἀποστροφή. F.

1) τὰ om. Laur., g. 2) παράληψιν Vat. Laur. F. 3) ἑαυτῷ Vat. 4) Καλλιδήμους Laur., Καλλιδήμου g. 5) Vat. nihil habet praeter: ἐπὶ ἄρχοντος Καλλιμήδους τοῦ πρωτω (?) ἔζει τῇ $\overset{\eta}{\overline{\text{οε}}}$ ὀλυμπιάδι, ὡς ἔζη Φίλιππος ὁ βασιλεὺς Μακεδονίας. 6) εἰσηγγέλη codd. 7) καταδικασθεὶς g. 8) ὅτι Laur. 9) τοῖς Laur. 10) ἐπεὶ g. 11) εἶτα om. Laur. 12) εἶναι add. g. 13) Vat. habet hoc schol. ad verb. καταχαριζόμενος. 14) ὀφείλει γὰρ] ἃ μᾶλλον g. 15) ὅτι om. g. 16) ἐστιν om. g.

54. *καὶ γὰρ πυνθάνομαι*] *χαριέντως ὁ Αἰσχίνης, ὅτι διαιρῶν*[1] *τὴν κατηγορίαν εἰς τοὺς τέσσαρας*[2] *καιροὺς οὐχ ὡς αὐτὸς ταύτην ποιούμενος τὴν διαίρεσιν τῆς κατηγορίας ποιεῖται τὸν λόγον,*[3] *ἀλλ' ὡς τοῦ Δημοσθένους χρωμένου ταύτῃ τῇ τῶν καιρῶν διαιρέσει, ἵνα ὁ λόγος αὐτῷ ἀνεπίφθονος*[4] *γένηται.* Vat. Laur. g.

περὶ δὲ] *μετέρχεται ἐπὶ τὸ δίκαιον κεφάλαιον ἐντεῦθεν, πληρώσας τὸ νόμιμον. μερίζει δὲ*[5] *τὸ δίκαιον εἰς τέσσαρας*[6] *καιρούς, ὡς πολλάκις ἔγνωμεν.* Vat. Laur. Fg.

τοῦτον δ' ἀφορίζεται] *λέγει οἱονεὶ εἰς ἕνα χρόνον συνάπτει.* Vat. Laur. Fg.

τῇ γενομένῃ εἰρήνῃ] *ἀντὶ τοῦ μέχρι τῆς γενομένης εἰρήνης, συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην.* Vat. Laur. Fg.

55. *ἐγκαλύπτωμαι*] *τὸ πρόσωπον καλύπτω ὑπ' αἰσχύνης.* B. *ἀντὶ τοῦ σκέπω ἐμαυτόν, ὡς ἀπορῶν δῆθεν.*[7] *ἐκκαλύψειν*[8] *δὲ ἀντὶ τοῦ γυμνώσειν*[9] *με σκεπόμενον.* Vat. Laur. Fg.

57. *φιλανθρώπως*] *διὰ τὸν Φίλιππον λέγει. εἰ γὰρ μὴ φιλανθρώπως ἡμῖν προσηνέχθη, τί ἐκώλυε κρατήσαντα*[10] *ἐν Χαιρωνείᾳ πιθέσθαι τῇ πόλει;* Vat. Laur. g.

58. *τὴν προτέραν ἐκείνην εἰρήνην*] *μετὰ γὰρ τὰ ἐν Χαιρωνείᾳ ἐποιήσαντο πάλιν εἰρήνην πρὸς Φίλιππον.* Vat.

τὰς πρεσβείας] *Αἰσχίνου πείσαντος πρέσβεις ἐπὶ τὰς πόλεις Ἀθηναῖοι πεπόμφασι*[11] *παρακαλοῦντας ἐπὶ Φίλιππον. τοῦτο*[12] *Δημοσθένης ἐν μὲν τῷ*[13] *περὶ παραπρεσβείας* (§. 16. p. 346), *ὁμολογεῖ καὶ παρεῖναι πρέσβεις τινὰς φησιν, ἐν δὲ τῷ περὶ στεφάνου* (§. 23. p. 232) *ἀρνεῖται ὡς τῶν δικαστῶν οὐ μεμνημένων τῷ πλέον*[14] *ἢ δέκα ἔτη εἶναι τὰ ἐν μέσῳ.*[15] *τὸ δὲ παρακαλοῦντες ἐπὶ Φίλιππον οὕπω δῆλον ἢ περὶ εἰρήνης ἢ πολέμου, ἀλλ' ἵνα βουλεύσωνται*[16] *πρότερον ἃ*[17] *δεῖ ποιεῖν.* Vat. Laur. g.

ἐπὶ Φίλιππον] *ἀντὶ τοῦ κατὰ Φιλίππου.* Vat. F.

συστάντες] *ἀντὶ τοῦ φατριάσαντες ἐπὶ τὰ δημόσια ὑμῶν πράγματα.* F.

59. *εἰ δέ τισιν —*] *τοῦτό ἐστι προδιόρθωσις. ἐπειδὴ γὰρ ὑπόληψιν ἔχουσιν οἱ πολλοὶ περὶ Δημοσθένους ὡς εὐνοϊκῶς πεπολίτευται, οὗτος δὲ τὴν ἐναντίαν δόξαν αὐτοῖς ἐμποιεῖν προαιρεῖται, εἰκότως προδιορθοῦται, ἵνα εὐπαράδεκτος αὐτοῦ ὁ λόγος γένηται.* Vat. Laur. g.

ἐπὶ τοὺς λογισμούς] *ἐπὶ τὸ ἀπαιτῆσαι λόγον τῶν ἀναλωθέντων χρημάτων.* Vat. Laur. Fg.

συγκεφαλαιωθῇ] *ἀντὶ τοῦ πλήρης ἀποδειχθῇ.* Vat. Laur. Fg.

αἱρῇ] *ἐλέγχῃ.* B. *ἀντὶ τοῦ καταλάβῃ.* F.

1) *διαιρῶν* Laur. g, *διαιρεῖ* Vat. 2) *τεττάρους* Laur. g, *δ* Vat. 3) *π. τὸν λόγον*] *ποιεῖ τὸ γιγνόμενον* Vat. 4) *ἀνεπιφθονώτερος* g. 5) *δὲ* om. g. 6) *τέσσαρας* om. Laur. g. 7) *ὡς — δῆθεν* om. g. 8) *ἐκκαλύψει* Fg. 9) *γυμνώσει* Fg. 10) *κρατῆσαι* Laur. 11) *πεμπόμενοι* Laur. g, *καὶ* addit g. 12) *τοῦτῳ* Laur. 13) *μὲν τῷ*] *τῷ μὲν* Laur. 14) *τῷ πλέον* om. Vat. 15) *μνείᾳ* Vat. 16) *βουλεύσονται* Vat. 17) *ἃ* add. de coni., om. codd.

62. ἐπιλαχὼν] ἐλάγχανον γὰρ ἄρχοντες[1] καὶ σὺν αὐτοῖς ἄλλοι ὥσπερ δεύτεροι αὐτῶν, ἵνα εἷς αὐτῶν εἰ ἀπέθανεν ἐν τῷ μεταξὺ τῆς ἀρχῆς ἢ ἠρρώστησεν, ὁ δεύτερος[2] ἀντ' αὐτοῦ ἐγίγνετο ἄρχων. ἐκ παρασκευῆς δὲ πριάμενος οἷον ὑποφθείρας χρήμασι τοὺς προέδρους τῆς βουλῆς, ὥστε αὐτὸν βουλευτὴν ποιῆσαι.[3] Vat. Laur. Fg. Ἄλλως. ὅταν κληρώσωνται βουλευταὶ ἢ δικασταί, εἶτά τινες ἐξομόσωνται, ἕτεροι ἐπικληροῦνται αὐτοῖς πρὸς τὸ τὸν ἀριθμὸν ἐκπληρωθῆναι.[4] τοῦτ' ἂν εἴη τὸ ἐπιλαχεῖν, τὸ δὲ πρότερον λαχεῖν. Vat. Laur. g.

ἵνα εἰς ὑποδοχὴν —] οἷον τὰ ἀρέσκοντα αὐτῷ. Vat. Laur. Fg. ἵνα ὁ μὲν εἰσηγοῖτο, ὁ δὲ συγχωροίη, ὁ μὲν γράφων,[5] ὁ δὲ λέγων,[6] ὅτι καλῶς ἔγραψεν. Vat. Laur. g.

64. ἐπράττετο] οἱονεὶ ἐπραγματεύετο αὐτὸς ὁ Φίλιππος καὶ συνετίθετο. Vat. Laur.

ἐκ μεταβολῆς] ἐν γὰρ τῇ πρώτῃ, φησί, πρεσβεία ἐπῄνει αὐτούς, ὕστερον δὲ ἐν τῇ δευτέρᾳ διέβαλλεν[7] ὡς προδότας. Vat. Laur. Fg.

65. εἴ τινες] τῶν Ἑλλήνων. Vat.

τρίτον δὲ] κατὰ κοινοῦ· ἐπράττετο. Vat.

παρηγγέλλετο] ὁ Φίλιππος ἤτοι τῷ Κερσοβλέπτῃ παρήγγελλεν[8] ὅτι ἐστράτευσεν ἐπ' αὐτόν,[9] ὥσπερ πολλοὶ προαγορεύουσι πολεμίοις,[10] ἢ[11] τοῖς ἑαυτοῦ συμμάχοις εὐτρεπίζεσθαι πρὸς τὸν[12] Κερσοβλέπτου πόλεμον προσέταξεν. Vat. Laur. g.

66. ἀνεμέσητον] ἄμεμπτον. B.

κατακοινωνήσαντες] οἱονεὶ κοινωνήσαντες ἀλλήλοις κατὰ[13] τῶν πραγμάτων τῶν[14] τῆς πόλεως. Vat. Laur. Fg. ὅταν κοινῇ τινες λέγωνται· κατακοινωνῆσαι.[15] Vat. Laur. g.

τοὺς καιρούς] οἱονεὶ τὰς εὐκαιρίας καὶ τὸ δύνασθαι διὰ τοῦ ἀναμεῖναι τοὺς ἄλλους[16] Ἕλληνας ἐλθεῖν καὶ κοινωνῆσαι τῆς εἰρήνης. Vat. Laur. Fg.

67. προαγὼν] ἐγίγνοντο πρὸ τῶν μεγάλων Διονυσίων ἡμέραις ὀλίγαις[17] ἔμπροσθεν ἐν τῷ Ἰωδείῳ καλουμένῳ τῶν τραγῳδῶν[18] ἀγὼν καὶ ἐπίδειξις ὧν μέλλουσι δραμάτων ἀγωνίζεσθαι ἐν τῷ θεάτρῳ, δι' ὃ ἑτοίμως[19] προαγὼν[20] καλεῖται. εἰσίασι δὲ δίχα προσώπων[21] οἱ ὑποκριταὶ γυμνοί. Vat. Laur. g.

ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον] οἱονεὶ ἐκκλησίαν ἐν πανηγύρει. F.

68. νικᾷ Δημοσθένης] δοκεῖ ἀπίθανον εἶναι, εἰ τοῦτο ἔγραψε Δημοσθένης. Ἄλλως. ἔοικε διὰ τὸ τάχος σπεύδειν τὴν εἰρήνην ποιήσασθαι. Vat. Laur. g. Ἄλλως. ἀντὶ τοῦ γράφει μηδενὸς αὐτῷ ἐναντιουμένου. Vat. Laur. F.

1) οἱ ἄρχοντες g. 2) δεύτερος habet g, om. cett. 3) βουλ. ποιῆσαι] πολεμῆσαι Vat. 4) ἐπιπλησθῆναι Vat. 5) γράφοι Laur. g. 6) λέγοι Laur. g. 7) διέβαλεν Laur. g. 8) παρήγγειλεν Laur. g. 9) ἐστράτ. ἐπ' αὐτ.] ὦ Κερσοβλέπτα στρατεύω ἐπὶ σέ. g. 10) πολέμοις codd. 11) ὃς Vat., οἱ Laur. 12) πρὸς τὸν] πρὸ τοῦ Vat. 13) καὶ F. 14) τῶν om. g. 15) κατακοινων.] κοινωνῆσαι add. g. 16) ἄλλους om. F. 17) ἡμ. ὀλ.] ἕτεροι ὀλίγον Vat., ἡμέραι ὀλίγαι Laur., ἡμέρας ὀλίγας g. 18) τ. τραγ.] τῷ τραγῳδιῶν Vat. 19) ἕτοιμος Vat. 20) προαγαγὼν Laur. 21) προσώπων Vat., προσωπείων cett.

69. ἀνεγνώσθη δόγμα] ἴσως ἄν τις ἀπορήσειε[1] περὶ τῶν μήπω ἀφικομένων δόγματος. οὐκ ἦσαν δὲ οἱ Ἕλληνες πάντες[2] σύμμαχοι αὐτῶν,[3] οὐδὲ γὰρ ἔπεμπον πρὸς αὐτοὺς πρεσβευομένους,[4] ἀλλά τινες πόλεις, ὧν σύνεδροι ἦσαν Ἀθήνησιν, οἳ ἐκφέρουσι τὸ δόγμα τοῦτο. ἦν γὰρ συνεδρία ἐν ταῖς προϊσταμέναις πόλεσι τῶν συμμάχων καὶ καθῆντο[5] παραδείγματος ἕνεκα δύο ἐκ Βοιωτίας ἢ[6] πλείους καὶ δύο ἐκ Πελοποννήσου καὶ κοινῇ γνώμῃ ἐπράττετο τὰ δέοντα. Vat. Laur. g.

ἀναγκαιοτέραν ἢ καλλίω] τὰ συγκριτικὰ ἀντὶ τῶν ἀπολελυμένων εἴληπται. ἀντὶ τοῦ ἀναγκαίαν καὶ[7] καλήν. Vat. Laur. g.

ἀπήντησαν — ἰασόμενοι] ἀντὶ τοῦ προκατέλαβον ἰασόμενοι. Vat. Laur. g.

70. τῆς τριμήνου] προθεσμίας ὑπακουστέον. B.

71. δόξαν] ἀντὶ τοῦ[8] δόκησιν, ὑπόληψιν. τὸ ἑξῆς οὕτως· ὡς ἔσται μὲν ἡ[9] εἰρήνη, ἔσται δὲ κοινῇ[10] — τὸ δὲ περὶ συμμαχίας[11] μεταξύ[12] — μετὰ δὲ[13] τῶν Ἑλλήνων ἁπάντων διὰ τὴν[14] τρίμηνον. Vat. Laur. g.

72. τὸ ῥῆμα] ῥῆμα ἐνταῦθα καλεῖ οἷον[15] τὴν ῥῆσιν αὐτὴν καὶ τὸ κῶλον, ὄνομα δὲ τὴν λέξιν, οἷον τὸ ἀπορρῆξαι. Vat. Laur. Fg.

ἐρήσεται] ἐρωτήσει, ἐρωτᾶν μέλλει. B.

73. καθεζόμενος — παρασκευῆς] τὸ κατάλληλον βουλευτὴς ὢν καθεζόμενος ἐκ παρασκευῆς τοῦτ' ἔστιν· ἐπίτηδες[16] εἰς τοῦτο καθίσας καὶ[17] ἐξ ἐνέδρας[18] ἐπὶ τὸ[19] κακουργῆσαι. Vat. Laur. g.

74. Φιλοκράτης] πάλιν τὸ αὐτὸ ἔγκλημα· τοῦ[20] γὰρ Φιλοκράτει γεγραμμένου[20] τὴν αἰτίαν Δημοσθένει περιτίθησιν. Vat. Laur. g.

παρεγγράψας] οἱονεὶ ὑποβαλών. F.

75. τίς ἦν] πάλιν κατὰ τοῦ αὐτοῦ.[21] Vat. Laur.

αὐτομολοῦσιν] οἱονεὶ τὰ τῶν πολεμίων φρονοῦσι καὶ μεταβάλλουσιν ἑαυτούς. Vat. Laur. Fg.

ἐπέδωκε] αὐτά, φησί, τὰ δημόσια γράμματα[22] ἐπέδωκε τῷ δήμῳ. Vat. Laur. Fg.

76. ἐνιαυτὸν] ἐπειδὴ οἱ βουλευταὶ οἱ πεντακόσιοι ἐνιαύσιοι ἦσαν. Vat. Laur. Fg.

εἰς προεδρίαν] ἀντὶ τοῦ εἰς[23] ἐπιφανῆ καὶ διάσημον ἐν τῷ θεάτρῳ τόπον.[24] Vat. Laur. g.

προσκεφάλαια] ἐπὶ τῶν βάθρων,[25] ἵνα μαλακῶς καθέζωνται,[26] τὰ καλούμενα[27] ὑπηρέσια. Vat. Laur. g.

φοινικίδας] οἱονεὶ πυρρὰ παλλία. Vat. Laur. Fg. ἢ[28] φοινικῆν[29]

1) τις ἀπορ.] τῆς ἀπορήσεως Vat. 2) πάντες ante σύμμ. pon. libri. 3) αὐτοῖς Laur. g. 4) πρεσβευόμενοι codd. 5) ἐκάθηντο g. 6) καὶ Vat. 7) καὶ g, ἢ cett. 8) ἀντὶ τ. om. Laur., ἤτοι g. 9) ἡ om. Laur. g. 10) ἔσται — κοινῇ om. g. 11) τῆς συμμ. Vat. 12) μεταξὺ om. Laur. g. 13) καὶ Vat., δὲ om. g. 14) τὸ Vat. 15) οἱονεὶ Vat. g. 16) εἰς om. Vat. Laur. 17) καὶ om. Laur. 18) ἐξενέδρας codd. 19) τῷ Laur. g. 20) τῶν — γεγραμμένων Laur. g. 21) τοῦ ἀ.] τοὺς αὐτοὺς Vat. 22) πράγματα Vat. Laur. g. 23) εἰς om. Vat. 24) τόπον ante ἐν τ. θεάτρῳ ponit g. 25) βαράθρων Vat. Laur. 26) καθίζωνται Laur. 27) καλοῦσιν Vat. 28) ἢ Laur. g, καὶ Vat. 29) φοινικῆν codd.

ἐσθῆτα τοῖς κεφαλαίοις ἐπέβαλε[1] καὶ περιεκάλυψεν αὐτά. Vat. Laur. g.

ἅμα τῇ ἡμέρᾳ] ἅμα ὄρθρῳ[2] πρὸ ἡλίου ἀνατολῆς ἦγεν αὐτούς, τιμὴν αὐτοῖς ταύτην[3] νέμων τὸ ἡγεῖσθαι αὐτοῖς τῆς ὁδοῦ. Vat. Laur. g.

ξεύγη ὀρικὰ] ἡμιόνων ὀχήματα τρία. Vat. Laur. g.

ἵνα δὲ —] μὴ παρέκβασιν ποιήσωμαι[4] μηδὲ τὰ ἔξωθεν τοῦ πράγματος λέγω.[5] Vat. Laur. g.

77. Χαριδήμου] οὗτός ἐστιν Ὠρείτης γένος, δημοποίητος Ἀθηναῖος, στρατηγὸς ὑπ' Ἀθηναίων ἠρημένος.[6] Vat. Laur. g.

ἑβδόμην δ' ἡμέραν] οὕτως οἱ Ἀττικοί· θέλει δὲ[7] εἰπεῖν ὅτι πρὸ ἓξ ἢ[8] ἑπτὰ ἡμερῶν. Vat. Laur. Fg.

τὰ νομιζόμενα] τὰ ἐπὶ τοῖς ἀποθανοῦσι νενομισμένα. Vat. Laur. g.

ἐβουθύτει] ὡς[9] χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ[10] Φίλιππος. Vat. Laur. Fg. ὁ[11] δημηγορῶν δὲ Ἀθήνησιν ἐστεφανοῦτο καὶ ὅτε ἐπαύετο, παρεδίδου θεάτρῳ καὶ ὁπότε εἴποι, ὀρθῶς ἐτιμᾶτο στέφεσθαι. ὁ δείλαιος δὲ ἀντὶ τοῦ ὁ κακοδαίμων, νῦν δὲ ἀντὶ τοῦ πονηρός. Vat. Laur. g.

78. ὁ γὰρ μισότεκνος —] ῥητορικοὶ συλλογισμοί. Vat. Laur. g.

79. φυγὰς — γεγένηται] εἰσαγγελθεὶς[12] ἐπὶ τῷ[13] ἀδικεῖν καὶ κριθεὶς καὶ καταδικασθεὶς φυγὰς ἐγένετο. οἱ γὰρ δοκοῦντες τὴν πόλιν ἀδικεῖν εἰσηγγέλλοντο ὑπὸ τῶν βουλομένων, καὶ ἔστιν ὄνομα δίκης ἡ εἰσαγγελία. Vat. Laur. g.

διαφερόντως] ἀντὶ τοῦ μετὰ σπουδῆς καὶ ἐξαιρέτως. Vat. Laur. g.

80. παραδόξως] παρὰ τὴν τῶν πολλῶν[14] ὑπόληψιν, ἀπροσδοκήτως ἢ ἀπίστως, παρὰ τὴν πάντων δόξαν. ἠλπίζετο γὰρ[15] σώσειν, ὁ δὲ ἀπώλεσεν. Vat. Laur. g.

81. διενεχθῆναι] περὶ ἀργυρίου καὶ δωροδοκίας εἰς ἀψυχίαν προελήλυθέναι. Vat. Laur. g.

μετὰ τῶν συμφύτων —] οὕτω τὸ ἑξῆς· μετὰ τῶν συμφύτων αὐτῷ[16] νοσημάτων, δειλίας, ζηλοτυπίας[17] ἤδη[18] τὰ μετὰ ταῦτα ἐβουλεύετο. Vat. Laur. g.

ὑπὲρ τῆς δωροδοκίας, ζηλοτυπίας] οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου, καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ[19] πλείονος πρὸς ἀλλήλους. Vat. Laur. Fg.

83. Ἀλόννησον] Ἀλόννησος νῆσός ἐστι τῶν[20] Ἀθηναίων. ταύτην ληστοὶ κατέλαβον· τούτους Φίλιππος ἀφελόμενος τὴν νῆσον[21] ἐδίδου τοῖς Ἀθηναίοις αὐτὴν δωρεᾶς μέρει δι' ἐπιστολῆς[22] γράψας.

1) ἐπέβαλλε Vat. Laur. 2) ὄρθρον Vat. 3) ταῦτα Laur. 4) ποιήσομαι Vat., ποιήσωμεν Laur. g. 5) λέγων Vat., λέγωμεν Laur. g. 6) εἰρημένος Vat. 7) θέλει δὲ] δέον F. 8) ὅτι — ἢ] πρὸ F. 9) ὡς om. g. 10) ὁ om. g. 11) οὗ g. 12) εἰσαγγελεῖς Vat. Laur. 13) τὸ Vat., τοῦ g. 14) πόλεων Vat. 15) γὰρ om. Vat. Laur. 16) αὐτῶν Vat. 17) ζηλοτυπ. καὶ δειλίας g. 18) ἤδη om. Vat. 19) τοῦ om. Laur. g. 20) τῶν om. Vat. 21) τ. νῆσον om. Vat. 22) ἐπιστολὴν Vat.

Δημοσθένης δὲ[1] *ἀντεῖπε μὴ λαμβάνειν αὐτὴν ἐν δωρεᾶς μέρει συμβουλεύων, ἀλλ' εἰ*[2] *ἀποδίδωσιν ὡς*[3] *αὐτῶν*[4] *οὐσίαν οὕτω λαμβάνειν.* Vat. Laur. g.

καὶ τὸ τελευταῖον —] *Ἀθηναῖοι*[5] *ἐπὶ Πυθοδότου ἄρχοντος τῷ β' ἔτει τῆς ρθ ὀλυμπιάδος*[6] *Φιλίππου βασιλεύοντος ἔτος ιη ὑποπτευομένης*[7] *λυθήσεσθαι τῆς*[8] *πρὸς Φίλιππον εἰρήνης*[8] *ἔπεμψαν πολλαχοῦ τῆς Ἑλλάδος πρεσβείας περὶ συμμαχίας καὶ εἰς Θετταλίαν καὶ Μαγνησίαν*[9] *τοὺς περὶ Ἀριστόδημον, ἀποστῆσαι αὐτοὺς βουλόμενοι ἀπὸ Φιλίππου. ἐγένοντο μὲν οὖν*[10] *αὐτοῖς τότε σύμμαχοι Ἀχαιοί,*[11] *Ἀρκάδες οἱ μετὰ*[12] *Μαντινέων,*[13] *Ἀργεῖοι, Μεγαλοπολῖται, Μεσσήνιοι. πόλεμος δ' αὐτοῖς ἐγένετο τότε πρὸς Καρδιανούς, οἷς ἐβοήθησε Φίλιππος.* Vat. Laur. g.

παρὰ τὰς τῆς εἰρήνης συνθήκας πρεσβεύσαντας[14]] *ἐπειδὴ*[15] *σύμμαχοι ἦσαν*[16] *Θετταλοὶ καὶ Μάγνητες Φιλίππου καὶ ἐγέγραπτο*[17] *ἐν ταῖς συνθήκαις μὴ ἀφιστάναι τοὺς ἀλλήλων συμμάχους. τεχνικῶς οὖν τὸ κατά τοῦ*[18] *δήμου ἔγκλημα. ὁ γὰρ δῆμος ἦν ὁ πέμψας τοὺς πρέσβεις καὶ στεφανώσας ἐπανήκοντας, αὐτὸς δ'*[19] *ἐπὶ τοὺς πρέσβεις καὶ Δημοσθένην μετήνεγκε φάσκων αὐτὸν ἐστεφανωκέναι αὐτοὺς ὡς αὐτοῦ γεγραφότος δηλονότι περὶ τοῦ στεφανωθῆναι τοὺς πρέσβεις ψήφισμα.* Vat. Laur. g.

85. *Μνησάρχου*] *ὁ Μνήσαρχος ἦν Χαλκιδεὺς ἀπ' Εὐβοίας τῶν ἐν τῇ Χαλκίδι διασήμων*[20] *ἀνδρῶν. οἱ δὲ Χαλκιδεῖς ὑπ' Ἀθηναίοις ὄντες ὕστερον ἀπέστησαν καὶ ἐστασίαζον πρὸς ἀλλήλους. ἦν δὲ τῆς ἑτέρας τῶν στάσεων ἡγεμὼν ὁ Μνήσαρχος καὶ κατὰ μὲν ἀρχὰς ἀντεδίκει τοῖς Ἀθηναίοις, ὕστερον δὲ αὐτοῖς*[21] *προσίετο καὶ καταγωνισάμενος*[22] *τοὺς ἀντιστασιώτας προσεποίησε τοῖς Ἀθηναίοις*[23] *τὴν Χαλκίδα. οἱ δ'*[24] *υἱοὶ αὐτοῦ, Καλλίας καὶ Ταυροσθένης, μετὰ Κηφισοφῶντος τοῦ στρατηγοῦ τῶν Ἀθηναίων δυνάμεως*[25] *στρατεύσαντες ἐπ' Ὠρεὸν Φιλιστίδην*[26] *τὸν τύραννον ἀπέκτειναν*[27] *ἐπὶ ἄρχοντος Ἀθήνησι Δεξίππου*[28] (immo *Νικομάχου*) *μηνὶ Σκιροφοριῶνι Φιλίππου βασιλεύοντος ἔτος ιθ.*[29] *φησὶ δὲ Δημοσθένην νῦν τολμᾶν γράφειν*[30] *ψηφίσματα Καλλίᾳ καὶ Ταυροσθένει, δηλονότι διὰ τὴν ἐπ' Ὠρεὸν μετ' Ἀθηναίων στρατείαν.*[31] Vat. Laur. g.

Ἀθηναίους εἶναι] *καὶ γὰρ τῇ ἀληθείᾳ πολίτας αὐτοὺς ἐποιήσαντο οἱ Ἀθηναῖοι διὰ τὸ τὴν Εὔβοιαν ποιήσασθαι ὑφ' ἑαυτούς.* F.

1) *δὲ* om. g. 2) *ἐὰν* libri, cf. textum. 3) *ὡς* om. Vat. Laur. 4) *αὐτὴν* Vat., *αὐτῶν* cett. 5) *Ἀθ.* om. g. 6) *ὀλυμπ.* om. Vat. 7) *ὑποποιούμενοι* Vat. 8) *τὴν—εἰρήνην* Vat. 9) *Μαγν.*] *καὶ Γανίδα* addunt Laur. g. 10) *οὖν* om. Laur. 11) *οἱ Ἀχαιοὶ* Vat., *σκαιοὶ* g. 12) *μετὰ* om. Vat. 13) *Μαντιναίων* g. 14) hoc lemma in textu scholii habent codd. (*πρεσβεύσασιν* g). 15) *δὲ* addit g. 16) *ἦκον* Vat. 17) *καὶ ἐγέγρ.*] *ἐγγέγραπτο* Vat. 18) *τοῦ* om. Vat. 19) *δ'* om. codd. 20) *ἀσήμων* Laur. g. 21) *αὐτοὺς* g. 22) *καταγωνίσας* Laur. g. 23) *Χαλκιδαίοις* g. 24) *δ'* om. Vat. 25) *δυνάμει* g. 26) *φιλιππίδην* Laur. g. 27) *ἐπέκτειναν* Vat. 28) *δεξίππου* (?) Vat., *ὡσίππου* (?) Laur. g. 29) *ἐννέα καὶ δέκατον* Laur. 30) *Δημ. — γράφειν*] *Δξ οὗς νῦν Ἀθηναίους τολμᾷ γράφειν* g. 31) *ψηφίσματα — στρατείαν* om. Laur. g.

Θεμίσωνος] *Θεμίσων*[1] *ἦν Ἐρετριέων τῶν*[2] *ἐν Εὐβοίᾳ τύραννος. οὗτος*[3] *Ἀθηναίων ἐχόντων Ὠρωπὸν καὶ εἰρήνης οὔσης*[4] *καὶ σπονδῶν*[5] *παρὰ τὰς συνθήκας καταλαμβάνει τὸν Ὠρωπόν. Ἀθηναῖοι δὲ ἐπιστρατεύσαντες ἐπολιόρκουν αὐτὸν ὄντα*[6] *ἐν Ὠρωπῷ. ὕστερον συνέβησαν*[7] *ἀμφότεροι καὶ αὐτοὶ καὶ ὁ τύραννος, ὥστε παρακαταθέσθαι Θηβαίοις τὸν Ὠρωπόν, ἕως ἂν περὶ αὐτοῦ διακριθῶσι. Θηβαῖοι*[8] *δ' ἐπὶ τούτοις λαβόντες*[9] *τὴν παρακαταθήκην ἀμφοτέρους ἀπεστέρησαν. ἐγένετο δὲ ταῦτα ἄρχοντος*[10] *Ἀθήνησι Πολυζήλου.*[11] *ἔστι δὲ Ὠρωπὸς πόλις κειμένη ἐν τῇ ἠπείρῳ ἐν μεθορίοις*[12] *τῆς Βοιωτίας καὶ τῆς Ἀττικῆς. Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν ἐνίκησάν τε αὐτοὺς καὶ ἐκβαλόντες*[13] *ἐκ τῆς νήσου ἠλευθέρωσαν τὴν Εὔβοιαν.* Vat. Laur. g.

ἀπέδοτε] *τοῖς Εὐβοεῦσιν* B.

86. *Πλουτάρχῳ*] *ο Πλούταρχος ἦν Ἐρετριέων τύραννος. τούτῳ Κλείταρχος φυγὰς ὢν*[14] *ἐξ Ἐρετρίας ἐπολέμει καὶ λαβὼν παρὰ Φαλαίκου*[15] *τοῦ Φωκέων τυράννου δύναμιν ἐστράτευσεν ἐπὶ τὸν Πλούταρχον. τῷ δὲ Πλουτάρχῳ Ἀθηναῖοι ἐβοήθησαν Φωκίωνος στρατηγοῦντος καὶ γιγνομένης ἐν Ταμύναις μάχης ἐνίκων Ἀθηναῖοι Ἐρετριεῖς.* Vat. Laur. g.

Ταμύνας] *Ταμύνη πόλις τῆς Εὐβοίας. Κοτύλαιον δὲ ὄρος ἐν Εὐβοίᾳ.*[16] Vat. Laur. g. *χωρίον Εὐβοίας.* F.

ὑπερεβάλλομεν] *ἀντὶ τοῦ παρηρχόμεθα.* F.

Καλλίας[17]] *οὗτός ἐστιν ο Καλλίας ὁ ποιήσας τὴν Εὔβοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους, μετὰ τὸ ἐξελαθῆναι ἐξ αὐτῆς τῆς Εὐβοίας τοὺς περὶ τὸν Φιλιστίδην καὶ τὸν*[18] *Κλείταρχον, ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν. διὸ καὶ κακῶς αὐτοῦ μέμνηται ὁ Αἰσχίνης.* Vat. Laur. Fg.

87. *προσγελῶν*] *οἱονεὶ*[19] *προσεταιριζόμενος, ὃν τρόπον φαμὲν προσσαίνων.*[20] Vat. Laur. g.

τοὺς Φωκικοὺς ξένους διαβιβάσας] *οἱονεὶ συναγαγών*[21] *τινας Φωκέων τῶν ἔτι σωζομένων πρὸς τὸ τυραννῆσαι τοὺς Εὐβοέας·*[22] *τοῦτο δὲ ἔξωθεν ἔλαβε πρὸς διαβολήν. διαβιβάσας δὲ οὐ λέγει τοὺς Φωκέας, ἀλλὰ τὸ στρατόπεδον ὃ συνήγειρεν.* Vat. Laur. Fg.

88. *οἱ στρατιῶται — ἐγένοντο*] *ἐπίτηδες αὐτοὺς ἐγκωμιάζει, ὅτι καὶ αὐτὸς μετ' αὐτῶν ἐστρατεύσατο.* Vat. Laur. g.

ἐκ παρατάξεως] *ἀντὶ τοῦ φανερῶς καὶ οὐ λάθρα.* F.

89. *συνάγων*] *ἵνα δῆθεν εἰς ἓν συνέρχηται*[23] *ἡ πᾶσα Εὔβοια καὶ ὑπακούῃ*[24] *τοῖς Ἀθηναίοις.* Vat. Laur. F.

1) *οὗτος* Laur. g. 2) *τῶν* om. Laur. g. 3) *ὃς* g. 4) *ἐχούσης* g. 5) *σπονδῆς* Vat. 6) *ὄντα* om. Vat. 7) *ὕστερ. συνέβ.*] *ὕστερον ἀνέβησαν* Laur. g, *εἶτα ὑπερανέβ.* Vat. 8) *Θηβαίοις* codd. 9) *λάμποντες* Vat. Laur. (*λαμβάνοντες*?). 10) *ἐπὶ ἄρχ.* g. 11) *πανζήλου* Laur. 12) *μεθορίῳ* Vat. 13) *ἐκβάλλοντες* Vat. 14) *ὢν* om. g. 15) *λαβὼν — Φαλαίκου*] *συμβὰν περὶ φυλακῆς* Vat. 16) *ἓν Εὐβ.*] *τῆς Εὐβοίας* Laur. g. 17) F habet hoc scholion ad v. *τοῦ Καλλίου* §. 85. 18) *τὸν* om. g. 19) *οἷον* Laur. g. 20) *προσεταίρων* Vat., *προσαινῶν* Laur. g. 21) *συνάγων* Vat. F. 22) *πρὸς — Εὐβ.*] *καὶ τυραννήσας τῆς Εὐβοίας* g, *προστυραννῆσαι τ. Ε.* F. 23) *συνεργεῖται* Laur. 24) *ἐπακούῃ* F.

ἐφ' ὑμᾶς] *ἀντὶ τοῦ καθ' ὑμῶν.* F.

90. *ὑπέβαλλεν*] *ἀντὶ τοῦ τοὺς*[1] *Θηβαίους ἐκολάκευεν.* Vat. Laur.

τοῦ Εὐρίπου] *θέλει δὲ ὥσπερ διὰ τούτου δηλῶσαι ὅτι ἐμιμήσατο διὰ τοῦ τρόπου*[2] *τὸ εὐμετάβλητον τοῦ Εὐρίπου, ὡς πλησίον αὐτοῦ οἰκῶν. ἔστι δὲ τὸ κῶλον χαριεντισμός. ἐπαινοῦσι δὲ τοῦτο τὸ κῶλον οἱ κριτικοί, λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι*[3] *καὶ οὐ κούφως.* Vat. Laur. F. *Ἄλλως. ὥσπερ πᾶς τόπος αὐχενειδὴς ἰσθμὸς καλεῖται, εἴτ' ἐν θαλάττῃ, εἴτ' ἐν γῇ ὑπάρχει, καλεῖται δὲ καὶ ὀνομαστικῶς ὁ ἐν Κορίνθῳ τῆς γῆς Ἰσθμός, οὕτω πᾶσα*[4] *θάλαττα εὐρεῖα εὔριπος, ὀνομαστικῶς δὲ ἡ παρὰ τῇ Εὐβοίᾳ αὐτὴ θάλαττα καλεῖται Εὔριπος. οὗτος δὲ ἑπτάκις τῆς ἡμέρας στρέφεται, καθάπερ ἄλλοι τε πολλοὶ καὶ Διονύσιος ὁ Χαλκιδεὺς* (fr. 8. Tom. IV p. 395 Müller.) *εἴρηκε. καλοῦσι δὲ παροιμιακῶς τοὺς τάχιστα μεταβαλλομένους τὴν γνώμην Εὐρίπους, παρ' ὃν ᾤκει δὲ εἶπεν, ἐπειδὴ Εὐβοεὺς ὁ Καλλίας. ὁ δὲ Εὔριπος ὁτὲ μὲν ἐπὶ τάδε ῥεῖ, ὁτὲ δὲ ἐξ ἐπιστροφῆς ἐπὶ τάδε καὶ πάσχει τοῦτο τῆς ἡμέρας ἑπτάκις. Ἄλλως. ἡ Εὔβοια νῆσος κατά τινα τόπον τῇ Βοιωτίᾳ ἔγγιστα κεῖται σφόδρα, ὥστε στενότατον εἶναι τὸν μεταξὺ διάπλουν. ὁ τόπος οὗτος καλεῖται Εὔριπος, ἐφ' οὗ δὴ κεῖσθαι δοκεῖ ἡ Χαλκίς. λέγεται δὲ ὁ Εὔριπος οὗτος μέγαν ἔχειν ῥοῦν καὶ*[5] *πολλὰς τρέπεσθαι τροπὰς μεταβάλλοντος ἀεὶ τοῦ ῥοῦ. λέγεται γοῦν τῆς ἡμέρας ἑπτάκις τρέπεσθαι καὶ τῆς νυκτὸς ἑπτάκις.* Laur,

εἰς μέσον πίπτει] *οὕτω λέγει ἐπὶ τῶν ἑκατέρωθεν μισουμένων, ὅτι μεταξὺ τῆς ἔχθρας τοῦδε καὶ τοῦδέ*[6] *εἰσιν.* Vat. Laur.

91. *τὸν δολιχοδρομήσαντα*] *εἶδός ἐστι δρόμου ὁ δόλιχος, ὡς ἐκ τῶν Πινδαρικῶν ἔστι μαθεῖν, ἴσως ἓν στάδιον ἐκτεταμένον εἰς τὸ*[7] *δραμεῖν.* Vat. Laur. F.

οὐδὲν γὰρ] *ἡ σύνταξις τοῦ κώλου ἐν ὑπερβατῷ οὕτως· οὐδὲν γὰρ ἦν ἐν μέσῳ, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἢ τεθνάναι, εἰ μνησθεὶς*[8] *ὁ δῆμος τῶν ἀδικημάτων αὐτοῦ μὴ προσδέξοιτο τὴν συμμαχίαν.* Vat. Laur. F.

ἐπ' αὐτὸν ἐπεστράτευον] *ἀντὶ τοῦ ἐπεστράτευον αὐτῷ.* Vat. Laur.

92. *ἔγραψε δ' ἐν*] *ἡ πᾶσα διάνοια τοιαύτη ἐστίν· ἔγραψε, φησί, βοηθεῖν ἡμᾶς τοῖς Χαλκιδεῦσιν. εἶτα ἵνα μὴ δόξῃ ἄτοπον λέγειν τὸ μόνον ἡμᾶς ἐκείνοις βοηθεῖν, μὴ μέντοι καὶ αὐτοὺς ἡμῖν, προσέθηκε δῆθεν εὐφημίας χάριν, ὥστε καὶ αὐτοὺς βοηθεῖν ἡμῖν κινδυνεύουσι, καὶ ἀντικατήλλαξε ῥῆμα ἔργῳ.* Vat. Laur. F.

ῥῆμα] *ῥήματα λέγουσι καὶ τοὺς ὅλους λόγους· τὸ γὰρ καὶ Χαλκιδέας βοηθεῖν Ἀθηναίοις ὅλον οὐκ ἔστι ῥῆμα, ἀλλὰ παρὰ τὴν ῥῆσιν τὸ ὅλον ῥῆμά φησιν. εὐφημίας δ' ἕνεκα τὸν Δημοσθένην προσθεῖναί φησιν τῷ ψηφίσματι*[9] *Χαλκιδέας βοηθεῖν, ἄν τις ἴῃ ἐπ' Ἀθηναίους, τούτῳ τῷ λόγῳ ἀντικαταλλαττόμενος τὴν πρὸς τοὺς*

1) *τοὺς* om. Vat. 2) *τόπου* F. 3) *ἀποφράζεσθαι* Laur. 4) *ταῦτα* Laur. 5) *καὶ* om. Laur. 6) *τοῦδε καὶ τοῦδε*] *καὶ τούτου* Vat. 7) *εἰς τὸ* om. F. 8) *εἰ μνησθεὶς* om. Vat. 9) *ψηφίσαντι* libri.

Χαλκιδέας[1] *βοήθειαν καὶ ἀντὶ τοῦ ἔργῳ ἐκείνοις ἐπικουρῆσαι λόγῳ γράψας καὶ ἐκείνους Ἀθηναίοις.* Vat. Laur.

93. *αἰσχίστας πράξεις*] *οἷον τὸ παραχωρῆσαι τοῖς Χαλκιδεῦσι τὸ συνεδρεύειν*[2] *καὶ τους φόρους.* Vat. Laur. F.

προσβιβάζων] *ἐπαναγκάζων,*[3] *βιαζόμενος ἢ διδάσκων. ὅτι ὁ διδασκόμενος προσάγεται κατανεῦσαι τῷ λεγομένῳ, φασὶ τὸ πείθειν προσβιβάζειν, ὁ δὲ μὴ πειθόμενος ἀφέστηκε καὶ οὐ προσελήλυθε τῷ δόγματι.*[4] Vat. Laur.

βοηθείας] *ὅτι δεῖ πρῶτον ἡμᾶς βοηθεῖν, εἶτα ἀπαιτεῖν κἀκείνους ἡμῖν*[5] *τὴν ἴσην εἰσφέρειν.* Vat. Laur.

συμμαχίας] *ὁ γὰρ Αἰσχίνης ἔλεγε μὴ βοηθεῖν δεῖν, ὃς*[6] *ἂν μὴ πρότερον ἡμῖν βεβοηθηκὼς ᾖ, ὁ δὲ Δημοσθένης πρὸς τὸ ἔνδοξον, ὅτι οὐ δεῖ παραιτεῖσθαι τὸ*[7] *συμμαχεῖν τοῖς μήπω συμμαχήσασιν,*[8] *ἀλλὰ καὶ τῷ εὐεργετεῖν*[9] *πρωτεύειν.* Vat. Laur.

94. *ἀνέστησαν*] *ἀντὶ τοῦ μετέστησαν.* F.

95. *σύνταγμα*] *οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα*[10] *καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Μενάνδρῳ ἀνέγνωμεν τὸ σύνταγμα τῆς ἀρχῆς. τὸ δὲ λεγόμενον περὶ βιβλίου παρά τινων*[11] *οὐ λέγεται σύνταγμα παρὰ τοῖς ἀρχαίοις*[12] *ἀλλὰ μᾶλλον σύγγραμμα.* Vat. Laur. F.

97. *πλήρωμα*] *οἷον εἰς τροφὴν καὶ*[13] *ναύτας.* Vat. Laur. F.

98. *πανσέληνον*] *οἷον ἐν λ΄*[14] *ἡμέραις*[15] *ἀπὸ πανσελήνου εἰς πανσέληνον ἢ ἐν πανσελήνῳ ἥκειν, οἷα δήπου εἰκὸς ὡς*[17] *οἰώνισμα*[17] *τοῦτο ἀγαθὸν ποιουμένων.*[18] Vat. Laur.

99. *κλέπτων*] *ἀντὶ τοῦ ἀπατῶν ὑμᾶς διὰ τῶν πιθανῶν τούτων λόγων ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα.* Vat. Laur. F.

παραλογιζόμενος] *τὴν ἀκοήν.* Vat. Laur.

100. *ἀπαγαγὼν*] *οἷς εἶπε, φησί, μεγάλοις οὖσιν οὐκ εἴασεν ὑμᾶς συνείσεσθαι, ὅτι ἐπὶ μισθῷ ταῦτα ἐψεύδετο.* Vat. Laur.

συστρέψας] *ἀντὶ τοῦ πάλιν στραφεὶς εἰς τὰ πρῶτα. λέγει δὲ εἰς τὰ κατὰ Καλλίαν*[19] *καὶ Εὔβοιαν.* Vat. Laur.

Καλλίᾳ] *οὐχ ὡς τοῦτο*[20] *Δημοσθένους γράψαντος ἀλλ' ὁ*[21] *Αἰσχίνης φησὶν ὡς τοῦτο*[22] *δυναμένου τοῦ ψηφίσματος.* Vat. Laur.

οἵτινες δεήσονται] *τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥστε συμμαχῆσαι αὐτοὺς ἡμῖν. ὁ δὲ ἐπάγει*[23] *παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ τῷ*[24] *Καλλίᾳ.* Vat. Laur. F.

103. *Κλειτάρχου*] *ἐπὶ ἄρχοντος Νικομάχου Φιλίππου*[25] *βασιλεύοντος ἔτος*[26] *εἰκοστὸν*[27] *Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν*

1) *χαλκιδεῖς* Laur. 2) *συνέδριον* Laur. 3) *ὑπ' ἀναγκαίων* Vat. 4) *σώματι* Vat. 5) *ἡμῖν* addit Laur. 6) *ὡς* Laur. 7) *τοῦ* codd. 8) *τοῖς — συμμ.*] *τοῖς μὴ ὅπως συμμαχήσασιν* Laur. 9) *τῷ εὐεργ.*] *τῷ ἐν ἔργῳ* Vat., *τὸ εὐεργετεῖν* Laur. 10) *τῆς ἀρχῆς* addit Vat. 11) *τινος* Vat. 12) *παρὰ τ. ἀρχ.* Sauppius coni. pro *τοῦδε τοῦ ἀρχαίου*, quae verba om. Laur. 13) *εἰς* Vat. F. 14) *λ* Vat., *τριάκοντα* Laur. 15) *ἡμέρ.* addidi de coni. 16) *ὡς* om. Vat. 17) *οἰωνισμοῦ* Laur. 18) *ποιουμένῳ* Laur. 19) *σικελίαν* libri. 20) *τοῦ* Laur. 21) *ὁ* add. Laur. 22) *τούτου* Laur. 23) *ὑπάγει* Vat. 24) *τῷ* om. Laur. 25) *Φιλίππου* addidi de coni. 26) *ἔτος* add. de coni. 27) *κ.* Laur.

Φωκίωνος στρατηγοῦντος τόν τε τύραννον τῶν Ἐρετριέων Κλείταρχον ἀπέκτειναν καὶ τὴν πόλιν τοῖς Ἐρετριεῦσι παρέδωκαν καὶ δημοκρατίαν κατέστησαν. Vat. Laur.

δημοκρατουμένων] *ὅτι ἐδημοκρατεῖτο, καὶ φανερῶς ἔλαβε τὰ χρήματα ὁ Δημοσθένης. ἡ γὰρ Ἐρέτρια καὶ ἡ Χαλκὶς ὡς τυραννούμεναι λάθρα αὐτῷ παρέσχον.* Vat. Laur. F.

ἐν τῷ πολέμῳ] *τῷ πρὸς Φίλιππον.* F.

104. *χαλκοῦ οὐδὲν*] *ἀττικῶς ἀντὶ τοῦ οὐδενὸς χαλκοῦ· χαλκοῦ δέ· τῆς χαλκῆς εἰκόνος.* Vat. Laur.

Καλλίου] *ὡς αὐτοῦ ἐγγυησαμένου.* Vat. Laur.

ὑπέθεσαν] *ἀντὶ τοῦ ὑποθήκην ἔδωκαν τὰς προσόδους τῆς πόλεως τοῦ ταλάντου.*[1] Vat. Laur. *οὐχ ἵνα λάβῃ αὐτὰς*[2] *καὶ ἀναλώσῃ, ἀλλ' ἵνα σχῇ αὐτὸς*[3] *ὑποθήκην, ἕως οὗ λάβῃ τάλαντον.* Vat. Laur. F.

τῆς μνᾶς] *ἀντὶ τοῦ καθ' ἑκάστην μνᾶν. οὐκοῦν ξ' μνᾶς*[4] *εἶχε τὸ τάλαντον.*[5] Vat. Laur. F.

105. *αἰσχύνη*] *τοῦτό φησιν Ἀψίνης ἐπίζευξιν εἶναι, ἐπειδὴ ἑνικῷ*[6] *ὀνόματι πολλὰ ἐπιφέρει ὀνόματα. εἰπὼν γὰρ τοῦτο τὰ ψήφισμα ἐπήγαγεν·*[7] *αἰσχύνη, ἔλεγχος, κατηγορία.*[8] Vat. Laur.

106. *ἀπώλεσε*] *διότι ἐν αὐτῷ ἡττήθησαν ἐν Χαιρωνείᾳ.* Vat. Laur. F.

οὐδαμῶς ἴσην] *διότι οὐκ ἐποίησε Θηβαίους ἐξ ἴσου τῶν Ἀθηναίων ἀναλῶσαι, ἀλλὰ τοὺς μὲν Ἀθηναίους τὸ δίμοιρον, τὸ δὲ ἄλλο τρίτον τοὺς Θηβαίους, ὡς ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου.* Vat. Laur. F.

107. *τὸ Κιρραῖον — πεδίον*] *Κίρρα πόλις τῆς Φωκίδος, παρ' ἧς Κιρραῖον ὀνομαζόμενον ἱερὸν τοῦ θεοῦ, ἐπάρατον καλούμενον. ἦν γὰρ ἀνειμένον τῷ θεῷ ἀργόν, ἀρὰς ποιησαμένων τῶν Ἀμφικτυόνων κατὰ τῶν ἐργαζομένων ποτὲ τὸ πεδίον τοῦτο. παρ' αὐτῷ δὲ καὶ λιμὴν ὁ καλούμενος ἐπάρατος καὶ ἐξάγιστος.* Vat. Laur.

ἐξάγιστος] *ὁ ἄγαν ἅγιος ἢ ὁ ἅγιος ὥσπερ ἐξάρατος παρὰ τὸ ἀραῖος. τὸ γὰρ ἅγος*[9] *δασυνόμενον μὲν τὴν ἁγνείαν σημαίνει, ψιλούμενον δὲ τὸ μῖσος. ἐξάγιστος οὖν εἶπεν ὡς ἐν θαυμαστῷ.*[10] *ἔστι γὰρ ἱερὸν τῶν θεῶν.* Vat. Laur.

Κιρραῖοι] *Κιρραῖοι καὶ Κραγαλλίδαι*[11] *ἔθνη Φωκικά.*[12] Vat. Laur.

ἐξημάρτανον] *γυναῖκας γὰρ ἥρπαζον καὶ ἐλήστευον.*[13] Vat. Laur.

μαντείαν ἐμαντεύσατο[14]] *ἀττικισμός ἐστιν ὡς τὸ ἀποδρὰς ᾤχετο.* Vat. Laur.

108. *ἀναιρεῖ*] *χρησμῳδεῖ, δίδωσι χρησμόν· Πυθία δὲ ἡ πρόμαντις ἡ ἐν Δελφοῖς.* Vat. Laur.

1) *τὸ τάλαντον* codd. 2) *αὐτὰ* F. 3) *αὐτὸ* Laur. 4) *ξ' δραχμὰς* Vat. F, *ἑξήκοντα δραχμὰς* Laur. 5) *ἔχει δὲ ξ' μνᾶς* addit F post *τάλαντον*. 6) *ἓν κῷ* Vat. 7) *ἐπήγαγεν* om. Laur. 8) *κατήγορος* Vat. Laur. 9) *τὸ γὰρ ἅγος* om. Vat. 10) *θαυμασμῷ* Laur. 11) *Ἀκραγαλλ.* Vat., ut in textu, *Κιρρ. κ. Ἀκραγ.* om. Laur. 12) *Φωκίδα* Vat. 13) hoc scholion habet g in textu, hm in mg. In F sine lemmate ad §. 106 refertur. 14) Hoc scholion est in F sine lemmate.

πάντ' ἤματα] τοῦτο ἐκ τοῦ χρησμοῦ. συγκαταπέπλεκται δὲ τῷ μέτρῳ διαλύσαντος τοῦ ῥήτορος τὸ μέτρον.[1] Vat. Laur.

ἀναθεῖναι] ἀνιερῶσαι. λέγει δὲ τὴν γῆν αὐτῶν.[2] πρὸς γὰρ τοῦτο ὑπήντησεν, ἀλλ' οὐχὶ πρὸς τοὺς ἄνδρας. Vat. Laur. F.

Ἀθηνᾷ Προνοίᾳ] καὶ[3] Αἰσχίνης καὶ Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος (α΄ §. 34)[4] ἡμαρτήκασι γράψαντες τὴν ἐν Δελφοῖς Ἀθηνᾶν Πρόνοιαν. τὸ δὲ ἁμάρτημα διὰ περιήχησιν ἐντόπιον ἱστορίας. τῆς γὰρ Ἀττικῆς ἐν δήμῳ τινὶ πεποίηται ἱερὸν Ἀθηνᾶς Προνοίας, Πυθοῖ δὲ ἀπὸ τοῦ πρὸ τοῦ[5] νεὼ ἱδρῦσθαι ... ταύτης μέμνηται Ἡρόδοτος ἐν τῇ πρώτῃ (c. 92)·[6] τὸ δὲ Προνοίας[7] Ὑπερίδης ἐν Δηλιακῷ[8] (fr. 71) συνιστορεῖ[9] ὅτι ἐν τῇ Ἀττικῇ ἐστιν. Vat. Laur.

ἐπὶ πάσῃ ἀεργίᾳ] ἐπὶ τῷ μηδένα[10] τὴν χώραν ἐκείνην κατεργάζεσθαι. Vat. Laur.

ἐψηφίσαντο] ἔοικε διὰ τοῦτο τὸ ψήφισμα κἀκεῖνο εἰπεῖν· μάλιστα μὲν, ὡς λέγεται,[11] οἱ ὑμέτεροι πρόγονοι. Vat. Laur.

110. ὅρκον] τὸν καλούμενον προστρόπαιον,[12] ὅπερ ἐστὶ κατάρατον οἱονεὶ κακοδαίμονα εὔξαντο γενέσθαι τὸν παραβαίνοντα. Vat. Laur.

ἀρὰν[13]] οἱονεὶ κατάραν ἀπὸ τοῦ εἰς αὐτὸν καταρᾶσθαι τὸν ὀμνύοντα τραπῆναι τὴν ἐπιορκίαν, εἰ μὴ τόδε ποιήσει, ὅπερ ὤμοσε. καὶ περὶ τούτου δὲ ἤδη ἔγνωμεν ἐν οἷς[14] ἔλεγε (or. 2. §. 158) τὸν προστρόπαιον.[15] Laur. F.

111. βοσκήματα] οἷον μὴ γεννᾶσθαι πρόβατα ἐκ προβάτων ὁλόκληρα. Vat. Laur.

ἀγορῶν] ἤτοι περισπαστέον, ἵν' ᾖ καὶ λόγου καὶ δικῶν·[16] ἡ γὰρ ἀγορὰ λόγος, ἤτοι κατὰ τὸν πληθυντικόν· τὰς ἀγορὰς δικῶν ἀθροίσασιν[17] καὶ δικῶν λόγους ποιησαμένοις.[18] ἔσται οὖν ἐπαρώμενος δίκας γενέσθαι ἐν τῇ πόλει· ὅπου γὰρ πλεῖσται δίκαι, ἐνταῦθα πλεῖσται ἀδικίαι· ἡ γὰρ δίκη ἐπ' ἀδικίας[19] ἐστίν. Vat. Laur.

ὁσίως] καθαρῶς, νομίμως, εὐσεβῶς. Vat. Laur.

δέξαιντο] μὴ ἵλεω γένοιντο αὐτοῖς οἱ θεοὶ μηδὲ ἡδέως αὐτῶν τὰ θύματα παραδέξαιντο. Vat. Laur.

Μαντεία] ὁ χρησμὸς τοῦτο ἔλεγεν, ὅτι τότε νικήσετε, ἐπειδὰν τὸ τέμενος ἐπικλύσῃ ἡ θάλασσα. ἀπεῖχε σταδίους ἑπτά. Vat. Laur.

113. Λοκροὶ οἱ Ἀμφισσεῖς] πόλις τῆς Λοκρίδος Ἄμφισσα. Vat. Laur.

1) τῷ μέτρῳ Laur. 2) αὐτὴν Vat. 3) καὶ om. Vat. 4) ἀριστοκράτους codd. 5) πρὸ τοῦ add. de coni. cf. Harpocr. s. v. Προναία. 6) „ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η΄ (c. 37) Προνηΐην ὀνομάζει." Harpocrat. cf. Suid. s. v. 7) τὸ δὲ πρόνοιαν Vat., τῆς δὲ Προνοίας Laur. 8) ἐν Δηλ. de coni., ἐν ᾗ Laur., haec verba om. Vat. 9) συνίστας Vat., συνιστὰς Laur. 10) μὴ διὰ codd. 11) λέγοντες Vat., λέγονται Laur. 12) πρὸς τὸν τρόπαιον Vat. 13) Ἄλλως Laur. 14) ἔγνωμεν ἐν οἷς om. Laur. 15) Laur., qui hoc schol. cum antecedente coniungit, haec ex illo addit: τοῦτον δὲ ἤδη ἔλεγεν τὸν προστρόπαιον οἱονεὶ κακοδαίμονα εὔξαντο γενέσθαι τῷ παραβάντι. 16) ἵν' ᾖ — δικῶν om. Vat. 17) ἀθροίσασιν de coni., ἀθροίσας libri. 18) ποιησαμένοις add. de coni., 19) ἀδικία Laur.

μᾶλλον δὲ] *ἐπειδὴ δῆμον κατὰ δήμου παροξύνειν οὐχ οἷός τε ἦν, διωρθώσατο, τοὺς γὰρ δυνατοὺς ὁ δῆμος μισεῖ.* Vat. Laur.

ἐτείχισαν] *οὐχ ὅτι τεῖχος περιεβάλλοντο,*[1] *ἀλλ' ὅτι ἐμπόριον ἔκτισαν καὶ οἰκήματα τοῖς καταίρουσιν.* Vat. Laur.

ἐξέλεγον] *ἀντὶ τοῦ ἀπῄτουν, ὡς καὶ ἐν τῷ κατὰ Τιμοκράτους* (§. 40. p. 713, 4), *τοὺς ἐκλέγοντας τὰ τέλη.* Vat. Laur. F.

πυλαγόρων] *πυλαγόραι ἦσαν οἱ*[2] *ἐξ ἑκάστης πόλεως τῶν μετεχουσῶν τῆς ἀμφικτυονίας πεμπόμενοι εἰς τὸ συνέδριον τὸ τῶν Ἀμφικτυόνων, τὴν ψῆφον ἕκαστος τῆς πόλεως ἔχων εἰς τὸ τὴν*[3] *γνώμην ἀποφήνασθαι. πυλαγόραι δ' ἐκαλοῦντο, ἐπειδὴ ἐν Πύλαις, ἥ ἐστι πόλις πρὸς Δελφοῖς, συνηθροίζοντο· ἐκεῖ γὰρ ἦν τὸ βουλευτήριον τῶν Ἀμφικτυόνων. ἔπεμπον δὲ καὶ ἱερομνημονα, τὸν θύσοντα ὑπὲρ τῆς πόλεως οὕτω καλούμενον. ἔπεμπον δὲ οἱ Ἀθηναῖοι ἱερομνήμονα μὲν*[4] *ἕνα, πυλαγόρας δὲ τρεῖς.*[5] Vat. Laur.

114. *χειροτονηθεὶς*] *τέσσαρες ἐχειροτονοῦντο ἀφ' ἑκάστης πόλεως, εἷς μὲν ἱερομνήμων καὶ ἀμφικτυὼν καλούμενος, ὃς ὑπὲρ τῆς πατρίδος ἔφερε τὴν ψῆφον, τρεῖς δὲ πυλαγόραι, οἵτινες ὑπὲρ τῆς πόλεως ἔλεγον, εἴ τι συμβαίη*[6] *ἢ πρὸς ἐγκλήματα ἀπολογούμενοι ἢ ἑτέροις ἐγκαλοῦντες.* Vat. Laur.

ὅτου ἂν προσάψηται] *οἷον*[7] *δ' ἂν ἅψηται πράγματος, ὡς δυσοιώνιστος ἀπώλεσεν*[8] *αὐτό. ἅψηται δὲ λέγει ἀντὶ τοῦ ἐθελήσῃ αὐτοῦ προστῆναι*[9] *καὶ ὑπὲρ*[10] *αὐτοῦ εἰπεῖν.* Vat. Laur. F.

115. *Μειδίαν*] *τὸν δόντα Δημοσθένει τοὺς κονδύλους.* Vat. Laur. F.

116. *ὑποπεπτωκότες*[11]] *οἱονεὶ κολακεύοντες.* Vat. Laur. F.

πρὸς τὸν καινὸν νεὼν] *οὐ λέγει ὅτι δύο ναοὶ ἦσαν*[12] *ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν ἐμπρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτυόνες. πρὶν δὲ ἐξεργάσθαι*[13] *φησὶν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον πᾶν τῆς οἰκοδομίας. λέγουσι δ' ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων, ὁ βασιλεὺς Ῥωμαίων, ἐπλήρωσεν αὐτόν, ἐκεῖσε παραγενόμενος.* Vat. Laur. F.

ἐξειργάσθαι[14]] *γρ. ἐξαρᾶσθαι, τουτέστι πρὶν τὰς ἀρὰς ἐπιτελέσαι, ἃς ἐν ταῖς ἱδρύσεσι τῶν νεῶν εἰώθεσαν ποιήσασθαι.* B.

ἐξαράσασθαι] *ἀντὶ τοῦ πρὶν καθαρθῆναι ἅμα τῷ νικῆσαι τοὺς πολεμίους ἔτι μεμολυσμένους τῷ αἵματι, πρὶν τὰ ἐνθύματα θῦσαι.* Vat. Laur.

καὶ αὐτὸν οὕτω προῃρημένον] *τοῦτο κεκρικότα ποιῆσαι, ἃ ἐκεῖνος ἠξίου παρὰ τὸ Ὁμηρικόν* (Il. Θ, 294)·

τί με σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις; Vat. Laur.

1) *τεῖχος περ.*] *τείχει προσεβάλλοντο* Vat. 2) *οἱ* om. Vat. 3) *τὸ τὴν*] *τὴν* Vat., *τὸ* Laur. 4) *μὲν* om. Vat. 5) *πυλ. δὲ τρεῖς* om. Laur. 6) *συμβαίνοι* Laur. 7) *ἡ προστροπὴ οἱονεὶ ἡ κατάρα. διότι οἷον* codd. (in F relatum ad vv. *ὅθεν μᾶλλον*). 8) *ἀπώλεσεν* Vat. Laur., *ἀπόλλυσιν* F. 9) *προσστῆναι* F. 10) *καὶ ὑπὲρ* om. Vat. 11) Vat. F referunt hoc schol. ad v. *συνεκάθηντο* §. 115. 12) *ναοὶ ἦσαν*] *ἦσαν ναοὶ* F. 13) *ἐξεργάσασθαι* F. 14) *ἐξειργάσθαι* est lectio plurimorum librorum pro *ἐξαράσασθαι*.

117. μεθεστηκότων] ἤτοι[1] μεταστάντων τοῦ εἰπεῖν ἢ ἤδη ἐξεληλυθότων ἐκ τῆς ἐκκλησίας. Vat. Laur. οἱονεὶ ἐκστάντων τοῦ δημηγορεῖν. F.

118. Φωκέων] Φωκεῖς ἥρπασαν τὰ ἐν τῷ ἱερῷ χρήματα· Ἀθηναῖοι δὲ αὐτῶν σύμμαχοι· οὐκοῦν καὶ κοινωνοὶ τοῦ πταίσματος.[2] Vat. Laur.

ὁ Κρωβύλος] Ἡγήσιππον λέγει. οὗτος γὰρ ἐπεκαλεῖτο Κρωβύλος. τοῦτο δέ φησιν ὡς γράψαντος αὐτοῦ Ἀθηναίους[3] συμμαχεῖν Φωκεῦσιν οὖσι τότε διαφόροις Θηβαίοις καί τισιν Ἀμφικτυόνων. Vat. Laur.

δυσχερῆ] ἄτοπα, οὐ προσήκοντα. Laur.

παρωξύνθην] ἐπεὶ πρᾶον βίον εἶχε, βούλεται δεῖξαι ἑαυτὸν γενναίως ἀντιλέγοντα, ἵνα μὴ ἀπιστοῖτο λέγων.[4] παρωξύνθην, φησί, ὡς οὐδεπώποτε, ἀντὶ τοῦ· τί θαυμάζεις, ἄνθρωπε; ἐθαύμασα κἀγὼ παρὰ τὴν συνήθειαν ὀργισθείς. Vat. Laur.

119. κεραμεῖα] εἰς τὴν μει ὁ τόνος. ἔστι γὰρ[5] κτητικόν, ἀντὶ τοῦ[6] οἰκίαι τινὲς ἔνθα κεραμεῖς εἰργάζοντο κεράμους. Vat. Laur. F. ἢ ἐκ κεράμου τοὺς τοίχους[7] ἔχοντα ἢ κεραμίσιν[8] εἰργασμένα. Vat. Laur.

αὔλια] ἐπαύλεις. Laur.

τέλη πεπραχότας] ἀντὶ τοῦ μισθώσαντας τὰ τέλη τοῦ λιμένος. Vat. Laur. F.

ἀφοσιῶ] οἱονεὶ ἀπολογοῦμαι τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως καὶ εἰς τὸ ὅσιον ἄγω τὴν πόλιν, ἀπολύων αὐτὴν τῆς θεῶν[9] ὀργῆς. Vat. Laur. Ἄλλως. οἱονεὶ καθαρὰν ποιῶ καὶ ἄμεμπτον διὰ τὸν ὅρκον τὸν περιέχοντα, ὥστε μὴ περιιδεῖν τοὺς ἐργαζομένους αὐτήν, τὴν ἱερὰν γῆν. Laur. F.

τὰ κανᾶ] ἑορτὴν παρ' Ἀθηναίοις, ἐν ᾗ αἱ παρθένοι ἱερά τινα Δήμητρος ἐν κανοῖς ἤγουν ἐν κανισκίοις ἐβάσταζον ἐπὶ κεφαλῆς· ὅθεν κανηφόροι κέκληνται. B. οἱονεὶ εὐτρεπῆ ἤδη εἰσὶ τὰ κανίσκια τὰ πρὸς θυσίας. Vat. Laur. F. ἀντὶ τοῦ τὰ θύματα ἡτοίμασται τοῖς θεοῖς καὶ ἐπιτέθειται[10] τὰ οὖλα καὶ θυμιάματα ἢ ἕτοιμά[11] ἐστι τὰ κανᾶ προσενηνεγμένα τοῖς βωμοῖς οἷον παρέστηκεν εἰς τὸ ἐνάρξασθαι ἀπ'[12] αὐτῶν. πάντες δὲ κοινῇ οἱ Ἀμφικτυόνες χίλια πρόβατα ἱέρευον[13] τῷ θεῷ. Vat. Laur.

122. ἐπὶ δίετες ἡβῶσι] ἐπὶ δίετες ἡβῆσαι Δίδυμος λέγει τοὺς ἑκκαίδεκα ἔτη γενομένους. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρωνκαίδεκα ἐτῶν ἐστιν. ἔφηβοι δὲ παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. B. ὅσοις[14] μετὰ τὸ ἀνδρωθῆναι, τοῦτ' ἔστιν ἡβῆσαι, δύο ἔτη παρελήλυθεν. Vat. Laur.

1) ἤτου om. Vat. 2) πλήσματος Vat. 3) Ἀθήνησιν codd. 4) ἀπιστοῖτο λέγων] ἀπιστῆ τὸ λέγειν Laur. 5) εἰς την — γὰρ om. Vat. Laur. 6) ἀντὶ τοῦ Vat. Laur., οἷον F. 7) τοὺς τοίχους] τὰ τείχη Vat. 8) κεραμῆσιν Vat. 9) θεῶν Vat., θείας Laur. 10) ἐπιτέθειται de coni., ἐπιτέθυται libri. 11) ἐν ἑτοίμῳ Laur. 12) ἐπ' Vat. 13) ἔσφαττον Laur. 14) ὅσοι codd.

Ἄλλως. πολλάκις ἔγνωμεν ὅτι ἀπὸ ὀκτωκαίδεκα ἐτῶν ἐνεγράφοντο εἰς τὸ ληξιαρχικὸν οἱ Ἀθηναῖοι, καὶ ἐφύλαττον δύο ἔτη τὰ πλησίον τῆς πόλεως, καὶ ἀπὸ εἴκοσιν ἐτῶν ἐξήρχοντο εἰς τοὺς ὑπερορίους πολέμους. οὐκοῦν τοὺς ἀπὸ ὀκτωκαίδεκα ἕως εἴκοσιν ἐτῶν ἡβῶντας λέγει, κοινὸν ποιῶν τὸν λόγον ἐπὶ πάντων τῶν[1] *Ἑλλήνων.* Laur. F (ex Harpocratione v. *ἐπιδίετες*).

ἅμα τῇ ἡμέρᾳ] *ἄὔριον.* Laur.

124. *Κόττυφος*] *Κόττυφος ἡγεμὼν τῶν Ἀμφικτυόνων· ἦν δὲ Φαρσάλιος· Φάρσαλος δὲ ἐστὶ Θετταλίας.* Vat. Laur.

χρωμένους] *οἱονεὶ ὑπηρετοῦντας.* Vat. Laur. F. *τὰς μαντείας αἰτοῦντας*[2] *τὰς*[3] *παρὰ τοῦ θεοῦ ἢ τοὺς ἰδιώτας ἂν λέγοι,*[4] *ὅσοι παρετύγχανον ὄντες ἐν τῷ*[5] *ἱερῷ.* Vat. Laur.

ψηφίζονται] *οἱ Ἀμφικτυόνες.* Vat. Laur. F.

πρὸ τῆς ἐπιούσης Πυλαίας] *οἷον πρὸ μηνὸς τῆς Πυλαίας τῆς ἐξῆς. ἔγνωμεν γὰρ ἐν τοῖς Δημοσθενικοῖς ὅτι δὶς*[6] *συνήεσαν, ἅπαξ ἐν τῷ ἔαρι καὶ ἅπαξ ἐν τῷ φθινοπώρῳ.* Vat. Laur. F. *Πυλαία ἐκαλεῖτο ἡ εἰς Πύλας*[7] *ἄφιξις*[8] *τῶν Ἀμφικτυόνων. δύο δὲ ἑκάστου ἔτους ἐγίγνοντο σύνοδοι, ἀρχομένου ἦρος καὶ θέρους λήγοντος.* Vat. Laur.

τὸ ψήφισμα] *οἷον τῶν Πυλαγόρων. ἔστι δὲ παραγραφικὸν ἀπὸ χρόνου· καὶ πῶς, εἴπερ διετάραξα τότε*[9] *τὰ Ἑλληνικὰ συμβουλεύσας περὶ τῶν Λοκρῶν, μηδεὶς τῶν πολιτῶν μοι ἀντεῖπε τότε;* Vat. Laur. F.

125. *εὐσεβεῖν*] *οἷον ἀμύνειν τῷ θεῷ.* Vat. Laur.

ὑπὲρ τοῦ μεσεγγυήματος] *ἕνεκεν τῶν χρημάτων ὧν ὑπέσχοντο αὐτῷ παρασχεῖν, ἐὰν σώσῃ αὐτοὺς δι' Ἀθηναίων, καὶ ἐν μέσῳ δεδώκασι ταῦτα τὰ χρήματα, ἵνα, ἐὰν ποιήσῃ, λάβῃ αὐτά.* Vat. Laur. F. *Ἄλλως. ἀντὶ*[10] *τοῦ ἐν μεσιτείᾳ τεθέντος τοῦ ἀργυρίου.* Laur.

μεταστησάμενοι] *οἱονεὶ ἐκβαλών· ἵνα διαφθείρῃ τοὺς βουλευτάς.* Vat. Laur. F.

126. *προσλαβὼν*[11]] *οἱονεὶ πείσας*[12] *τινὰ εὐήθη βουλευτὴν γράψαι τοῦτο*[13] *τὸ ψήφισμα.* Vat. Laur. F.

τὸ δ' αὐτὸ τοῦτο] *ὃν*[14] *τρόπον ἠπάτησε τὸν βουλευτὴν καὶ τὴν ἐκκλησίαν εἰς τὸ ἐπιχειροτονῆσαι παρελογήσατο.* Vat. Laur.

ἤδη ἐπαναστάσης] *ἀντέπιπτε· καὶ διὰ τί ἐν τῇ ἐκκλησίᾳ παρὼν οὐκ ἀντέλεγες;*[15] *ὁ δέ φησιν, ὅτι ἔμελλεν ἡ ἐκκλησία ἀνίστασθαι.* Vat. Laur. *ὅ ἐστιν ἐγγὺς τοῦ ἀναστῆναι.* F.

διαφειμένων[16]] *οἱονεὶ διαλυθέντων καὶ ἀναχωρησάντων, ὡς καὶ Δημοσθένης φησί "τῆς βουλῆς δὲ ἀφειμένης" ἐν τῷ κατὰ Τιμοκράτους* (§. 26. p. 708). Vat. Laur. F.

127. *μετέχειν*] *δοκεῖ σολοικοφανὲς εἶναι. οὐδεὶς γὰρ λέγει πρὸς*

1) *τῶν* om. F. 2) *αἰτοῦντες* libri. 3) *τὰς* om. Laur. 4) *λέγη* Laur. 5) *ὄντες ἐν τῷ*] *ὄντες ἐν* Vat., *τῷ* Laur. 6) *δὶς* Bekker. pro *δεύτερον*. 7) *τὴν πύλην* Vat., *τὴν πυλαίαν* Laur. 8) *ἀνάφιξις* codd. 9) *διέπραξα τότε*] *διεπράξατο τε* Laur. 10) *ἀντὶ* om. Laur. 11) *ἀπειρίαν* F. 12) *ἔπεισας* F. 13) *τοῦτο* om. Vat. 14) *δὲ* post *ὃν* add. Vat. 15) *ἀντέλεγεν* Vat. 16) *δὲ ἀφειμένων* lectio multorum librorum in textu.

δοτικὴν μετέχω σοι, εἰ μὴ ἄρα[1] *πρὸς τὴν ἀντίλεξιν νοήσομεν τὸ κῶλον, οἷον πρὸς τὸ κοινωνεῖν.* Vat. Laur. F. *Ἄλλως. καὶ διὰ τί* [οὐκ] *ἀπῆσαν, εἴγε ὡς λίθοι ἔμελλον καθεδεῖσθαι.*[2] *φαμὲν οὖν ὅτι, εἰ μέν τι ἦν ἐγκαλούμενον, ἀπελογοῦντο, ἄνευ δὲ τούτου ἡσύχαζον.* Laur.

τὸ ἀληθὲς ἐρῶ] *ἀντὶ τοῦ τὸ*[3] *ἥδιστον οὐκ ἐᾷ Δημοσθένης, ἵνα τὸ ἀληθὲς εἴπω.* Vat. Laur.

128. *μιᾶς πόλεως*] *τὴν Θηβαίων πόλιν λέγει· κατεσκάπτετο*[4] *γὰρ ὑπ' Ἀλεξάνδρου.* Vat. Laur. *Θήβης, ἣν ἤδη κατέσκαψεν Ἀλέξανδρος.* B.

τὸν Φαρσάλιον] *τοῦτον Δημοσθένης* (de cor. §. 155. p. 279) *Ἀρκάδα φησὶν κακῶς· τὴν γὰρ ἡγεμονίαν Θετταλοὶ*[5] *εἶχον.* Vat. Laur.

129. *ἐν ῥητῷ χρόνῳ*] *ὡς ἂν εἰ ἔλεγεν· οὐκ εὐθύς, ἀλλὰ προθεσμίαν τινὰ αὐτοῖς δόντες, ὅπερ ἦν πάλιν φιλανθρώπως αὐτοῖς χρήσασθαι.* Vat. Laur. F.

130. *φυλάξασθαι*] *ἐξελθεῖν εἰς Χαιρώνειαν.* Vat. Laur. F.

τοῖς μυστηρίοις] *μυστήρια δεῖ νοεῖν τὰ Κόρης καὶ Δήμητρος. ἡ δὲ τῶν μυστῶν τελευτὴ*[6] *ἐπεξήγησίς ἐστι τοῦ προειρημένου. λέγει δὲ*[7] *ἐκεῖνο τὸ τέρας, ὅτε κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασαν ἕνα αὐτῶν τὸ κῆτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς, οἱ δὲ λέγουσιν ὅτι δύο κατέφαγεν.*[8] Vat. Laur. F.

Ἀμεινιάδης] *οὗτος*[9] *μάντις ἦν Ἀθηναῖος.* Vat. Laur.

131. *ἀθύτων καὶ ἀναλλιερήτων*] *ἐκ παραλλήλου.* Vat. Laur. F.

πρόδηλον κίνδυνον] *τὴν ἐν Χαιρωνείᾳ.* Laur.

κρατουμένων] *τρεῖς μάχαι ἐγένοντο καὶ τὰς μὲν δύο ἐνίκων Ἀθηναῖοι· τῇ δὲ τρίτῃ οὐ γενομένων καλῶς*[10] *τῶν ἱερῶν συμβάλλοντες ἡττήθησαν.*[11] Vat. Laur.

ὑπερωρίσθαι] *πεφυγαδεῦσθαι ὑπὲρ τοὺς ὅρους.*[12] Vat. Laur.

132. *τοιγάρτοι*] *καταδρομὴ μετὰ πνευμάτων συχνῶν.* Vat. Laur.

ἀλλ' εἰς παραδοξολογίαν[13] —] *οἷον ὅτι*[14] *οἱ Ἀθηναῖοι, τοσαῦτα διαπραξάμενοι καὶ*[15] *πρὸς τὸν Πέρσην καὶ ἄλλους πολλούς, ὑπὸ Φιλίππου οὕτως ἡττήθησαν, ὥστε μὴ δυνηθῆναι ἀναλαβεῖν ἑαυτοὺς λοιπὸν ἔτι καὶ ἀνανῆψαι.*[16] Vat. Laur. F.

καὶ τοὺς αὐτοὺς —] *εἴη ἂν τοὺς Μακεδόνας ταύτῃ*[17] *λέγων. τῆς τε γὰρ δόξης τοῦ*[18] *δεσπόται εἶναι, ὡς*[19] *Πέρσης, καὶ τῆς ἐπ' αὐτοὺς*[20] *ἡγεμονίας*[21] *ἠξίωνται,*[22] *τὸ ἐν Δελφοῖς ἱερὸν ἐλευθερώσαντες.* Vat. Laur.

133. *Θῆβαι*] *παθητικὸς ὁ τῆς ἀναδιπλώσεως τρόπος. τὸ δὲ τοιοῦτον οὐκ ἔστι σολοικισμός, ἀλλὰ σχῆμα· Θῆβαι ἀνήρπασται.* Vat. Laur.

1) In F compendio scriptum. 2) *καθεδεῖσθαι* vel *καθεύδεσθαι* Laur. 3) *ἀντὶ τοῦ τό*] *αὐτὸ* Vat., *οὐ τὸ* Laur. 4) *κατέσκαπτον* libri. 5) *Θετταλῶν* Laur. 6) *τελετὴ* Laur. 7) *δὲ δι'* F. 8) *δύο κατέφ.*] *διακατέφυγεν* Laur. 9) *οὗτος* om. Laur. Laur. 11) *συμβάλλοντες ἡττ.*] *συμβάλλονται ἡττηθέντες* Vat. 12) *ὑπὲρ τ. ὅρους*] *ὑπὲρ τ. ὅρκους* Vat., *ὑπὸ τοὺς ὅρους* Laur. 13) Hoc scholion ad verba: *ἡ δ' ἡμετέρα* §. 134 refert F. 14) *ἐστὶν* Laur. 15) *καὶ* om. Laur. 16) *ἀνῆψαι* Vat. 17) *τοῦτο* Vat. 18) *τῆς* Vat. 19) *ὁ* Vat. 20) *αὐτῶν* Laur. 21) *τῆς — ἡγ.*] *τὴν — ἡγεμονίαν* Vat. 22) *ἀξιοῦντες* Vat.

μεθ' ἡμέραν μίαν] ἀντὶ τοῦ ἐν ἡμέρᾳ μιᾷ.[1] Vat. Laur. F.

Λακεδαιμόνιοι] Λακεδαιμόνιοι περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς προσπολεμήσαντες τοῖς Μακεδόσι καὶ Κορράγῳ ὕστατα καὶ θαυμαστῶς διαγωνισάμενοι[2] ἐλήφθησαν. ἦν δὲ ὁ στρατηγὸς Ἀλεξάνδρου Κόρραγος. ἐπέμφθησαν[3] οὖν αὐτῶν[4] ὅμηροι[5] εἰς Μακεδονίαν καὶ οὗτοι ἦκον[6] ὡς τὸν βασιλέα πεισόμενοι,[7] ὅτι ἂν ἐκείνῳ δοκῇ.[8] καίτοι τὸ πρῶτον ἐνίκων τὸν Κόρραγον. Vat. Laur.

ὁμηρεύσοντες] ὁμήρους λέγουσι παῖδας καὶ γυναῖκας, ἃς ἀντιδιδόασιν οἱ διαπολεμοῦντες[9] ἀλλήλοις. Vat. Laur.

μέλλουσιν — ἀναπέμπεσθαι] εἰς τὴν Ἀσίαν ἐκπέμπεσθαι πρὸς Ἀλέξανδρον οἱ Λακεδαιμονίων[10] ὅμηροι. Vat. Laur.

137. Φρυνώνδας] οὗτος ἐπὶ πονηρίᾳ διαβεβοημένος ὑπῆρξεν. ὅθεν Ἀριστοφάνης (fr. 92) πού φησιν·

ὦ μιαρὲ καὶ Φρυνώνδα καὶ πονηρέ.

Εὐρύβατοι δύο ἐγένοντο ἄμφω πονηροί, ἄπιστοι, πανοῦργοι. B. ὁ μὲν Εὐρύβατος Λυδός, ὁ δὲ Φρυνώνδας Ἀθηναῖος. ἑκάτερος δὲ ἐπὶ πονηρίᾳ διεβάλλετο. Vat. Laur. F.

ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες] διαστέλλουσι θεοὺς δαιμόνων. οἴονται γὰρ τοὺς ἀποθανόντας, τετυχηκότας δὲ[11] θείας τιμῆς, δαίμονας εἶναι, ὀνομασθέντας, ὅτι ἐδάησαν καὶ ἐκάησαν, οἱ μέντοι πλείους τοὺς αὐτοὺς θεοὺς καὶ δαίμονας, ὥσπερ Ὅμηρος. ὁ δὲ Αἰσχίνης κεχώρικε.[12] Ἄλλως. δαίμονάς φησι τὰς ἀγαθὰς ψυχὰς τῶν ἀνθρώπων, ὡς καὶ Ἡσίοδός φησιν. Vat. Laur.

138. Θρασύβουλος] οὗτος διάσημος στρατηγὸς ἐν Ἑλλησπόντῳ καὶ ἄλλοις τόποις πολλοῖς, ἡγεμὼν τῆς ναυτικῆς δυνάμεως γενόμενος ἐν τοῖς ἐπάνω χρόνοις μετὰ τὰ Λευκτρικά. Vat. Laur. οὗτος στρατηγός. Vat.

Θράσων] οὗτος Θηβαίων πρόξενος ἦν· εἰσὶ δὲ πρόξενοι οἱ ἐν ταῖς ἑαυτῶν πατρίσιν[13] ἄλλων προνοοῦντες πόλεων. Vat. Laur.

139. Λεωδάμας] ῥήτωρ διάσημος. Vat. Laur.

Ἀρχέδημος] ῥήτωρ καὶ οὗτος. Vat. Laur.

ὁ Πήληξ] ἀπὸ δήμου. Laur. F.

Ἀριστοφῶν] δημαγωγὸς διάσημος. Vat. Laur.

ὁ Ἀζηνιεὺς] Ἀζηνία δῆμος φυλῆς Ἱπποθοωντίδος. B.

Πύρρανδρος] ῥήτωρ καὶ οὗτος. Vat. Laur.

ὁ Ἀναφλύστιος] ἐκ φυλῆς Ἀντιοχίδος. B.

ἔτι καὶ νῦν] ἐκ παραλλήλου. Vat. Laur. F.

τὸ δ' αἴτιον] θέλει εἰπεῖν, ἐπειδὴ ἀεὶ μηδίζουσιν ἢ φιλιππίζουσιν. Vat. Laur. F.

142. Βοιωτοῖς τοῖς ἐν Θήβαις] οὐκ εἶπε βοηθεῖν Θηβαίοις, ἀλλ' ἵνα λάθῃ, τῇ[14] περιφράσει[15] ἐχρήσατο. Vat. Laur.

ὡς τοὺς Βοιωτούς] σχῆμά ἐστι κατ' ἀντίπτωσιν, οὕτως· ὡς τῶν

1) μιᾷ om. F. 2) διαγωνιζόμενοι Vat. 3) ἐπέμφθη libri. 4) αὐτῷ Vat. 5) ὅμηρος Vat., ὅμηρα Laur. 6) οὗτοι ἦκον] οὕτως ἦκεν Vat. 7) πεισόμενοι add. de coni., om. libri. Vd. textum. 8) δοκεῖ Laur. 9) οἱ διαπ.] ἰδία πολεμ. Vat. 10) Μακεδόνων codd., ut saepius. 11) δὲ om. Laur. 12) κεχώρηκε codd. 13) πρᾶσιν Laur. 14) τῇ om. Laur. 15) παραφράσει Vat.

Βοιωτῶν, τῶν[1] *ἐν τοῖς ἔργοις ἀδικουμένων, ἀγαπησόντων*[2] *τῶν ονομάτων τὴν σύνθεσιν, καὶ οὐχὶ γινωσκόντων ὅτι πανούργως ἔγραψεν, ὥστε ἀδικηθῆναι αὐτούς. οὐ*[3] *γὰρ εἶπε*[4] *Βοιωτοῖς μόνον, τῷ κοινῷ γένει, ἀλλὰ Βοιωτοῖς τοῖς ἐν Θήβαις.* Vat. Laur. F.

143. *παρὰ τὸν γενόμενον πόλεμον*] *ἀντὶ τοῦ παραγινομένου.*[5] Vat. Laur.

144. *εἰ χρὴ*] *πάλιν ῥητορικὸν τὸ σχῆμα, ἀντὶ τοῦ*[6] *ὥσπερ χρή. οὐ γὰρ ὡς*[7] *ἀμφίβολον λέγει.* Vat. Laur. F.

145. *Δεύτερον*] *δεῖ νοῆσαι τὸ δεύτερον ἐνταῦθα ἀντὶ τοῦ μετὰ ταῦτα, οἱονεὶ μετὰ τὸ γενέσθαι τὰ τρία τὰ προειρημένα. μετήνεγκε δὲ εἰς Θήβας, φησί,*[8] *καθὸ αὐτοῖς παρέδωκε τὴν ἡγεμονίαν, ὡς εἶπεν ἀνωτέρω.* Vat. Laur. F.

τὴν Καδμείαν] *ἡ ἀκρόπολις τῶν Θηβαίων Καδμεία καλεῖται.* Vat. Laur.

πρεσβεύσειν — δοκῇ] *ἰστέον ὅτι ἄλλως τοῦτο εἰρηκότος τοῦ Δημοσθένους ὁ Αἰσχίνης ἐπὶ τὸ βιαιότερον ἐξήγαγεν. ὁ γὰρ Δημοσθένης εἶπε λάθρα ὑμῶν πρεσβεύων, ἵνα μὴ μαθὼν Φίλιππος πέμψῃ καὶ αὐτὸς πρέσβεις τοὺς απαντήσοντας ἐκείνους.* Vat. Laur. F.[9] *Ἄλλως. ὁ Δημοσθένης τοῦτο ἔλεγεν, ἵνα μὴ Φίλιππος μαθὼν*[10] *ὅτι πρέσβεις πέμπομεν πέμψῃ τοὺς ἀντεροῦντας*[11] *καὶ ἀντιπρεσβευσομένους· βούλομαι λάθρα ὑμῶν πρεσβεῦσαι. κακοήθης οὖν ὁ Αἰσχίνης.* Vat. Laur.

146. *διαδικασίαν*] *κυρίως μὲν ἡ δίκη ἡ περὶ χρημάτων ἢ περὶ κτημάτων*[12] *λέγεται διαδικασία. καταχρηστικῶς δὲ ἐνταῦθα δηλοῖ τὴν δοκιμασίαν.* Vat. Laur. F. *γράφειν δὲ ἀντὶ τοῦ ποιεῖσθαι.* F. *Ἄλλως. διαδικασία, ὅταν τις ἐπιτηδειότατον ἑαυτὸν ἀποδεικνύειν λέγῃ. ὁ οὖν Δημοσθένης, φησίν, εἰς τοῦτο ἠλαζονεύετο πρὸς τὸν στρατηγόν, ὥστε λέγειν τῷ βήματι πρὸς τὸν στρατηγὸν ἀγωνιεῖσθαι διαδικασίαν, ὡς κρεῖττον ἐπιδείξων τὸ βῆμα*[13] *τοῦ στρατηγίου διὰ τὰς ἑαυτοῦ δημηγορίας, ὥστε ἀποφαίνεσθαι ἑαυτὸν τῶν στρατηγῶν κρείττονα.* Laur.

μισθοφορῶν] *μισθὸν δεχόμενος ἐκ τῆς πόλεως ὑπὲρ τοῦ μισθώσασθαι ξένους καὶ διαδοῦναι αὐτοῖς χρήματα.* Vat. Laur. F. *Ἄλλως. μισθὸν λαμβάνων εἰς ξένους στρατιώτας κενῶν*[14] *χωρῶν αἰτῶν ἀργύριον· εἰώθασι γὰρ οἱ τριήραρχοι αἰτεῖν κατὰ*[15] *τρῆμα μισθὸν τοῦ ναύτου· ὅταν οὖν λάβωσιν, ἀποφράττουσι τὰ τρήματα. Ἀριστοφάνης* (Pac. v. 1234)· *ἵνα μὴ*[16] *ἁλῶ, τὰ τρήματα*[17] *κλέπτων τῆς νεώς· μισθοφορεῖν δ' ἐστὶ τοὺς μισθοὺς λαμβάνειν.* Laur.

καὶ τοὺς μυρίους] *τὸ ἀκόλουθον οὕτως· καὶ τοὺς μυρίους ξένους*

1) *τῶν* om Laur. 2) *ἀγαπησόντων* Sauppius pro *ἀγαπησάντων*. 3) *οὐδὲ* F. 4) *εἶπε* om. Laur. 5) Pergunt libri: *τὸν παραγενόμενον κίνδυνον μὴ κύριον εἶναι τὸν στρατηγὸν περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας βουλεύσασθαι*, quae vv. e textu huc fluxisse videntur. 6) *ἀντὶ τοῦ* om. Vat. Laur. 7) *ὡς* om. Vat. Laur. 8) *φησὶ* om. Vat. Laur. 9) In F hoc scholion refertur ad verba *αὐτῷ δυναστείαν κατεσκεύασεν*, Bekkerus v. *ἀπεκρύψατο* §. 141 apposuit. 10) *πέμψῃ καὶ αὐτὸς — Φίλιππος μαθὼν* om. Vat. 11) *ἀνταιροῦντας* Vat. 12) *ἢ π. κτημ.* om. Vat. Laur. 13) *τὸ β.*] *τῷ βήματι* Laur. 14) *ἐκαινῶν* Laur. 15) *κατὰ* de coni., *καὶ* Laur. cf. schol. Aristoph. pac. v. 1232. 16) *μή γ'* Aristophan. l.l. 17) *τὰ τρήματα*] *τρύπημα* Aristoph. l. l.

ἐκμισθώσας Ἀμφισσεῦσι προσέμιξε φέρων τῇ πόλει ἀπαρασκεύῳ τὸν[1] *κίνδυνον. εἶτα ἡ αἰτία ἐν μέσῳ· ἁναρπασθέντων τῶν ξένων, περὶ ὧν ὁ*[2] *λόγος, δι' αὐτὸν ἀπὸ τῆς πόλεως καὶ προσχωρησάντων τοῖς Ἀμφισσεῦσιν.* Vat. Laur. F. *Ἄλλως. εἰσεφέρετο ξενικὸν Ἀθήναζε μυρίων*[3] *ἀνδρῶν, συνεβούλευσε δὲ Δημοσθένης ἐκμισθῶσαι Ἀμφισσεῦσι πολεμουμένοις. ἁμαρτάνειν οὖν φησιν αὐτὸν τοῦ πολέμου ἀφελόμενον τὸ ξενικόν.* Laur.

148. *οὐδ' ἀγνοοῦντος*] *τὸ ὑπέρβατον· οὐδ' ἀγνοοῦντος ὅτι περὶ τῶν ὑπαρχόντων.* Vat. Laur.

ὅτι περὶ τῶν ὑπαρχόντων —] *ἀληθῶν.*[4] F.

150. *Κλεοφῶντος*] *οὗτός ἐστι ὁ λυροποιὸς*[5] *ἐπικαλούμενος. ἐδημαγώγησε δὲ τὰ ἔσχατα τοῦ Πελοποννησιακοῦ πολέμου μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν. ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ τυραννικώτερος ἐφαίνετο. τοῦτον οὖν, φησί, μιμεῖται Δημοσθένης τυραννῶν καὶ αὐθαδιζόμενος.* Vat. Laur. *Ἄλλως. νικήσαντος Ἀλκιβιάδου τοὺς Λακεδαιμονίους ἐβουλήθησαν Ἀθηναῖοι εἰρήνην ποιήσασθαι· Κλεοφῶν δὲ οὐκ εἶα, ἀλλ' ἔφη· εἴ τις εἰρήνης γεννητὴς ἔσται,*[6] *τῇ μαχαίρᾳ τεμεῖν αὐτοῦ τὴν κεφαλήν.* Laur.

ἀνέστρεψαν] *ἀντὶ τοῦ ὑποστρέψαι ἐποίησαν.* Vat. Laur. F.

151. *γράφειν ἔφη ψήφισμα*] *ἀντὶ τοῦ κατὰ Φιλίππου.* F.

152. *ἔνθα δὴ*] *ταῦτα δεῖται ὑποκρίσεως καὶ φωνῆς ἐπιτεταμένης.*[7] Vat. Laur.

ἀθύτων] *οὔτε ἱερείων*[8] *ποιηθέντων*[9] *οὔτε θυμάτων ἱερῶν. καλοῦσι δὲ ἱερὰ τὰ σημεῖα, ἃ ἔτι καὶ*[10] *νῦν λέγομεν· καλὰ τὰ ἱερὰ τῷ θυσαμένῳ.*[11] Vat. Laur.

ἀκαλλιερήτων] *ἱερὰ μέν ἐστι τὰ ἑκάστῳ θεῷ ἀποδεδειγμένα ἐν τοῖς*[11] *κύρβεσι· θύματα δὲ τὰ λοιπὰ βοσκήματα. τὸ οὖν ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν σημείων φησί.* Vat. Laur.

ἐτόλμησε] *ἐκ τούτου*[12] *μάλιστα κατάδηλόν ἐστιν ὅτι γνήσιος ἦν Δημοσθένους λόγος ὁ ἐπιτάφιος, ὃν εἶπεν ἐπὶ τοῖς ἐν Χαιρωνείᾳ τελευτήσασιν.* Vat. Laur.

μνήμη] *τὸ μεμνῆσθαι ὡς ὅτι τοσούτων συμφορῶν αἴτιος*[13] *ἐγένετο.* Vat. Laur. F.

153. *νομίσαθ' ὁρᾶν*] *τοῦτο καλεῖται εἰδωλοποιία.* Vat. Laur.

μετὰ ταῦτα] *δοκεῖ ἐνταῦθα δηλοῦν ὅτι ὁ στεφανούμενος πρὸ τοῦ ἀγωνίσασθαι τοὺς τραγῳδοὺς ἐστεφανοῦτο.* Vat. Laur. F. *μετὰ γὰρ τὸν στέφανον ἠγωνίζοντο.* Vat. Laur.

154. *ἐκεῖνό γε*] *ἀττικῶς εἶπε, δέον εἰπεῖν ἀναμνησθεὶς ἐκεῖνου,*[14] *ὡς καὶ παρὰ τῷ ποιητῇ κεῖται ἐκεῖνο* (Il. 1. 527)·

μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε. Vat. Laur. F.

1) *ἀπαρ. τὸν*] *ἀπαρασκεύστον* F. 2) *ὁ* om. Laur. F. 3) *Ἀθήναζε μυρίων* de coni., *Ἀθήνησιν* Laur. (in syllaba *ιν* numerus mercenariorum latere videtur). 4) *ἀλῇ* F. 5) *μρ . . ποιὸς* Vat., *μελο* (?) *ποιὸς* Laur. 6) *εἰρήνης γενν. ἔσται*] *εἰρήνη γενηθήσεται* liber. 7) *ἀνατεταμένης* Laur. 8) *ἱερεῖα* Laur. 9) *ποιηθέντων* de coni., *ποιησάντων* libri. 10) *ἔτι καὶ*] *καὶ ἔτι καὶ* Vat., *καὶ ἔτι* Laur. 11) *τῷ θυσαμένῳ* Laur., *τῶν θυσάντων* Vat. 11) *ταῖς* Laur. 12) *ἐκ τ.*] *ἐν τούτῳ* Vat. 13) *αἴτιος* om. Vat. 14) *ἐκεῖνο* Laur.

προστάταις] ἀντὶ τοῦ τοῖς ῥήτορσιν. F.

νεανίσκους] ἀντὶ τοῦ ἄνδρας γιγνομένους. Vat. Laur.

μέχρι μὲν ἥβης] ἕως εἰς ἄνδρας ἐγγραφῶσι. Vat. Laur.

ἐπὶ τὰ ἑαυτῶν] οἰκήματα. F.

εἰς προεδρίαν] εἰς τὴν τοῦ θεάτρου προεδρίαν. προεδρίαν γὰρ εἶχον ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ θεάτρῳ. Vat. Laur. δηλονότι ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα θεωρήσωσιν ἔν τινι τόπῳ τιμίῳ ἐν τῷ θεάτρῳ τοὺς τραγῳδοὺς καὶ τὰ ἄλλα. ἀντιστρόφως δὲ νοητέον, καλεῖ εἰς προεδρίαν καὶ οἴκαδε κελεύει[1] οὕτως ἀναχωρεῖν. Vat. Laur. F.

156. μὴ τρόπαιον ἵστατε] τοῦτο τὸ σχῆμα καλεῖται ὑποφωνητικόν. Vat. Laur.

ἀφ' ὑμῶν] οἷον ὡς ὅτι περιεγένετο ὑμῶν ὁ Δημοσθένης. Vat. Laur. F. τὸ δὲ ἀφ' ὑμῶν ἀντὶ τοῦ καθ' ὑμᾶς. Vat. Laur.

αἱρεῖτε] ἀντὶ τοῦ χειρωθῆναι ποιεῖτε, ὡς καὶ παρὰ τῷ ποιητῇ (Il. II, 37)·

φῇ γὰρ ὅγ' αἱρήσειν. Vat. Laur. F.

τὸ βασιλικὸν χρυσίον] ὃ δέδωκε Δαρεῖος ὁ νεώτερος Δημοσθένει ὑπὲρ τοῦ πεῖσαι Θηβαίους, ἀνελόντας τὴν φρουράν, ἣν κατέλειψε κατ' αὐτῶν ὁ Φίλιππος, ἀποστῆναι ἀπ'[2] Ἀλεξάνδρου, ἵνα δῆθεν ὀργισθεὶς ἐπιστρατεύσῃ κατ' αὐτῶν, καὶ μετενέγκῃ ἑαυτὸν ἀπὸ τοῦ πρὸς αὐτὸν πολέμου ἐπὶ Θηβαίους. Vat. Laur. F. Ἄλλως. μαθὼν βασιλεὺς μέλλειν[3] κατ' αὐτοῦ[4] στρατεύειν Ἀλέξανδρον[5] πέμπει χρήματα Δημοσθένει, ἵνα αὐτὸν ἀσχολήσῃ περὶ τὴν Ἑλλάδα. τότε ὁ ῥήτωρ πείθει Θηβαίους καταφρονήσαντας τῆς ἐν τῇ Καδμείᾳ τοῦ Ἀλεξάνδρου φρουρᾶς ἀποστῆναι· ἀποστάντων δὲ μαθὼν Ἀλέξανδρος στρατεύσας κατ' αὐτῶν ἐπόρθησε τὰς Θήβας πλὴν τῆς Πινδάρου οἰκίας. Vat. Laur.

157. νομίσατε] ὑποτύπωσις, δι' ἧς οἰκτρὸν θέαμα ἁλισκομένης πόλεως πρὸ ὀφθαλμῶν παρίστησιν. ταὐτὸ ποιεῖ Ὅμηρος Ἰλιάδος ι΄. B.

ὀψὲ μεταμανθάνοντας] ἀντὶ τοῦ διδασκομένους[6] τῆς μὲν ἐλευθερίας ἐξίστασθαι, δουλεύειν δὲ ἑτοίμως καὶ ῥαδίως, αὐτὸ τοῦτο μανθάνοντας δουλεύειν. Laur.

ἐπισκήπτοντας] προστάττοντας. Laur.

τὸν δαίμονα —] τοῦτο ἐν τοῖς περὶ Χαιρώνειαν γέγονε, ὅτε, ὡς φησι Πυθέας,[7] ἤττης γενομένης ἔφυγε ῥίψας τὰ ὅπλα. οὐδὲ τὸ ἐπίγραμμα, φησί, τῆς ἀσπίδος αἰσχυνθείς· ἐπεγέγραπτο γὰρ χρυσοῖς γράμμασιν· ἀγαθῇ τύχῃ. Laur.

158. ἄκων] ἀπὸ ἀπειρίας λέγει ἢ ἀτυχίας. F.

159. καταγαγούσης] ὡς ἂν εἰ ἔλεγε· κατελθὼν δ' ὕστερον ἀπροσδοκήτως. οὐδὲ γὰρ προσεδόκα ζῆν τοιαῦτα εἰργασμένος[8] εἰς τὴν πόλιν, ἀλλ' ἀπολέσθαι παρ' ὑμῖν, ἐρεθίσας ὑμᾶς ἐπὶ ἀκαίρους πολέμους. Laur. F.

ὑπότρομος] μετὰ τὴν Θηβαίων κατασκαφὴν ἐξήτησεν Ἀλέξανδρος τοὺς ῥήτορας. ὁ δὲ δῆμος ἔπεμψε Δημάδην παραιτησόμενον αὐτούς. ὁ δὲ τοῦτο εἰπὼν ἔπεισεν, ὅτι εἴασεν[9] αὐτοὺς Ἀθήνησι ῥητορικῷ θανάτῳ ἀποθανεῖν. Laur.

1) κελεύειν καὶ Laur. 2) ἀπ' om. F. 3) ὅτι μέλλει Laur. 4) αὐτὸν Vat. 5) Ἀλέξανδρος Laur. 6) διδασκόμενοι liber. 7) cf. Plut. Dem. c. 20. 8) εἰργασμένον F. 9) ἔασεν liber.

τοὺς μὲν πρώτους χρόνους] *μετὰ τὴν φυγὴν τὴν ἐν Χαιρωνείᾳ καὶ κάθοδον.* Laur. F.

Ναυσικλεῖ] *ὅπως τὸ ἐκείνου ὄνομα ἀντὶ τοῦ Δημοσθένους τάττοιτο. ἀντὶ δὲ τοῦ Δημοσθένους εἶπεν οὗτος.*[1] *τοιοῦτον δὲ γίνεται ἐπὶ τῶν μισουμένων ἐν ταῖς πόλεσιν.* Laur.

160. *ἱερὰ* —] *Ἀλέξανδρος ὁ Θετταλὸς*[2] *ὁ Κλεοπάτρας τῆς Φιλίππου ἀνὴρ καὶ Παυσανίας Περδίκκα τοῦ Φιλίππου ὑπάρχοντες ἐζηλοτύπουν ἀλλήλοις καὶ δήποτε ὁ Ἀλέξανδρος προσποιησάμενος φιλοφρονεῖσθαι καλεῖ εἰς ἄριστον τὸν Παυσανίαν καὶ αὐτός τε αὐτῷ ἐχρήσατο καὶ τῶν ἱππικόμων τινές.*[3] *ὁ δὲ Παυσανίας ἀνήνεγκεν ἐς Φίλιππον, ἐπεὶ δὲ ἀμελοῦντα ἑώρα, μᾶλλον δὲ μὴ βουλόμενον λυπεῖν τὸν Ἀλέξανδρον, φυλάξας θύοντα ξίφει ἀνεῖλεν αὐτόν.* Laur.

εἰς αἰτίαν] *οἱονεὶ κατηγορίαν,*[4] *ἐπειδὴ ἡ βουλή, ἀναπεισθεῖσα παρ' αὐτοῦ, ἔθυσε θεοῖς, χάριν ὁμολογοῦσα ὑπὲρ τοῦ Φιλίππου θανάτου. ἕνεκα τούτου Ἀθηναίοις ὕστερον ἐπιστέλλων Ἀλέξανδρος οὕτως ἔγραψεν "Ἀλέξανδρος τῷ μὲν δήμῳ χαίρειν, τῇ δὲ βουλῇ οὐδέν.*[5] Laur. F. *ἡ σύνταξις δέ· εἰς αἰτίαν δὲ τὴν βουλὴν κατέστησεν ὑπὲρ τῆς θυσίας τῶν εὐαγγελίων.* Laur.

Μαργίτην] *Μαργίτην φησὶν ἄνθρωπον γεγονέναι, ὃς ἐτῶν πολλῶν γενόμενος οὐκ ἤδη, ὅστις*[6] *αὐτὸν ἔτεκεν, πότερον*[7] *ὁ πατὴρ ἢ ἡ μήτηρ, τῇ δὲ γαμετῇ οὐκ ἐχρῆτο· δεδιέναι γὰρ ἔλεγε μὴ διαβάλλοι αὐτὸν πρὸς τὴν μητέρα. Μαργίτην οὖν ἀντὶ τοῦ μαινόμενον, μωρόν.* Laur. *ἀντὶ τοῦ μαινόμενον.* F. *τουτέστιν ἠλίθιον. Πλάτων Ἀλκιβιάδῃ* (II. p. 147 C) *περὶ Μαργίτου, ὃς μὲν ἐπίστατο πολλά, κακῶς δ' ἠπίστατο πάντα.* B.

τὰ σπλάγχνα φυλάττοντα] *ἀντὶ τοῦ ἀγαπῶντα ἐὰν ζήσῃ· παρὰ τὸ ἐν τοῖς σπλάγχνοις εἶναι*[8] *ὥσπερ τὴν ζωὴν τοῦ ἀνθρώπου.* Laur. F.

161. *νεανίσκου*] *Ἀλεξάνδρου λέγει τοῦ βασιλέως. οὕτως δὲ καὶ Πλούταρχος* (Dem. c. 23)· *δείσας γάρ, φησίν, τὴν ὀργὴν τοῦ Ἀλεξάνδρου ἀνέστρεψεν.* Laur.

τοῦ Κιθαιρῶνος] *ὄρος Βοιωτίας.* B. Laur.

οὔτ' ἐν εἰρήνῃ] *Ὁμήρου* (Il. *β*, 202)·

οὔτε ἐνὶ πτολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ. B.

162. *οἱ παράλιοι*] *οἱ τὴν παραλίαν*[9] *οἰκοῦντες τῶν Ἀθηναίων, καὶ κατασκευάζοντες τὴν ναῦν τὴν Πάραλον, καὶ ἐν αὐτῇ πλέοντες.* Laur. F. *Ἄλλως. οἱ ἐν τῇ Παράλῳ πλέοντες ναῦται καὶ ἐπιβάται· αὕτη δ' ἐστὶν ἱερὰ τριήρης ταχυναυτοῦσα ἐπὶ τὰς δημοσίας. ἅτε δὲ οἱ πλέοντες ἐν τῇ Παράλῳ, τοὺς πρέσβεις παράγοντες πρὸς Ἀλέξανδρον. ἤδεσαν ἅπερ καὶ οἱ πρέσβεις.* Laur.

Πλαταϊκὸς] *Θηβαίων ἀναγόντων Πλαταιέας κατέφυγόν τινες Ἀθήναζε.* Laur.

1) *εἶπεν οὗτος*] *εἶπε τοῦτο* Laur. 2) voluit *Μολοττός*. De Attalo haec recte narrant Aristot. Polit. 5, 10 p. 1311b. Plut. Al. 10. Diod. 16, 93. Iustin. 9, 6. 3) *τινὲ* Laur. 4) *κατηγορίας* F. 5) *οὐδενὶ* Laur. 6) *εἴ τις* Laur. 7) *πρότερον* liber. 8) *εἶναι* om. Laur. 9) *πάραλον* Laur.

ὑποτρέχει] κολακευτικῶς μετέρχεται. B.

164. χρυσόκερων] ὅταν ὑπέρ τινων καλῶν εὐχαριστήρια θεοῖς θύωσι, σφάττουσι βοῦν χρυσόκερων· ἐμὲ οὖν, φησίν, ὡς ἱερεῖον σφαγησόμενον[1] διὰ τὰ γιγνόμενα περὶ[2] τὸν Ἀλέξανδρον δεινά, ἅπερ τοῖς Ἀθηναίοις ην καλά, προσηγόρευε χρυσόκερων, ὡς δὲ ἱερευόμενον ὑπὲρ τῆς πόλεως· διὸ ἐπιφέρει καὶ κατεστέφθαι· στεφανοῦσι γὰρ τὰ ἱερεῖα. Laur. Ἄλλως. εἰώθασιν οἱ ταῦρον προσάγοντες πρὸς θυσίαν ἢ ἔλαφον ἤ τι τῶν κερατοφόρων ἔστιν ὅτε χρυσοῦν τὰ κέρατα καὶ στέφειν τὴν κεφαλὴν αὐτῶν,[3] ὃ λέγει ὁ ποιητής (Il. κ, 294)· "χρυσὸν κέρασιν περιχεύας." τὸ οὖν παρεπόμενον τοῖς μέλλουσι σφάττεσθαι, οἷον τὸ δειλιᾶν καὶ ἀγωνιᾶν, περὶ Αἰσχίνου ἔταξεν ὁ Δημοσθένης. διὰ τὴν ἀθυμίαν δῆθεν τὴν περὶ Ἀλεξάνδρου. Laur. F.

165. Λακεδαιμόνιοι] οἱ μετὰ Λακεδαιμονίων μισθοφόροι. Laur.

Κόρραγυν] στρατηγὸς Ἀλεξάνδρου. Laur.

ἐπίδοξος] προσδοκήσιμος.[4] Laur. F.

ἔξω τῆς ἄρκτου —] ἐν ὑπερβολῇ λέγει, ὃ λέγομεν αὐτοὶ ἐν Ὑπερβορέοις. Laur.

166. φορμορραφούμεθα] ἀντὶ τοῦ συρράπτουσί τινες καθ' ἡμῶν πράγματα, ἀπὸ τῆς[5] φόρμου. φόρμος γὰρ λέγεται τὸ ψιαθῶδες πλέγμα, ὡς καὶ ὁ Θουκυδίδης (4, 48) φορμηδὸν λέγει. Laur. F.

ἐπὶ τὰ στενὰ] ἐπὶ τὰ δυσχερῆ. F.

167. οἱονεὶ παραδοξολογήματα τερατώδη. Laur. F. τὰ ὑπὸ τῶν θαυματοποιῶν γενόμενα ἐπὶ θαυμασμῷ τῶν ὁρώντων· θαυματοποιοὶ δὲ οἱ ταῦτα εἰσάγοντες εἰς τὰ θέατρα, πετομένους τινὰς ἤ τι ἄλλο παράβολον. Laur.

ὁμολογῶ] ὁμολογῶ τὰ Λακωνικὰ συναγεῖραι ἐπὶ Ἀλέξανδρον, οἷον ἀναπεῖσαι εἰς στάσιν. στάσις δὲ λέγεται, ὅταν[6] εἰς ταὐτὸν τινὲς συνέλθωσι μαχόμενοι πρός τινας. Laur.

168. ναί, ἀλλὰ —] ἐντεῦθεν παρέκβασις ἐξ ἀνθυποφορᾶς εἰσαχθεῖσα· δύο δὲ χρήσιμα αὐτῷ εἴρηκται· τήν τε γὰρ δόξαν τοῦ Δημοσθένους ὅτι δημοτικός ἐστιν[7] παρὰ τοῖς δικασταῖς προαναιρεῖ, ἔχει[8] δὲ καὶ διατύπωσιν ὧν ὁ Δημοσθένης οὐκ ἔχει, δέον αὐτῷ προσεῖναι τῷ δημοτικῷ, ἃ καὶ πέντε ὄντα ἀπαριθμεῖται, τὴν αἰτίαν ἐφ' ἑκάστῃ προστιθείς. δημοτικὸς δὲ ἀντὶ τοῦ χαίρων τῇ δημοκρατίᾳ.[9] Laur.

ὁποτέρου — τοῦ λόγου] μὴ ἐὰν δημοτικὸν αὐτὸν καλῇ.[10] Laur.

169. ἀτυχίαν] δυσγένειαν. F.

170. τὴν ἀσέλγειαν] τὴν ἀσωτείαν καὶ τὸ πολλὰ εἰς αἰσχρὰς ἡδονὰς καταναλίσκειν. Laur.

τέταρτον] τοῦτο Περικλῆς περὶ ἑαυτοῦ ἐν τῇ οἰκείᾳ δημηγορίᾳ (Thuc. 2, 60). Laur.

λογισμὸς] οἷον ἡ ἐξέτασις. F.

171. ἐκ Κεραμέων] δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος. B. ἀπὸ δήμου. F.

1) σφαγισόμενον liber. 2) ὑπὲρ liber. 3) αὐτοῦ Laur. 4) προσδόκιμος F. cf. Etymol. Gud. 634, 23. 5) τοῦ F. 6) ὅτι Laur. 7) ὧν Laur. 8) ἔχειν Laur. 9) χαίρων τ. δημ. habet etiam F. 10) αὐτὸν καλῇ de coni., αὐτὸν καλεῖ liber.

Νύμφαιον] *νεὼν Νυμφῶν.* B. *τόπος τῆς πόλεως ἐπὶ Πόντῳ· τοῦτον Ἀθηναίων ἐχόντων Γύλων Ἀθηναῖος προέδωκε τοῖς Βοσπόρου τυράννοις.* Laur.

φυγὰς] *φυγὰς ἐγένετο καὶ ἔλαβε παρὰ τῶν τυράννων χωρίον ὃ ἐκαλεῖτο*[1] *Κῆποι.* Laur.

τὴν κρίσιν] *οἷον τὴν τιμωρίαν. ἐξῆν γὰρ φυγεῖν μετὰ τὴν πρώτην κρίσιν, εἰ καὶ θάνατός*[2] *τινος κατεγνώσθη, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Τιμοκράτους.* Laur. F.

Σκύθιν] *ὡς ἀπ' εὐθείας εἴρηται τοῦτο μᾶλλον βαρυτόνου· κακῶς δέ. τὰ γὰρ τοιαῦτα ἐθνικὰ ὀξύνεσθαι θέλει, ὡς Κολχίς, Περσίς, Σκυθίς. οὐκοῦν Σκυθίδα καὶ οὐ Σκύθιν, ὡς τὸ Κολχίδα, Περσίδα· τινὰ δὲ τῶν βιβλίων ἔχει κτητικῶς Σκυθικήν.* F.

ἐπιχώριος] *οὐκ Ἀττικοῦ ἀνθρώπου τρόπον ἔχει οὐδὲ κακίαν Ἀττικήν, ἀλλ' ἀλλόεθνον*[3] *πονηρίαν ἔχει· τοῦτ' ἔστι σφόδρα πονηρός ἐστιν ὡς μὴ Ἀττικὸς ὤν, ὡς καὶ ἐνδεεστέραν*[4] *τῶν Ἀττικῶν πονηρίαν ἐχόντων.* Laur.

173. *λογογράφος*] *δικολόγος, γράφων λόγους Κεραμεικούς· τὸ μέντοι γράφειν λόγους ἐνόμιζον αἰσχρόν. διὸ οὔτε Περικλῆς οὔτ' ἄλλοι τῶν ἐπιφανῶν ἔγραψαν.* Laur.

τοὺς λόγους ἐκφέρων] *τὰ δικαιώματα τῶν ἀνακειμένων αὐτῷ μηνύων κρύφα τοῖς ἀντιδίκοις καὶ προδιδοὺς τὰ πράγματα.* Laur.

ἐπεκέκλυκε] *οὕτω πολύ ἐστι. λέγει δὲ ὅπερ ἔπεμψεν αὐτῷ Δαρεῖος.* Laur. F.

πονηροῦ] *ἀντὶ τοῦ ἀσώτου.* F.

τὸ κεφάλαιον] *οἱονεὶ τὸ μέγιστον ἀδίκημα.* Laur. F.

176. *ὁ μὲν τοίνυν*] *ὅτι ἀπὸ τοῦ παρακολουθοῦντος τοῖς ἀτίμοις ἠθέλησε σημᾶναι ὡς καὶ τούτους δεῖ εἶναι ἀτίμους. οἱ γὰρ ἄτιμοι ἐξείργονται ἱερῶν, ἐκκλησίας, τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. περιῤῥαντήρια δέ ἐστιν οἷον τὰ ὕδατα τὰ πρὸ τῶν ἱερῶν, ἐν οἷς περιῤῥαίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὔξασθαι. τὰ δὲ τῆς ἐκκλησίας περιῤῥαντήρια ἦν τὰ καθάρσια τὰ ἀπὸ τοῦ περιστιάρχου γενόμενα.* F. Laur. *ἐκείνους φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους.* Laur. *Ἄλλως. πρὸ τῆς εἰσόδου τῆς ἀγορᾶς ἦν περιῤῥαντήρια παρ' ἑκάτερα· τοῦτ' ἔστι λουτῆρες ὕδωρ ἔχοντες.* Laur.

τοῖς τραγῳδοῖς] *πάλιν ἀντὶ τοῦ τραγῳδῶν ἀγωνιζομένων.* Laur. F.

ἀποπλανῶ] *ἀντὶ τοῦ πᾶσαν τὴν πόλιν.* Laur. F.

μέμνησθε] *ἐπίλογοι.* F.

177. *τὰς ἀφθόνους*] *τὰς ἁπλῶς καὶ χύδην διδομένας, ὅ ἐστι τὰς πολλάς, ὡς ἔχομεν καὶ παρ' Ἡροδότῳ καὶ ἀλλαχοῦ ἄφθονον ὕδωρ ἀντὶ τοῦ πολύ.* Laur. F.

ἐμβαλεῖτε] *διότι ὁρῶσιν ἑαυτοὺς ἐξ ἴσου τοῖς πολλοῖς τιμωμένους.* Laur. F.

178. *τὰ καλὰ*] *ἀντὶ τοῦ οἱ στέφανοι, αἱ σιτήσεις καὶ αἱ ἄλλαι τιμαί.* Laur.

1) *ἐκαλοῦντο* Laur. 2) *θάνατον* F. 3) *ἀλλόεθνου* Laur. 4) *ἐνδεεστέρων* Laur.

καταπέπλυται] καταπλύνειν λοιδορεῖν, υβρίζειν, καταφρονεῖν, ἀτιμάζειν. τὸ αὐτὸ ἰσχύει πλυνὸν ποιεῖν. F.

179. ἄτοπον] ἀντὶ τοῦ θαυμαστόν. Laur.

τὰ Ὀλύμπια] ἕνα λέγει τῶν τεσσάρων. F.

τῶν στεφανιτῶν] στεφανῖται ἀγῶνες ὧν ἆθλα ἦσαν οἱ στέφανοι. B.

τῶν στεφανιτῶν ἀγώνων παγκράτιον] ἕνα λέγει τῶν τεσσάρων, ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμήν, ἀλλ' ἄλλα τινά, οἷον ἄργυρος, χλανίδες ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς. τῷ διαπραξαμένῳ δὲ οἷον τῷ σπουδάσαντι ἑαυτῷ, ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι τοὺς Ἕλλανοδίκας ἤ τι τοιοῦτον ποιῆσαι. τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι, ἀλλὰ μὴ νικήσαντι. Laur. F.

180. παρακαταθέμενοι] οἱονεὶ ἐμπιστεύσαντες τοῖς πόνοις. Laur. F. ἐπιλαμβάνεται δὲ Διονύσιος ὅτι τὸ παρακαταθέσθαι φυλακῆς πλεῖον ἔνδειξιν ἔχει, ἐπὶ δὲ τῶν σωμάτων τὸ ἐναντίον γίγνεται· διαφθείρονται γὰρ ἔσθ' ὅτε· οὐκοῦν κακῶς ἐχρήσατο τῇ λέξει ὁ Αἰσχίνης. Laur.

τὰς ἐπιεικεῖς φύσεις] τὰς ἐχομένας ἀρετῆς. F. Laur.

181. Φυλῆς] Φυλὴ χωρίον τῆς Ἀττικῆς ὀχυρὸν σφόδρα, ἀπέχον τῆς πόλεως στάδια ἑκατόν, ὥστε πολλὰς ἀφορμὰς αὐτοῖς παρέχεσθαι εἰς ἐφόδια. νοεῖται δὲ ὁ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ, τὴν Φυλὴν καταλαβόντες ἐπὶ τῷ τὸν δῆμον φυγόντα καταγαγεῖν καὶ τὴν τῶν τριάκοντα ἀρχὴν καταλύειν. B. Λακεδαιμόνιοι ἑλόντες Ἀθήνας κατέσκαψαν μὲν τὰ τείχη, κατέστησαν δὲ τυράννους αὐτόθι $\bar{\text{λ}}$, οἳ πολλοὺς μὲν ἀκρίτους ἀπέκτειναν, πολλοὺς δὲ ἐφυγάδευσαν. πικρότερον δὲ δεσπόζοντες οὐκ ἦσαν ἀνεκτοὶ καὶ αὐτὸς ὁ δῆμος ἔφυγεν εἴς τινα δῆμον εἰς καλούμενον Φυλήν. τῶν δὲ ἐπιστρατευσάντων καὶ προσπολεμούντων ἠγωνίσατο καὶ Ἀρχίνου τοῦ ἐκ Κοίλης δήμου καὶ Λυσίου τοῦ Συρακοσίου καὶ μάλιστα Θρασυβούλου τοῦ Στειριέως συλλαβομένων κατῆλθεν εἰς τὸ ἄστυ καὶ ἀνεκτήσατο τὴν ἐλευθερίαν. Laur.

182. κἀκεῖνοι] καὶ τοῦτο κατ' ἐρώτησιν. εἶτα δέον εἰπεῖν· ναί, ἐάσας τὴν ἀπόκρισιν τὴν αἰτίαν αὐτῆς ἐπήνεγκεν. Laur.

οἱ μὴ τετιμημένοι] οὐ διὰ τὸ τετιμῆσθαι ἄξιοι τῆς πόλεως ἀλλὰ καὶ διὰ τὴν ἰδίαν ἀρετήν. Laur.

δωρεὰς] ἐτίμα μὲν ὁ δῆμος αὐτοὺς ταῖς προσηκούσαις δωρεαῖς. ἐκεῖνοι δὲ οὐκ ἠξίουν καταλείπειν ἐν γράμμασιν, ἐν[1] δὲ τῇ μνήμῃ τῶν τιμῶν τὴν χάριν. Laur.

183. Ἑρμᾶς] ἀντὶ τοῦ[2] προσωπεῖα Ἑρμοῦ καὶ κάτω ἐν τῇ βάσει ἦν τὰ ἐπιγράμματα. Laur. F.

184. ἦν] ἀντὶ τοῦ ἦσαν. F.

ἐπ' Ἠϊόνι] Ἠιὼν πόλις Θρᾴκης, ἣ ὕστερον Ἀμφίπολις ὠνομάσθη. B. ὀνομαστικῶς λέγεται τῆς Θρᾴκης ἡ πόλις Ἠιών, παρ' ἣν ὁ Στρυμὼν ποταμός. Στρυμὼν δὲ ποταμὸς Θρᾴκης. Laur.

1) ἔτι Laur. 2) ἀ. τοῦ] οἷον F.

αἴθωνα] *ἀντὶ τοῦ διάπυρον καὶ μέγαν.* F. *τοῦτ' ἔστιν· ἐπάγουσι καὶ λιμὸν καὶ πόλεμον· αἴθωνα δὲ λέγει τὸν λιμόν, ἐπεὶ οἱ λιμώττοντες αἴθονται τελευτήσαντες· οἱ δὲ ὅτι ἐγένετό τις αἴθων γαστρίμαργος καὶ πάντοτε ἐλίμωττεν, ἀφ' οὗ ὁ λιμὸς αἴθων.* Laur.

πρῶτοι] *οὗτοι πρῶτοι τῶν δυσμενῶν ἀμηχανίαν ἐποίησαν· οὐχ ἡττηθέντες γὰρ, ἀλλὰ κρατήσαντες ἀπέστρεψαν αὐτῶν τὰς μηχανάς.* Laur.

δυσμενέων εὗρον ἀμηχανίαν] *ἀντὶ τοῦ ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις.* F. *ἀντὶ τοῦ τὰς μηχανὰς αὐτῶν ᾔδεσαν.* Laur.

μᾶλλον] *χαίρων.* F.

τὴν στοὰν τὴν ποικίλην] *οὕτω λέγεται Ἀθήνησι στοὰ· ποικίλη. ἐν ταύτῃ πλεῖσται γραφαί, ἐπιφανεστάτη δέ ἐστιν ἡ τὴν ἐν Μαραθῶνι μάχην ἔχουσα, ἐν ᾗ ἔστηκε Μιλτιάδης ἐγκελευόμενος τοῖς στρατιώταις. Ἄλλως. τρεῖς ἦσαν Ἀθήνησι στοαί· ἡ μὲν ἐκαλεῖτο βασίλειος, ἡ δὲ τῶν Ἑρμῶν, ἡ δὲ Πεισιανάκτιος,*[1] *Πεισιάνακτος*[2] *τοῦ κτίσαντος. αὕτη δὲ γραφθέντων ἐν αὐτῇ τῶν ἐν Μαραθῶνι καὶ ἄλλων τινῶν ποικίλη ἐκλήθη.* Laur.

187. *Μητρῴῳ*] *ἐνταῦθα ἔκειτο τὰ δημόσια γράμματα.* Laur. *ἔγνωμεν καὶ*[3] *ἐν τοῖς Φιλιππικοῖς ὅτι μέρος τοῦ βουλευτηρίου ἐποίησαν οἱ Ἀθηναῖοι τὸ Μητρῷον, ὅ ἐστιν ἱερὸν τῆς Ῥέας διὰ τὴν αἰτίαν ἐκείνου τοῦ Φρυγός· συντακτέον δὲ τοῦτο πρὸς τὸ ἰδεῖν ἔστιν.* Laur. F.

ἔστιν] *ἐν αὐτῷ τῷ ἱερῷ, ἐν ᾧ τὸ βουλευτήριόν ἐστιν, ἀνάκεινται γεγραμμένοι οἱ ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγόντες· κεῖνται δὲ ἐν τῷ Μητρῴῳ καὶ οἱ νόμοι τῶν . . . . .* Laur.

ὅσοι τὴν τάξιν —] *τοῦτο παρ' ὑπόνοιαν. δέον γὰρ τῶν τότε τι εἰπεῖν εἰς τὸν Δημοσθένην αἰνιττόμενος οὕτως ἐπήνεγκεν.* Laur.

188. *εἰ τοῦτ' ἔχει —*] *αὕτη ἐστὶν ἡ διάλληλος δεῖξις.* Laur.

189. *Φιλάμμωνα*] *πύκτης διάσημος Ὀλυμπιονίκης· ἐνίκησεν ἑκατοστῇ πέμπτῃ Ὀλυμπιάδι.*[4] *ἦν δὲ τῷ σώματι μέγας καὶ ἀποθανόντος Ἱπποκράτους τοῦ Λεοντίνων τυράννου διεδέξατο τὰ πράγματα καὶ κατασταθεὶς ὑπὸ Γέλωνος ἐν Καμαρίνῃ καταψηφισαμένων αὐτοῦ Καμαριναίων θάνατον ἀνῃρέθη.* Laur.

Γλαῦκον] *Καρύστιος ἦν οὗτος.* Laur.

τὴν ἀρετὴν] *ὁ Διονύσιος ἐπιλαμβάνεται· οὐ γάρ, φησί, νικῆσαι βουλόμεθα τὴν ἀρετὴν ὡς τοὺς ἀνταγωνιστάς. ἠγνόηκε δὲ ὅτι ὁ ἀγὼν πρὸς τὸ ἐπαγόμενον νοεῖται. ἄνω μὲν οὖν περὶ τῆς νίκης λέγομεν αὐτοὺς ἀγωνίζεσθαι, νῦν δὲ περὶ τοῦ ἐφικέσθαι.* Laur.

Πατακίωνος] *οὗτος ἦν κλέπτης.* B. *οὗτος διαβέβληται ὡς ταπεινὸς καὶ οὐδενὸς ἄξιος.* Laur.

ἐφικόμενος] *τουτέστι γενόμενος ἀνὴρ ἀγαθός, κρατήσας τῆς ἀρετῆς, ἐγκρατὴς ὢν τῆς ἀνδραγαθίας.* B.

190. *παλαίχθων*] *παλαίχθων ὑφ' ἓν, ὡς αὐτόχθων.*[5] Laur.

1) *πεισιανακτίς* Laur. cf. Bern. ad Suid. s. v. *βασίλ. στοά.* 2) *ἄνακτος* Laur. 3) *καὶ* om. Laur. 4) *ἑκατ. — ὀλυμπ.*] *ἑκατοστὴν πέμπτην ὀλυμπιάδα.* 5) *αὐτόχθ.*] *Ἀθηναίων* (?) *δῆμος* ex epigrammate add. Laur.

ἦρξαν] ἤρξαντο. B.

191. ἔναυλον] οἷον ἐν τοῖς ὠσὶ τὸν τῶν αὐλῶν ἦχον καταλιπόν, τουτέστιν οὔπω ἐκ τῆς μνήμης ἀποκεχωρηκός, ἤγουν ἔτι ἐν μνήμῃ διαμένον. B. οἱονεὶ πρόσφατον καὶ ἐγγύς, ἀπὸ τοῦ ἐγγὺς εἶναι καὶ ἐντὸς τῆς ἐπαύλεως τὰ πρόβατα. Laur. F.

γραφὴν] γραφὴν οὐ λέγει ἐνταῦθα τὴν κατηγορίαν, ἀλλ' αὐτὰ τὰ γράμματα τὰ τοῦ ψηφίσματος τοῦ παρανόμου. οὕτω φησίν· οὐχ ἧττον ἐμίσουν τοῦ πράττοντος παράνομα ἐν ἔργοις αὐτὸν τὸν γράφοντα παράνομα. Laur. F.

ἀνδρὸς παράνομα λέγοντος] ὁμοίως, φησί, ὠργίζοντο τοῖς γράφουσι παράνομα ὡς τοῖς ποιοῦσι παράνομα. Laur.

192. ἀνεπόδιζον] πάλιν λέγειν ἐκέλευον, ὡς ὕστερον αὐτὸς ὁ *Αἰσχίνης* μνημονεύει. B.

ἀναγιγνώσκειν —] ἵνα ἀκούοντες τῶν νόμων καὶ τοῦ ψηφίσματος μάθοιεν, εἰ παράνομόν ἐστιν. Laur.

194. *Κέφαλος*] *Λυσίας κατ' Ἐρατοσθένους τοῦ γενομένου τῶν τριάκοντα.* B.

195. ἐκ *Κοίλης*] ἀπὸ δήμου. B.

Θρασύβουλον] *Θρασύβουλος ὁ Στειριεὺς* μετὰ τὸ κατελθεῖν τὸν δῆμον ἀπὸ *Φυλῆς* ἔγραψε ψήφισμα δοθῆναι πολιτείαν *Κεφάλῳ* τῷ ῥήτορι πολλὰ εὐεργετήσαντι τοὺς εἰς[1] *Φυλὴν* καταφυγόντας καὶ τοῦτο ἀπροβούλευτον εἰσήνεγκεν εἰς τὸν δῆμον. οὐδέπω γὰρ ἦν καθεσταμένη βουλὴ μετὰ τὴν τῶν $\overline{\text{λ}}$ κατάλυσιν· τοῦτο τὸ ψήφισμα ἐγράψατο παρανόμων *Ἀρχῖνος ὁ*[2] ἐκ *Κοίλης* καὶ εἷλε καὶ ἐτίμησαν τῷ *Θρασυβούλῳ* οἱ δικασταὶ δραχμῆς μιᾶς. *Ἄλλως.* ἐπίστευον τοῖς δοκοῦσιν ἀμύνειν τοῖς νόμοις. *Ἀρχῖνος* γὰρ ὁ ἐκ *Κοίλης* ἐγράψατο παρανόμων ὅτε κατῆλθεν ὁ δῆμος... *Λυσίου τοῦ Συρακουσίου* πεντακοσίας μὲν ἀσπίδας δόντος τοῖς μαχεσαμένοις ἐν *Φυλῇ Συρακουσίοις*, στρατιώτας δὲ[3] μισθωσαμένου ἐξ *Αἰγίνης* ἔγραψε ψήφισμα πολίτην αὐτὸν γενέσθαι *Θρασύβουλος*. παρανόμων δὲ αὐτὸν *Ἀρχῖνος ὁ ἐκ Κοίλης* ἐγράψατο, ὅτι οὔπω γενομένης βουλῆς ψήφισμα ἔγραψεν ὀλιγώρως πρὸ τοῦ βουλὴν ὑπάρξαι,[4] καὶ δικασταὶ κατήνεγκαν αὐτοῦ τὰς ψήφους. ὁ δὲ ἐν τῇ τιμήσει παρελθών· θανάτου, ἔφη, τιμῶμαι, ὅτι ἀχαρίστους *Ἀθηναίους* ὄντας εὖ ἐποίησα. οἱ δὲ δικασταὶ αἰδεσθέντες τῷ μὲν ἐτίμησαν τὴν καταδίκην δραχμῆς, τὸν δὲ *Λυσίαν* οὐδ' οὕτως ἐποιήσαντο πολίτην. Laur.

γράψαντά τι παρὰ τοὺς νόμους] στεφανοῦν. F.

197. τοῖς νόμοις] ὡς τοῦ κατηγόρου ὡς ἐπὶ τὸ πολὺ διὰ τὸ παρὰ τοὺς νόμους τι πράττεσθαι κατηγοροῦντος. Laur.

τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν] τῷ συνηγόρῳ αὐτοῦ. ἐξῆν γὰρ καλέσαι οὓς ἂν ἐθέλωσι πρὸς συνηγορίαν. Laur. οἱονεὶ τοῖς συνηγόροις τοῦ φεύγοντος. Laur. F.

τὸ μὲν πρῶτον] τὸ λέγειν πρὸς κλεψύδραν ἐνταῦθα αἰνίττεται. κλεψύδρα γὰρ ἀγγεῖον ἦν μικροτάτην ὀπὴν ἔχον περὶ τὸν πυθμένα,

1) τοὺς εἰς] τὴν Laur. 2) ὁ om. Laur. 3) δὲ, quod habet Laur. post ἔγραψε, huc transposui. 4) ὀλιγώρως — ὑπάρξαι hoc loco posui, quae vv. Laur. habet post τὰς ψήφους.

ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, καὶ πρὸς τοῦτο ἔλεγον οἱ ῥήτορες. B.

λυθῇ] ἀντὶ τοῦ γνωσθῇ. F.

198. ὅστις—] ἵνα λέγῃ[1] περὶ τοῦ φεύγοντος τὴν ψῆφον δὲ αἰτεῖ, οἷον ἵνα ψηφίσησθε καὶ αὐτῷ μᾶλλον προσθῆτε. Laur. F.

παραιτεῖται] οἱονεὶ συγγνώμην αἰτεῖ, ὡς ἔχομεν ἐν τῷ κατὰ Μειδίου (§. 5. p. 516, 2) τὴν ὁμοίαν χρῆσιν, ἐν οἷς λέγει· "τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι". F.

διενεγκεῖν] διακρῖναι, διαψηφίσασθαι. Laur.

ἁπανταχῶν εἰς τὴν τίμησιν] ὅταν ἡ τίμησις γένηται, τότε τυγχάνει δεομένους καὶ παραιτουμένους μετρίως τιμῆσαι. Laur.

199. ὡρισμένον] προγεγραμμένον, γνώριμον. Laur.

200. τουτὶ τὸ σανίδιον] λελευκωμένον πινάκιον, ἐν ᾧ ἡ γραφὴ γέγραπται ἣν ἐγράψατο ὁ κατήγορος[2] καὶ τὸ ψήφισμα τὸ κατηγορούμενον καὶ οἱ νόμοι.[3] Laur. ἐγράφετο ἡ κατηγορία καὶ τὸ ψήφισμα καὶ οἱ νόμοι· ὅτι κατηγορῶ τοῦ ψηφίσματος τοῦδε ὡς παρὰ τούσδε τοὺς νόμους γεγραμμένου. Laur.

201. τὸ συντεταγμένον] ἀντὶ τοῦ μηδεμιᾶς ἀληθείας ἐχόμενον. προοίμιον δὲ εἶπεν, ἐπειδὴ ὁ προβαλλόμενος ἄλλον τινὰ εἰπεῖν ὑπὲρ ἑαυτοῦ,[4] ἀνάγκην εἶχεν αὐτὸς εἰπεῖν τι προοίμιον τοῦ λόγου, καὶ οὕτω καλέσαι τὸν συνήγορον. Laur. F. Ἄλλως. ἢ ὃ μετὰ Δημοσθένους συνέταξεν ἢ ὃ συνέθετο ἐρεῖν ἢ ὅτι· ὦ δικασταί, ἐπειδὴ λέγειν οὐ δύναμαι, πρὸς τοῦτο κελεύσατέ μοι τὸν δεῖνα συνηγορεῖν· συντεταγμένον οὖν τὸ συντεθειμένον. Laur.

202. Κτησιφῶντος] μή τις, φησί, ὡς φιλάνθρωπόν τι δοκοίη ποιεῖν ἐρομένου, εἰ[5] καλοίη, φάσκων· κάλει. Laur.

κάλει] τὸ δεύτερον κάλει[6] ὡς Αἰσχίνου τὸ πρῶτον ἐπιλαμβανομένου ἐτέθη, ὡσεὶ ἔλεγε· κάλει λέγεις. δύναται δὲ καὶ ὡς προστακτικὸν ἀναγιγνώσκεσθαι ὡς ἐπιτρέποντος Αἰσχίνου· κάλει. Laur.

203. οὐδὲν προβαλλόμενον] ἀντὶ τοῦ προστάξαντα πρὸ τοῦ εἰπεῖν στεφανοῦν, ἀντὶ τοῦ οὐκ εἰπόντα, ἐπειδὰν τὰς εὐθύνας δῷ. Laur.

205. πάλαισμα] οἷον δι' οὗ βούλεται καταγωνίσασθαι ὑμᾶς. Laur. F. πάλαισμα δὲ καταγωνισμὸς καὶ ἐξαπάτη ἢ τέχνη, σχῆμα. Laur.

ἐμβαλεῖν] ἐνέμεινε τῇ μεταφορᾷ τοῦ παλαίσματος.[7] Laur.

206. περὶ τῆς στάσεως] οἷον ἐπὶ τοῦ στῆναι ἑκάτερος αὐτῶν σπεύδει μὴ ἔχειν τὸν ἥλιον ἀντιπρόσωπον ἀλλὰ κατόπιν ἑαυτοῦ. Ἄλλως. ἐπειδὴ πολλάκις συνέβαινε τὸν ἥλιον εἶναι κατὰ τοῦ ἑνός, ἐφιλονείκουν ὅπως ἐν τῇ σκιᾷ ἕκαστος γένοιτο. Laur.

περιίστασθαι] ἀντὶ τοῦ ἐξίστασθαι[8] καὶ καταφεύγειν. F.

εἰσελαύνετε] εἰσελαύνετέ φησιν[9] ἀπὸ μεταφορᾶς ἀγωνιστῶν ἐκτρεπομένων ἐκτὸς ἀγῶνος, ὡς καὶ ἐν τῷ παραπρεσβείας εἶπε τοῦτο τὸ ἐπιχείρημα. Laur. F.

1) λχ F. 2) κατάσκοπος Laur. 3) οἱ νόμοι addidi de coni. Est lacuna in Laur. cf. schol. proximum. 4) αὐτοῦ F. 5) οὐ Laur. 6) καλεῖ Laur. 7) τοῦ παλ.] τὸ πάλαισμα Laur. 8) ἐξίστασθαι Sauppius, ἐνίστασθαι F. 9) εἰσελαύνετέ φησιν om. Laur.

207. βαλλαντιοτόμον] ἀντὶ τοῦ τὸν λῃστήν. ἀπὸ μεταφορᾶς αὐτῶν[1] τῶν λῃστῶν τῶν τεμνόντων τὰ βαλάντια κάτωθεν τῶν βαστα-ζόντων, ἵνα ἐκπέσῃ τὰ ἐν αὐτοῖς. Laur. F.

διατετμηκότα τὴν πολιτείαν] τὸν λέγοντα[2] πρὸς τοὺς ἔξωθεν ἐπανεστηκότας τοὺς μὲν[3] ὀλιγαρχικούς, τοὺς δὲ δημοτικούς. στασια-στικοὺς δὲ τοὺς στάσεως αἰτίους. λέγει[4] γὰρ ταῦτα· εἰς στάσιν ἐνέβαλε τὸν δῆμον. Laur.

διηριθμημένους] ἠναγκασμένους. Laur. F.

208. ἑλκοποιεῖς] πλάττεις λόγους συγκρουστικούς. F. ἀντὶ τοῦ τραύματα ἐργάζῃ καὶ κακά. Laur.

τῶν αὐθημερὸν] οἱονεὶ τῶν ψευδῶν καὶ τῆς προσπιπτούσης χρείας ἕνεκεν γινομένων. Laur. F.

τοὺς θεοὺς καινοὺς] Εὐριπίδης Μηδείᾳ (492)·

ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
εἰ θεοὺς νομίζω τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν·
ἐπεὶ σύνοισθά γ' εἰς ἐμ' οὐκ εὔορκος ὤν. B.

209. περιγράψατε] ἀντὶ τοῦ ἐκβάλετε. F.

ἐξορμεῖς] ἐξέρχῃ. B. ὡσανεὶ ἔλεγε, σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ πε-λάγει εἶσω οἰκεῖς, ἵνα εὐχερῶς φύγῃς, ὅταν χρεία σοι γένηται. Laur. F. ἀντὶ τοῦ οὐ μόνον ἐν Πειραιεῖ οἰκεῖς, ἀλλ' ἐξορμᾷς τῇ διανοίᾳ πρὸς τὴν χώραν. Laur.

210. ὃ δ' ἀγὼν οὐκ ἀτίμητος] ψεύδεται αὐτός. μ ταλάντων[5] ἦν τιμήσας, ὅτε ἐγράφετο, ἀλλ ἵνα μὴ οἱ δικασταὶ διὰ τὸ τοσοῦτον τίμημα ἀφῶσι τὸν Κτησιφῶντα, κλέψαι βούλεται τοι . . . . . Laur.

211. ἐκείρατο] οἱ Ἕλληνες ἐν ταῖς εὐπραγίαις τὴν κόμην ἔτρε-φον, ἐν δὲ ταῖς δυστυχίαις καὶ τῷ πένθει ἐκείροντο. Ὅμηρος αὐτοὺς πανταχοῦ καρηκομόωντας καλεῖ. ἀνάπαλιν δὲ Ἐπαμεινώνδας (v. Pausan. 9, 15, 6)·

ἡμετέραις βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

Λυσίας ἐν ἐπιταφίῳ (§. 60) τοῖς Κορινθίων βοηθοῖς "ὥστε ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους." B.

ζηλοτυποῦν] τὴν ἀρετὴν δόξης ἕνεκα ζηλοῦν, εἴδωλον ἀρετῆς διῶκον, ἤγουν τὴν ἀρετὴν μισοῦν, ἢ τῇ ἀρετῇ φθονοῦν. B.

212. οὐ γὰρ δὴ μὰ τ. Ἡ. —] ἐπεὶ ὁ Μειδίας πολεμιστὴς ἦν, ὃς[6] ἀποτυχὼν τῶν ἀριστείων ἑαυτὸν περιεῖλε[7] ξίφει· πρὸς τοῦτο οὖν παίζει. Laur.

214. ἰδιώτης] ἰδιώτης οὐ πρὸς τὴν εἴδησιν τῶν νόμων, ἀλλ' ὅτι οὐδὲν τῶν κοινῶν μετεχείρισα· οὐ δημοσίᾳ ἠδίκησα, ἀλλ' ἰδιωτεύω. Laur.

216. τῆς σιωπῆς] λέγει γάρ· διὰ τί ἐφ' ἑκάστῳ ὧν ἔπραττον ἐν αὐτοῖς τοῖς καιροῖς οὐκ ὤφθης κατήγορος; καὶ πάλιν (de cor.

1) αὐτῶν delevit Bekkerus. 2) τὸν λέγ.] τοὺς λεγομένους Laur. 3) μὲν om. Laur. 4) λέγω Laur. 5) τάλαντα Laur. 6) ἦν, ὃς] ἦν Laur. 7) περιεῖρε Laur.

§. 198. p. 294)· *γέγονέ*[1] *τι τῶν ὑμῖν συμφερόντων*,[2] *ἄφωνος Αἰσχίνης, ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης.* Laur.

τόπος ἀσυκοφάντητος] ἀντὶ τοῦ ἐπιχείρημα. Laur.

217. *τὸ μὲν κεφάλαιον*] ἀντὶ τοῦ καθολικῶς. F.

219. *ἀπηνέχθη*] ἔστι παραγραφικὸν ἀπὸ χρόνου. F.

οὔπω σοῦ] χαριεντισμός. Laur. F.

τὴν Ἥραν] καὶ μὴν ἄνω αὐτὴν οὐκ εἶπεν, ἀλλὰ τὸν *Δία*· μᾶλλον οὖν τοὺς τρεῖς ἔλεγεν ἑωρακέναι, καὶ ὁ *Αἰσχίνης*, ἵνα μὴ κατάλογον ποιῇ τῶν ὀνομάτων, ὅπερ ἦν ψυχρόν, ἄνω μὲν τὴν Ἥραν, ἐνταῦθα δὲ τὸν *Δία* παρέλειψεν, τὴν δ' Ἀθηνᾶν οὐδαμοῦ, ὅτι πολιοῦχος. Laur.

εἴ γε μὴ ταὐτὸ ἐ. —] τοῦτο λέγει· πῶς ἔμελλον Ἀλεξάνδρῳ ἐνδείκνυσθαι, ὃς ἠγνόουν εἰ *Φίλιππος* τελευτήσειε· οὐ γὰρ δὴ ταὐτὸν ἐνύπνιον ἑώρακα *Δημοσθένει*. Laur.

220. *τὴν ἀξίωσιν*] τὸ νομίζειν ἄξιον εἶναι, δεῖν ἐξ ἀνάγκης λέγειν, καὶ οὕτω πολιτεύεσθαι, οἷον ὡς ἂν ἐν τυραννίδι καὶ οὐ δημοκρατίᾳ. F.

ἐργαζομένου] πολυπραγμονοῦντος. F.

222. *ἁρπάγματα*] κλέμματα. F.

πλέον τ. πόλεως —] οὕτω δεῖ συντάξαι· πλεῖον ἀφανίζων Ἀθηναίων ναυτικὸν οὗ εἶχον ὅτε τὴν ἐν *Νάξῳ* ναυμαχίαν Λακεδαιμονίους ἐνίκησαν· ἐγένετο δὲ αὕτη ἐν τῷ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων[3] πολέμῳ. Laur.

ἐν Νάξῳ] στρατηγοῦντος *Χαβρίου*. B.

Πόλλιν] στρατηγὸν Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης (vol. 2, p. 232 Dind.) λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων ὅτε οὗτος[4] ἐπώλησε[5] τὸν *Πλάτωνα*. Laur. F. κατεναυμάχησε δὲ αὐτὸν *Χαβρίας* περὶ *Νάξον* τὴν νῆσον. Laur.

223. *ἐνέφραξας*] ἀντὶ τοῦ τῷ ἀντικατηγορεῖν[6] ἐπετείχισας σαυτὸν τοῦ μὴ δοῦναι δίκην. Laur.

οὐ τὸ τελευταῖον] κατ' ἐρώτησιν. F.

Ἀναξίνου] οὗτος ἐπεδήμησεν Ἀθήνησιν διαπεμφθεὶς ὑπὸ Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς ὠνήσασθαί τινα αὐτῇ· Δημοσθένης δὲ αἰτιασάμενος κατάσκοπον ἥκειν παρὰ Ἀλεξάνδρου ἠνάγκασε συλληφθῆναι, καὶ βασανιζόμενος καὶ στρεβλούμενος περὶ τοῦ πράγματος ἐκεῖνος ἐτελεύτησε. Laur.

τὰ ἀγοράσματα] οἷον μύρα καὶ τὰ τοιαῦτα, λυσιτελοῦντα πρὸς γυναικεῖον κόσμον. F.

224. *τοὺς τῆς πόλεως ἅλας*] ὁ αὐτὸς *Αἰσχίνης* (§. 22) ἐπάνω ἐν τῷ περὶ παραπρεσβείας "τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος — εἰρήσεται γὰρ — οὐδ' ἐγγενὴς ἡμῖν". καὶ *Δημοσθένης* περὶ παραπρεσβείας (§. 189. p. 400) "ποῦ δὲ ἅλες; ποῦ τράπεζαι; B. λανθάνει ὁ

1) *πράττεται* Dem. l. l. 2) *δοκούντων συμφέρειν* Dem. l. l. 3) Ἑλλ. δικ.] ἑλλήνων δικαίῳ liber. 4) οὕτως Laur. 5) ἐπολέμησε Laur. 6) ἀντηγορεῖν Laur.

Αἰσχίνης ὑπὲρ τοῦ Δημοσθένους λέγων, εἰ τῆς πατρίδος χάριν οὐκ ἠδέσθη τοὺς ἅλας τοῦ ξένου. Laur.

225. *ἐπιστολὰς*] *ὅτι συκοφαντῶν εἴληφεν Αἰσχίνου ἐπιστολὰς ἐπὶ προδοσίᾳ· σιωπῶ οὖν ἐπιστολὰς ψευδεῖς.* Laur.

κατασκόπων συλλήψεις] *συνέλαβε γὰρ Ἀνάξινον ὡς κατάσκοπον καὶ ἑταῖρον Αἰσχίνου.* Laur.

τὰ ἔνατα] *τὰ νομιζόμενα τῷ νεκρῷ, τῇ ἐνάτῃ ἡμέρᾳ γινόμενα.* B.

226. *σαυτὸν δ' οὐκ ἀνερωτᾷς*] *κατ' ἀποστροφήν.* Laur. F.

228. *καὶ νὴ τ. θεοὺς —*] *ἡ σύνταξις· καὶ νὴ τοὺς θεοὺς μάλιστ' ἀγανακτῶ ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ὧν*[1] *ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν. εἰ δὲ προστεθείη τῷ μέλλω τὸ ν, ἵνα γένηται μετοχή, οὐ χρεία οὕτω συντάξαι, ἀλλὰ σαφὲς γίνεται.* Laur.

ἀφομοιοῖ] *γελοῖον· κηλοῦνται γὰρ ἐπεὶ οὐκ ἂν προσεκαρτέρουν. ὡς δὲ ἐκεῖναι τὴν γλῶσσαν*[2] *ἐπιφθορᾷ κέκτηνται τῶν ἀκουόντων καὶ οὗτος τοὺς λόγους . . . . . ἐσώζετ' ἂν ὁ λόγος.* Laur.

τῆς γὰρ αἰτίας —] *ἡ σύνταξις· αἰσχρὸν γάρ ἐστιν τὸν αἰτιώμενον τῆς αἰτίας τὸ ἔργον μὴ ἔχειν ἀποδεῖξαι.* Laur.

229. *ἐξηλωκότος*] *ἀντὶ τοῦ μακαρίζοντος. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὸ τοῦ ζήλου εἴωθεν ἀεὶ ἐπὶ καλοῦ τάττεσθαι, τὸ δὲ τῆς ζηλοτυπίας ἐπὶ φθόνου. ἀντιδίκων δέ φησι τῶν ῥητόρων, καθὸ οἱ μὲν στρατηγοὶ*[3] *τοῖς ἔργοις κέχρηνται, οἱ δὲ ῥήτορες τοῖς λόγοις, καὶ ἀεὶ φθονοῦσιν ἀλλήλοις ἑκάτεροι. κατὰ κοινοῦ δὲ τὴν εὐπορίαν τῶν λόγων.* Laur. F. *νῦν ἀντὶ μεμφομένου.* Laur.

ἐξ ὀνομάτων] *οἷον ἐκ λέξεων πανούργων.* F.

οὗ —] *δυνατὸν*[4] *καὶ μὴ δασύνοντας τὴν οὗ, ἀλλ' ἀρνητικῶς καὶ κατ' ἐρώτησιν ἀναγιγνώσκοντας τὴν περίοδον καλῶς ἀποσώζειν τὸ νόημα.* Laur. F.

230. *θαυμάζω δὲ*] *ἀντὶ τοῦ καταγινώσκω.* F. *ἐντεῦθεν οἱ ἐπίλογοι εἰργασμένοι ἐν δέκα τόποις καὶ ἔστιν ὁ πρῶτος τόπος μικρὸς καὶ σύντομος, ὑπόμνησις τῶν περὶ τὸ πρᾶγμα συνεκτικῶν καὶ τῶν περὶ τὸ πρόσωπον παροξύνουσα τοὺς δικαστὰς ἐν ἀναμνήσει τῶν πάλαι κηρυγμάτων.* Laur.

ἐπιτήδειος] *ἀντὶ τοῦ πάνυ ἀκόλαστός ἐστιν.* Laur.

231. *μετὰ ταῦτα*] *μετὰ γὰρ τοὺς στεφάνους*[5] *εἰσέφερον τὰ δράματα.* Laur.

ἐπεισαγόντων] *δηλονότι τὰ ἑαυτῶν δράματα.* B.

δόξαις] *διανοίαις.* Laur. F.[6]

232. *ὑπὸ Δημοσθένους —*] *τοῦτο λέγει ὅτι στεφανοῦσι Δημοσθένην δηλονότι ὡς εὖ πεπονθότες. πόθεν οὖν ἠτυχήσαμεν; ἀνάγκη ἀπὸ*[7] *τῆς τύχης. ἀλλ' οὐχί φησιν ἀπὸ τῆς τύχης ἀλλ' ἀπὸ Δημοσθένους.* Laur.

τὰς τῶν δώρων γραφὰς ἁλισκομένους] *οἷον τοὺς νομιζομένους δωροδόκους.* Laur. F.

1) *ὡς* Laur. 2) *γλῶσσαν* de coni., ... *σαν* Laur. 3) *μὲν στρ.*] *στρατ. μὲν* Laur. 4) *δύναται* Laur. 5) *φάνους* Laur. 6) „In F praecedit (ad verba *τὸν Θερσίτην* et seqq.) *διανοίας*, quod non intelligo.“ Dind. ad §. 233. 7) *ὑπὸ* Laur.

τοὺς κυκλίους] τοὺς τῶν χορηγῶν, καθὸ ἐν κύκλῳ ἱστάμενοι ᾖδον ᾄσματα τῷ Διονύσῳ.[1] Laur. F.

τῷ διαπραξαμένῳ] τῷ ὠνησαμένῳ. B.

233. ἔπειτ' ἔξεισιν —] ὁ δεύτερος τόπος τῶν ἐπιλόγων εἴργασται αὐτῷ ἐκφοβῶν[2] τοὺς δικαστὰς ἀσυμφόρῳ διττῷ. Laur.

ο τοιοῦτος κριτὴς] ἀντὶ τοῦ ὁ δικαστὴς ο κρίνας[3] τὸν Δημοσθένην ἄξιον εἶναι τοῦ στεφάνου. καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα κριτὴν τὸν δικαστήν. κριτὴς γὰρ ὁ κρίνων τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς. Laur. F.

ἰδιώτης] οἱονεὶ ὁ δικαστής, καθὸ ἰδιῶται καὶ πένητες ἦσαν, γενόμενοι δικασταὶ διὰ τὸ τριώβολον. Laur. F.

ο μὲν ὅρκος] ὁ ὅρκος, φησί, λυπεῖ τὸν ἐπιορκήσαντα. συνειδὼς γὰρ ἑαυτῷ ὅτι[4] ἐπιώρκησεν λυπεῖται. δι' αὐτὸν γὰρ γεγονέναι τὸ ἁμάρτημα· οὐ διὰ τὸν δικαστήν, ἀλλὰ διὰ τὸν ὅρκον. εἰ μὴ γὰρ προὔκειτο, οὐδὲ ἁμάρτημα ἦν. Laur.

ἡ δὲ χάρις] ἐκείνῳ, ᾧ ἐχαρίζετο, ἄδηλος γέγονεν. B.

234. ὅτι δὲ] ἀντὶ τοῦ καθὸ δέ. F.

τὸ δημόσιον] ἡ πόλις. F.

οὐχ οὓς ἐφοβεῖτο] οὐκ ἐχθροί, οὓς ἐφοβεῖτο ὁ δῆμος, ἀλλ' οἱ δημαγωγοί, οἷς ἑαυτὸν ἐνεχείριζε, τον δῆμον κατέλυσαν. B.

235. πρὶν τὰς αἰτίας ἀκοῦσαι] πρὶν ἀκοῦσαι οὐ τοὺς[5] τριάκοντα, ἀλλὰ τοὺς ἀποθνήσκοντας. τοῦτ' ἔστιν· οὐδὲ ἤδεσαν, τί ἀπέθνησκον. Laur.

οὐχ ὑφ' ὑμῖν] κατ' ἐρώτησιν. B.

236. ἡδέως δ' ἂν ἔγωγε —] τρίτος τόπος τῶν ἐπιλόγων. εἴρηται δὲ κατὰ ἀπαίτησιν εὐλόγου αἰτίας, δι' ἣν στεφανωθήσεται Δημοσθένης. δύο δὲ θεὶς αἰτίας ἔλυσε κατὰ[6] περιτροπήν, ἐπὶ τίσι τιμητέον τοὺς πολιτευομένους, τὴν δὲ δευτέραν κατὰ ἀναίρεσιν ἐν ἀπαιτήσει τῶν ἔργων, ὑπὲρ ποίων Δημοσθένης ἐπαινοῖτο. Laur. περιτροπὴ τὸ σχῆμα. Laur. F.[7]

αναλογισαίμην] ἀντὶ τοῦ ἀπαριθμησαίμην. εἴρηται δὲ ἀπὸ τοῦ ἀποβαίνοντος, ἐπειδὴ ἐν τοῖς λογισμοῖς ἀπόκρισίς ἐστι καὶ πεῦσις. Laur.

ἀνελόντα] εἰκὸς γὰρ τῶν τάφρων ὀρυττομένων περὶ τὸ τεῖχος καὶ τάφους τυγχάνειν. Laur.

237. ἀφελὼν γάρ τ. καιρὸν] οὐκ ἐᾷς, φησί, τὸν δῆμον φιλοτιμεῖσθαι, φάσκων μὴ τὴν Θηβαίων χρείαν μηδὲ τὸν ἐπικείμενον φόβον ποιῆσαι τὴν συμμαχίαν, ἀλλὰ Δημοσθένην. Laur.

238. χρυσίον οὐ δώσω] Ἀθηναῖοι γὰρ αὐτὸν ᾔτησαν χρυσίον ἐπὶ Φίλιππον μετὰ τὴν τῆς εἰρήνης κατάλυσιν πρεσβείαν πέμψαντες.[8] Laur.

239, τὸ μὲν τῶν Θηβαίων ὄνομα] ὅτι αἴτιον ἐγένετο τῶν ἐν Χαιρωνείᾳ κακῶν. Laur.

τὰ δ' ἑβδομήκοντα] ἃ ὑφειλετο Δημοσθένης ἐκ τῶν τριακοσίων

1) ᾖδον — Διονύσῳ om. Laur. 2) ἐκφοβοῦντα Laur. 3) κρίνων Laur. 4) ὅτι om. Laur. 5) οὐ τοὺς] αὐτοὺς Laur. 6) καὶ Laur. 7) In F est scholion ad vv. εἰ μὲν γὰρ 8) πρ. πέμψ.] πρεσβει . . . . Laur.

ταλάντων, λέγων τοῖς ἀπαιτοῦσι δούλοις τοῦ Λαρείου ὅτι ταῦτα ἐμοὶ ἔπεμψεν ὑπὲρ τοῦ συμβουλεῦσαι· εἰ δ' οὐκ ἐπείσθησαν οἱ Ἀθηναῖοι, οὐδὲν πρὸς ἐμέ. Laur. F.

προλαβὼν] ἁρπάξας, ἀπὸ μεταφορᾶς τῶν προλαμβανόντων ληστῶν. Laur. F.

241. ἄξιον δ' ἐστὶ] τέταρτος τόπος τῶν ἐπιλόγων. Laur.

242. Κλεοπάτραν] Κλεοπάτραν τὴν Φιλίππου καὶ Ὀλυμπιάδος θυγατέρα, Ἀλεξάνδρου δὲ ἀδελφὴν ἔγημεν Ἀλέξανδρος ὁ Νεοπτολέμου μὲν υἱός, Ὀλυμπιάδος δὲ ἀδελφός, βασιλεὺς[1] Μολοττῶν καὶ Ἠπειρωτῶν, οὗτος ἐν Πανδοσίᾳ Λευκανοῖς[2] μαχόμενος ἐτελεύτησεν. ἀκούσας δὲ ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἔπεμψε Κτησιφῶντα πρεσβευτὴν συναχθεσόμενον[3] Κλεοπάτραν ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ καὶ παρηγορήσοντα αὐτήν. Laur.

243. ἐπερώτησον] πέμπτος τόπος τῶν ἐπιλόγων παράθεσιν ἔχων τῶν εὐλόγως ποτὲ τιμηθέντων ὑπὸ τοῦ δήμου. δείκνυσι δὲ τὴν ἀτοπίαν τῆς τιμῆς τῇ ὑπομνήσει τῶν δι' αὐτῶν εὖ[4] πεπονθότων. Laur.

πυθοῦ] περισπῶσιν Ἀττικοὶ τοῦτο, καὶ τὸ λαβοῦ καὶ ἐμοῦ καὶ τὰ ὅμοια. ἔστι δὲ δεύτερος μέσος ἀόριστος. F.

Χαβρίᾳ] οὗτοι πάντες πρεσβύτεροι Δημοσθένους. Ἰφικράτης μὲν οὖν καὶ ἐπίσημος ἐγένετο πάνυ καὶ μόραν[5] Λακεδαιμονίων κατέκοψε. διέκρινον γὰρ τὸν δῆμον οἱ Λακεδαιμόνιοι[6] εἰς δέκα μόρας ὥσπερ εἰς δέκα φυλὰς οἱ Ἀθηναῖοι. καλοῦσι δὲ μόραν οἷον γένος ἕν. ὁ δὲ Τιμόθεος γνώριμος μὲν Ἰσοκράτει, ἀνὴρ γενναῖος. ἐζημίωσεν αὐτὸν ὁ δῆμος συκοφαντηθέντα. Χαβρίας δὲ καὶ αὐτὸς στρατηγὸς ἐπιφανής. Laur.

244. ἀγνώμονα] οἱονεὶ μὴ ἔχοντα λογισμόν, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς (or. 2 §. 26. p. 25, 18)· "εἶθ' οὕτως ἀγνωμόνως ἔχετε." F. ἄψυχα. Laur.

ἐάν τινα] ἐὰν ἐκεῖνα τὰ ἄφωνα καὶ ἀγνώμονα ἐμπεσόντα ἀποκτείνῃ ἄνθρωπόν τινα. B.

245. τὴν πανυστάτην ἔξοδον] ἣ μεθ' ἣν οὐκ ἐπεξῆλθομεν διὰ τὸ πάνυ δι' αὐτὴν ἀσθενῆσαι ἢ τὴν ἐσχάτην. Laur.

τὸ δὲ μέγιστον] ἕκτος τόπος, ἐν ᾧ φοβεῖ τοὺς δικαστὰς ὑπὲρ τῆς τῶν θεῶν τιμῆς. Laur.

246. δημόσια κηρύγματα] δίκαια. F.

ὁ δέ γε νεώτερος] ἕβδομος τόπος φοβῶν τοὺς δικαστὰς περὶ τῆς δημοκρατίας καὶ καταφορὰν ἔχων τῶν συντεταγμένων μετὰ Δημοσθένους. Laur.

247. εἰς ἀπολογισμὸν] ἀπολογίαν. F.

248. τὰ κοινὰ] οἷον τὸ λέγειν ὅτι φιλόπολίς εἰμι καὶ τὰ τοιαῦτα. Laur. F.

ἀπίστους] τουτέστιν ἀπιθάνους ὄντας τοῖς ἤθεσιν, ἤγουν οὐ δυναμένους ὑμᾶς πεῖσαι τοῖς ἤθεσιν, ὅτι εἰσὶν εὔνοι καὶ φιλάνθρωποι καὶ κοινοί· ἢ οὕτως· τοὺς πονηροὺς ὄντας τὰ ἤθη, καὶ διὰ τοῦτο

1) ἀδελφὸς, βασιλεὺς addidi de coni. Est lacuna in Laur. 2) Λευκανοῖς de coni., εὐμαίοις Laur. cf. Strab. 6 p. 280. 3) συναχθησόμενον Laur. 4) εὖ addidi de coni. 5) μοίραν Laur. 6) κατέκοψε — Λακεδαιμόνιοι de coni., κα . . . . . Laur.

οὐκ ἀξίους ὄντας πιστεύεσθαι ὑφ᾽ ὑμῶν, ὅτι εἰσὶν εὖνοι εἰς τὴν πόλιν καὶ φιλάνθρωποι. κοινὰ δὲ καλεῖ τὰ ἐλευθέρια καὶ φιλόδωρα καὶ εὐεργετικά. B.

249. *ξενικῶν στεφάνων*] *ὅτι ἐπὶ*[1] *τῶν ξένων ἐν τῷ θεάτρῳ ἔμελλε στεφανοῦσθαι.* Laur.

250. *ἐφ᾽ οἷς*] *τῶν προδοτῶν ὁ νόμος θάνατον κατεγίνωσκε· σημεῖον οὖν, φησί, προδοσίας αἱ ἐπιστολαί.* Laur.

παρακελεύονται] *παρακελεύονται ὡς φύλακες τῆς δημοκρατίας βλέπειν*[2] *εἰς τὰ αὐτῶν*[3] *πρόσωπα.* Laur.

251. *παραγεγηρακὼς*] *οἱονεὶ λῃρήσας.* F.

παρανοίας] *ὅ ἐστι μωρίας, ἵν᾽ ᾖ τὸ μὲν προειρημένον τοῦ γήρως, τοῦτο δὲ τοῦ τρόπου.* Laur. F.

τὰ περιόντα] *τὰ περιττὰ καὶ φαῦλα.* F.

252. *ἕτερος δὲ*] *τὸν Λεωκράτην νοεῖ, οὗ κατηγόρησε Λυκοῦργος.* F.

διαμένει δὲ καὶ ὁ λόγος ἐνταῦθα κείμενος. B.

253. *ἐπ᾽ ὀνομάτων*] *οἷον διὰ τοῦ περιτιθέναι ἑαυτῷ φιλάνθρωπα ὀνόματα.* F.

256. *Πειθὼ*] *οἷον αὐτὴν τὴν θεὸν τὴν Πειθώ, καθὸ λέγει ὁ Δημοσθένης πάντας πείθεσθαι τοῖς αὐτοῦ λόγοις.* B.

258. *Ἀριστείδην δὲ*] *ὁ αὐτὸς ἐν τῷ περὶ παραπρεσβείας* (§. 23)· "*ὁ δὲ οὐδὲν ἄπρακτον*[4] *ἔχων μέρος τοῦ σώματος, οὐδ᾽ ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης, ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησι, δυσχεραίνει καὶ καταπτύει τὰς δωροδοκίας.*" B.

Ἄρθμιον] *τούτου μνημονεύει Δείναρχος ἐν τῷ κατ᾽ Ἀριστογείτονος* (§. 24) *καὶ Ἀριστείδης ὁ σοφιστὴς ἐν τῷ Παναθηναϊκῷ* (p. 310 Dindf.) *καὶ Πλούταρχος ἐν τῷ Θεμιστοκλεῖ* (c. 6). B.

1) *ἐπὶ* Laur. 2) *δημοκρατίας βλέπειν* in lacuna om. Laur. 3) *αὐτῶν* Laur. 4) *ἄπρατον* est in textu.